Rursus humanam in Christo operationem appellamus puram illam, sanctam, inculpatam, à Deo datam, & creatam vitalemque, & viuificam actionem, à sacrosancta Christi anima manantem; qua tempore passionis separatâ, & ex corpore eductâ; corpus derepentè exanime mansit, diuina operatione minimè ab illo seiuncta. Cæterùm quod corpus efficiatur viuum per ipsam operationem vitalis, & intellectualis animę, testatur Scriptura; cùm ait, terreno corpori nostro ex ipso Dei spiraculo animã viuentem procreatam esse: de qua loquitur Salomon ad quosdam improbos & idololatras; *Luto vilior vita eius: quoniam ignorauit, qui se finxit: & qui inspirauit ei animam, quæ operatur, & qui insufflauit ei animam vitalem.* En perspicuè discimus per animæ operationem viuificari corpus; sicut & Dominus docet loquens de carne & sanguine: *Spiritus est, qui viuificat; caro non prodest quidquam.* Quod si aduersarius obiiciat, Gen.2. Sap.15. Ioan.6.

περὶ σαρκὸς, καὶ ψυχῆς εἰσάγων λόγους φησίν. ὅτι τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. εἰ δὲ λέγει ὁ δι' ἐναντίας. ὅτι, ὁ θεὸς λόγος ἦν ὁ ζωοποιῶν τὸ σῶμα. ἐξ ἀνάγκης εὑρίσκεται λέγων, ὅτι κατὰ στέρησιν, καὶ χωρισμὸν αὐτοῦ τοῦ θεοῦ λόγου τέθνηκεν αὐτοῦ τὸ σῶμα. καὶ εἰ ταῦτα οὕτως, τίς ἦν χρεία, ὅλως λαβεῖν, ἢ ἔχειν αὐτὸν ζωτικὴν ψυχὴν λογικήν;

Τινὲς δὲ φασὶν, ὅτι καὶ πᾶσα αὔξησις, ἢ ἔκκρισις, ἢ ἀφαίρεσις, ἢ ἔνδεια τῆς ἁγίας σαρκὸς τοῦ Χριστοῦ μὴ θεωρουμένη φυσικῶς καὶ ἐπὶ τῆς θεότητος, ἐνέργεια ἀνθρωπίνη λέγεται Χριστοῦ. θεανδρικὴν δὲ ἐνέργειαν νοοῦμεν τὴν κοινοπρεπῶς πως ὑπὸ Χριστοῦ πραττομένην, καὶ θεωρουμένην. οἷα ἦν διὰ πτύσματος τοῦ τυφλοῦ ἀνάβλεψις. καὶ ἡ διὰ τῆς ἀφῆς τῆς ἁγίας αὐτοῦ χειρὸς τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου ἀνάστασις. καὶ ἡ τῶν ἄρτων εὐλογία. καὶ ἡ διὰ τοῦ δακτύλου αὐτοῦ τοῦ κωφοῦ ἴασις. καὶ διὰ τῆς οἰκείας φωνῆς τοῦ Λαζάρου ἔγερσις. καὶ τῆς πλευρᾶς αἵματος ἔκκρισις ἐκ νεκροῦ σώματος. καὶ ὁ ἐπὶ τῆς θαλάσσης περίπατος. καὶ ἡ τοῦ θεοστόμου αὐτοῦ ἐμφυσήματος μετάδοσις τοῦ πνεύματος. Οἱ γοῦν αἱρετικοὶ εἰς ταύτην τὴν κοινοπρεπῆ Χριστοῦ θεανδρικὴν ἀφορῶντες ἐνέργειαν, ἀποστρέφονται τοῦ ὁμολογεῖν ἐν αὐτῷ θείαν τινὰ, ὁμοίως καὶ ζωτικὴν ἀνθρωπίνην ἐνέργειαν.

Δεῖ μέν τοι ἀκριβῶς, καὶ ἀναμφιβόλως ἐπίστασθαι ἡμᾶς, ὅτιπερ οἱ ἐξ ἐναντίας, ἐκ τοῦ θεωρεῖν τὸ θέλημα αὐτῶν, καὶ τὴν ἐνέργειαν τῆς οἰκείας ψυχῆς, καὶ τοῦ σώματος, διηνεκῶς, καὶ ἀπαύστως πολεμουμένην, καὶ βεβορβορωμένην ὑπὸ τῆς πυρώσεως, καὶ ἐνεργείας τοῦ διαβόλου. τούτου χάριν καὶ αὐτοὶ, καὶ Νεστόριος παρητήσαντο εἰπεῖν ἐν Χριστῷ ἀνθρώπινον θέλημα, ἢ ἐνέργειαν. Ἀλλὰ μονοφυσῖται παντοβουλίαν, καὶ παντοπραξίαν ἐφαντάσθησαν, καθὼς περὶ τούτου διὰ πλάτους, καὶ ἐν τοῖς ἑξῆς, καὶ ἐν ἑτέροις εἰρήκαμεν.

Σχόλιον. μὴ λανθανέτω τοὺς φιλοπόνους, ὅτιπερ ἐπειδὴ τοὺς δαιμονιζομένους, ἐνεργουμένους εἰώθαμεν ὀνομάζειν. τούτου χάριν οἱ αἱρετικοὶ. ἐπειδ' ἂν ἀκούσωσιν ἐνεργείας ἐν τῷ Χριστῷ, εὐθέως τὰς τῶν πασχόντων ἐνεργείας νομίζοντες ταύτας εἶναι, ἀγανακτοῦσι, καὶ ἀπο-

ciat, verbum diuinum viuificasse corpus, necessariò concedere debebit, corpus Christi mortuum esse seiunctione & separatione verbi diuini à corpore. Quod si ita est; quid ergo opus *erat*, vt animam vitalem, & rationalem assumeret aut haberet?

Quidam dicunt, omnem accretionem, aut secretionem, aut ablationem, aut indigentiam sanctissimæ carnis Christi; quæ naturaliter in ipsa diuinitate, nec re, nec consideratione insit, operationem humanam Christi appellari posse: Theandricam verò, hoc est, Deo hominiq; consonam, operationem illam nominamus; quæ communioni naturæ diuinæ & humanæ conuenienter à Christo patrata est; qualis erat cœci per lutum curatio; & excitatio filiæ Archisynagogi attactu sacrosanctæ manus Christi peracta: benedictio panum; surdi sanatio interuentu digiti; resuscitatio Lazari ministerio vocis: sanguinis fluxus ex mortuo corpore; latere perculso; ambulatio supra mare: & communicatio sancti Spiritus per insufflationem in discipulos. Hæretici oculis in hanc, Christo, vt Deus & homo est, communem competentemque operationem conuersi; abnuunt in illo diuinam quandam operationem confiteri; similiter & vitalem humanam operationem. *Ioan.9. Marc.5. Luc.8. Matth.14. Marc.7. Ioan.11. Ioan.19. Marc.6. Ioan.20.*

Cæterùm hoc pro certo exploratoque reputandum est; Hæreticos & Nestorium, ideo in Christo humanam voluntatem & operationem non constituere; quòd videant voluntatem & operationem suæ propriæ animæ & corporis indesinenter, & absque vlla cessatione impugnari & inquinari ab inflammatione & actione Diaboli: At Monophysitæ ταυτοβουλίαν & ταυτοπραξίαν, quasi dicas *identitatem volendi & agendi*, ex cerebro suo commenti sunt; quemadmodum in sequentibus, & alibi fusè demonstrauimus.

Scholium. Nouerit studiosus lector; cum à Dæmone obsessos nominare soleamus *energumenos*, Hæretici, quando audiunt energias (hoc est, operationes) in Christo; statim arbitrantur has esse energias; quas patiuntur, quos Dæmon occupat: Quocirca indignantur, & vocabulum hoc auer-

ἀποστρέφονται τὴν τοιαύτην φωνὴν ὡς ἀληθῶς ἐνεργούμενοι ὄντες, ἤγουν δαιμονιζόμενοι.

Σὺν θεῷ. Προθεωρία τῆς ὑποθέσεως τῶν ὅρων τῆς βίβλου, ἧς ἡ ἐπωνυμία λέγεται ὁδηγός.

Τῆς καθ' ἡμᾶς ἁπάντας βροτῶν οὐσίας ἡ σύστασις ἐκ ψυχῆς λογικῆς τε μὴν, καὶ νοερᾶς· καὶ τῆς τῶν στοιχείων συνδρομῆς, ὅ ἐστι σὰρξ, παρὰ τοῦ πανσόφως δεδημιουργηκότος ἔλαχε. τῆς δὲ κατ' ἀρετὴν ἐντελοῦς πολιτείας, ἐξ εὐσεβοῦς τε πίστεως, καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως, τὸ κάλλος κρατύνεται. οὔτε γὰρ σῶμα ψυχῆς ἔρημον ζωὴν καθ' ἑαυτὸ κέκτηται. οὔτε μὴν ἐντολῶν τήρησις ὀρθοδοξίας ἀπηλλαγμένη, παντελῶς ὀνήσειεν τὸν ἄνθρωπον. ὅπερ γὰρ ψυχὴ σώματι, τοῦτο ὀρθοδοξία πνεύματι. οὐκοῦν σκοπήσωμεν, εἰ δοκεῖ, πρὸ πάντων, καὶ μάθωμεν, καὶ φυλάξωμεν τὴν περὶ θεοῦ, καὶ τῶν θείων ἀπαθῆ ἔννοιαν. ὅπως τοῦ θεμελίου καθαροῦ τε, καὶ ἀκραδάντου προκαταβληθέντος, ὁ ἀκρογωνιαῖος λίθος χριστὸς, εὐσεβῶς ὑφ' ὑμῶν γεραιρόμενος, συσφίγξῃ ἡμῶν ἀμώμως εἰς ἅπαν τὸ πᾶν οἰκοδόμημα, βολαῖς ἁπάσαις, καὶ προσβολαῖς αἱρετικῆς μαγγανείας γινόμενον ἄπτωτον.

Ἐπεὶ δὲ κρηπὶς βεβαία, καὶ ἀσφαλὴς θεμέλιος λογικῆς ἁπάσης σοφίας πέφυκεν ἡ τῶν πραγματικῶν ὅρων προκατάληψίς τε, καὶ πρόγνωσις. προηγείσθωσαν οὗτοι ὥσπερ τινὲς ἀσφαλεῖς ὁδηγοὶ τῆς παρούσης ὑποθέσεως. ὀλίγοις γὰρ καὶ μάλιστα τοῖς κατὰ τὴν ἡμετέραν γενεὰν σπουδὴ, καὶ πόνος γέγονεν, ἡ τῶν ὅρων παράδοσίς τε, καὶ πρόγνωσις. ἀλλ' οὕτω πῶς, ὥσπερ ἔν τινι νυκτομαχίᾳ, μᾶλλον δὲ τυφλομαχίᾳ οἱ πολλοὶ τῶν αἱρετικῶν, οἷς συνετύχομεν, περὶ χριστοῦ δογματίζειν ἐδοκίμαζον. οἷς, ὡς ἀληθῶς καὶ πλατὺν γέλωτα κατεχέομεν. καὶ μάλιστα κατὰ τὴν Ἀλεξάνδρου πόλιν. τί γὰρ ἂν καὶ ἔσται τούτου καταγελαστότερον; περὶ φύσεως ἐδογμάτιζον, καὶ τί ἐστι φύσεως ὅρος, ὅλως οὐκ ἠπίσταντο. περὶ ὑποστά-

σεως

ſantur non aliter quàm *energumeni*; hoc eſt, à Dæmonibus exagitati.

Diuina gratia opitulante. Protheoria ſeu conſideratio ad definitiones, explicatas in libro, qui ὁδηγὸς inſcribitur.

VNiuerſa generis noſtri; hoc eſt, humana natura & cōpoſitio, animam rationalem & intellectualem; & concretionem ex elementis; quam carnem dicimus; à ſupremo rerum conditore ſortita eſt, at vita ad virtutis normam conformata, ex pietate, fide, diuinorumq; mandatorum obſeruantia, pulchritudinem ſuam ducit. Neque enim corpus anima deſtitutum vitam per ſe obtinet: neque mandatorum obſeruatio, ſi cum vera & orthodoxa doctrina non iungatur; quidquam emolumenti parit. Nam quod anima corpori, hoc præſtat ſpiritui orthodoxia, & recta de rebus diuinis exiſtimatio. Ante omnia igitur in id incumbamus, eoque omnem induſtriam conferamus, vt puram & ab omni labe integram de cœleſti doctrina ſententiam cuſtodiamus, vt fundamento puro & immoto iacto angularis lapis Chriſtus à nobis honoretur, noſque omnes culpæ exſortes in hoc ſpirituale ædificium appoſitè coagmentet ac componat; vt ab omnibus hæreticæ impoſturæ impreſsionibus & incurſibus illæſi perſiſtamus.

Quia verò ſtabile & inconcuſſum fundamentum omnis ſapientiæ, quæ à ratione proficiſcitur, cōſueuit eſſe præceptio & prænotio definitionum propoſito argumento inſeruientium; ideo oportet, vt iſtæ antecedant, tanquam præſentis argumenti certiſsimæ duces. Paucis enim, & his minimè omnium, qui æuo noſtro degunt, curæ cordique fuit, vt definitiones benè cognitas, perſpectaſque haberent; ſed quaſi in nocturna, vel potius cœcorum pugna, multi hæreticorum, cū quibus manus conſeruimus; de dogmatibus ad Chriſtum pertinentibus, digladiabantur. Quos meritò effusè riſimus; potiſsimùm illos; qui Alexandriæ viuunt. Quid enim magis ridiculum eſt; de natura noua dogmata cudebant, & diſceptabant, & quæ naturæ definitio eſſet, penitus ignorabant.

σεως ἐφιλονείκουν, καὶ τί ἐστιν ὑπόστασις, οὐκ ἐγίνωσκον, καὶ τὰ λοιπὰ ὁμοίως. Ἡμεῖς οὖν, τῇ συνεργείᾳ τοῦ Χριστοῦ, ἐκ νεαρᾶς ἡλικίας, ἐκ πατρικῆς παραδόσεως παραλαβόντες μερικῶς τὴν τῶν ὅρων παίδευσιν. μετὰ θεὸν δι' αὐτῆς τροπουμένους, καὶ ἡττωμένους πάντας τοὺς ἀντιδίκους θεασάμενοι, παρακαλοῦμεν πρὸ πάντων τὴν τῶν ὅρων ποιεῖσθαι ἐπιμέλειαν. καὶ μάλιστα τῶν εἰς δόγμα συντεινόντων Χριστοῦ. ὅπως μὴ ἔσεσθε τυφλοὶ βάρβαροι, καὶ ὁ λαλῶν σὺν ὑμῖν βάρβαρος.

Εἰδέναι μὲν τοί γε πρὸ πάντων χρεὼν, ὡς ἡ παράδοσις τῆς καθολικῆς ἐκκλησίας οὐ στοιχεῖ, οὐδὲ ἕπεται τοῖς ἑλλήνων φιλοσοφικοῖς εἰς ἅπαν ὅροις. καὶ μάλιστα ἐν τῷ κατὰ Χριστὸν μυστηρίῳ, καὶ τῷ τριαδικῷ λόγῳ. ἀλλὰ ἰδίῳ τινὶ, καὶ εὐαγγελικῷ, καὶ ἀποστολικῷ στοιχεῖ θεοπρεπῶς κανόνι. ὑπὲρ γὰρ τοὺς φυσικοὺς ὅρους, καὶ νόμους ἐστὶ τὸ τῆς θεότητος μυστήριον. ὅπερ οἱ αἱρετικοὶ μὴ διακρίναντες ἐπλανήθησαν. διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος, ὅτι οὐκ ἐν πειθοῖς σοφίας λόγοις τοῦ αἰῶνος τούτου κηρύττει τὸν Χριστόν. ὅτι μωρία ἐστὶ παρὰ θεῷ ἡ ἐγκύκλιος φιλοσοφία.

Ὅρα οὖν ὅτι ὁ πρῶτος ὅρος αὐτῆς οὕτω λέγει. Τὰ κατὰ φύσιν ἑαυτοῖς ἐναντία, πρὸς τὴν ἀλλήλων κοινωνίαν ἀδύνατον συνελθεῖν. οἷον, ὡς τὸ πῦρ ἀδύνατον ἀπαθῶς ἑνωθῆναι τῷ χόρτῳ. ἐμὴν ὁ πρῶτος ὅρος τῆς σωτηρίας ἡμῶν ἀνατρέπει τὸν πρῶτον ἐν φιλοσοφίᾳ ὅρον. παρθενίαν, καὶ τόκον, καὶ θεῖον πῦρ πρὸς ἐναντίαν φύσιν, σαρκὸς κοινωνίαν, καὶ ἕνωσιν κηρύττων.

Δεύτερος φιλοσοφίας ὅρος. Ἀπερίγραπτόν ἐστι μοναδικὴ ὑπόστασις τῶν πάντων περιεκτική. δυάδα γὰρ, καὶ τριάδα, ἀπερίγραπτον ἀδύνατον λέγει. ἐν γὰρ τῇ περιγραφῇ τῆς μονάδος, γνωρίζεται δυάς. ἡ δὲ ἁγία ἐκκλησία τρεῖς ὑποστάσεις ἀπεριγράπτους θεοῦ ὁμολογεῖ. Πάλιν ὁ Πλάτων φησὶν, ὅτι πατρότης ἐστὶ προΰπαρξις υἱότητος. ἡ δὲ ἐκκλησία συνυπαρκτὸν, καὶ συνάναρχον λέγει τὸν υἱὸν τῷ πατρὶ, πρὸ τῶν αἰώνων.

Ταῦτα καὶ τὰ τοιαῦτα καλῶς ὁ θεόφρων Βασίλειος ἐπιστάμενός φησι πρὸς Ἀμφιλόχιον. Φύσις, καὶ οὐσία ἐν τοῖς ἐκκλησια-

στικοῖς

De hypostasi contendebant; & quid hypostasis esset, non cognoscebant. Nos igitur, ope Christi, à teneris vnguiculis per paternam traditionem, scientia definitionum accuratè accepta; & conspicati, post Deum, per illam omnes aduersarios fusos fugatosque esse: hortamur vt ante omnia habeatur sedula definitionum cura: maximè illarum, quæ ad defensionem doctrinæ de Christo faciunt; ne sitis barbari cæcitate percussi, isque, qui vobiscum loquitur, item barbarus.

Idem contingit hodiernis Nouatoribus, præsertim Vbiquetariis.

Principiò scire oportet, traditionem Ecclesiæ nequaquam in omnibus sectari & insequi Græcorum philosophorum finitiones: præcipuè in disputatione de mysterio Christi & sacrosanctæ Trinitatis: sed suas quasdam ex Euangelicis & Apostolicis fontibus deductas sequitur regulas. Nam mysterium de diuinitate omnes naturales definitiones & leges transcendit. Quod cum hæretici non aduerterint, à recta via exciderunt. Propterea dicebat Paulus, *se non in persuasibilibus sapientiæ huius mundi sermonibus* prædicare Christum; eo quod sapientia huius mundi, & omnis philosophiæ cognitio, sit *stultitia* apud Deum.

1. Cor. 2.

Aduerte igitur, quid prima Philosophiæ definitio sanciat. *Quæ naturâ sibi mutuò aduersantur, impossibile est in mutuam communionem venire.* Exempli gratia: fieri non potest, vt ignis fœno iungatur sine noxa. Atqui prima salutis nostræ definitio euertit primam philosophiæ definitionem; dum docent, virginitatem & partum, diuinumque ignem, & naturam carnis in vnam communionem & societatem coaluisse.

Altera philosophiæ definitio *Sola illa & vnica hypostasis, quæ omnia continet, incircumscripta est*; fieri enim non potest; vt quis binarium, aut ternarium incircumscriptum dicat; nam in circumscriptione vnitatis inest binarius. At verò sancta Ecclesia tres hypostases incircumscriptas in Deo confitetur. Rursus Plato ait: *Paternitatem prius esse; quàm sit ratio filij.* Ecclesia verò docet filium simul cum Patre ante omnia sæcula existere; pariterque initij expertem esse.

Hæc & alia huius generis probè sciens diuinus Basilius sic scribit ad Amphilochium. *Natura & essentia in Ecclesiasticis dog-*

στικοῖς δόγμασιν ἕν ἐστιν. εἰπὼν δὲ ὁ πατὴρ, ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασιν ἐσήμανεν, ὅτι ἐν τοῖς ἑλληνικοῖς οὐχ ἕν τι ἐστιν οὐσία, καὶ φύσις. διὰ τοῦτο καὶ κλήμης ὁ πολὺς ἐν σοφίᾳ καὶ γνώσει, πεποίηκεν ἰδιαζόντως ὅρους ἐκκλησιαστικῶν δογμάτων, ὡς φοιτητὴς, καὶ θρέμμα γνήσιον ὑπάρχων τῶν ἁγίων Πέτρου, καὶ Παύλου μάλιστα τοῦ πανσόφου καὶ ἀκούσας αὐτοῦ ἀποβαλλομένου, καὶ λίαν μυσαττομένου, καὶ καθυβρίζοντος τὴν ἑλληνικὴν σοφίαν.

Πρώτη ἐρώτησις παρ' ἡμῶν πρὸς τοὺς αἱρετικοὺς περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ χριστοῦ ἀντιλέγειν ἐρχομένους πρὸς ἡμᾶς.

Πόθεν ἤτοι ἐκ τίνος, ἐν τῇ θείᾳ γραφῇ παρέλαβεν ἡ ἐκκλησία, πρὸ πάντων, φύσιν; καὶ τίς ὁ εἰπὼν αὐτὴν ἐνέργειαν, καὶ παρὰ τοῦ ἔμαθεν τὸ γένος; καὶ τίς πρὸ πάντων εἴρηκε, τὸ θέλημα; καὶ παρὰ τοῦ τὴν ὑπόστασιν; καὶ παρὰ τοῦ τὴν οὐσίαν ἐν πρώτοις ἀκήκοε Σολομῶν, Μωϋσῆς, Λευιτικὸν, οἱ ψαλμοὶ, ὁ ψαλμός; Ἀπορούντος δὲ αὐτοῦ τῶν τοιούτων ἀποδείξεων, πρώτη ἧττα αὐτοῦ αὕτη γενήσεται.

Σχόλιον. Ἔνθα κεῖται τὸ α. ὁ ὅρος δηλοῦται. ἔνθα δὲ πρόκειται τὸ β. τὴν ἐτυμολογίαν δηλοῖ. ὅπου δὲ πάλιν τὸ γ. τοὺς τρόπους σημαίνει.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Σὺν θεῷ. Ὅροι διάφοροι κατὰ τὴν παράδοσιν καὶ πίστιν τῆς ἁγίας καθολικῆς ἐκκλησίας λεγόμενοι. συλλεγέντες ἀπὸ τε κλήμεντος, καὶ ὁσίων πατέρων· οὓς δεῖ πρὸ παντὸς ἑτέρου μαθήματος ἐνστηθίζειν τὸν τῇ βοηθείᾳ τοῦ θεοῦ περιίστασθαι τοῦ λόγου τῆς εὐσεβείας βουλόμενον.

Πρὸς δὲ ἀκριβεστέραν παράδοσιν, κἀκεῖνο εἰδέναι ἐχρῆν, ὅτι περ πᾶν τὸ οἷον οὖν ζήτημα, ἢ ἐρώτημα, τρεῖς εἶναι ἐρωτήσεις, καὶ ἐξετάσεις ἔχει. οὕτως ἀπορούμενον παρ' ἡμῶν πρὸς τοὺς ἀντιδίκους· οἷον, τί ἐστι θεός; καὶ κατὰ τί εἴρηται θεός; καὶ ὁσαχῶς νοεῖται θεός; καὶ ὅτι μὲν ἐρωτῶμεν λέγον-

matis idem sunt; significans in Græcorum schola naturam & essentiam distingui. Quamobrem præstantissimus ille sapientiâ & doctrinâ Clemens composuit proprias Ecclesiasticorum dogmatum definitiones, tanquam genuinus sanctorum Petri, & maximè sapientissimi Pauli discipulus, cùm audisset ipsum valdè repudiare, & detestari Græcanicam sapientiam.

Prima quæstio ad Hæreticos, qui veniunt contradicturi nobis de Incarnatione Christi.

VNde, vel ex quonam fonte sacrarum litterarum hausit Ecclesia primùm naturæ vocabulum? Et quis energiam, hoc est, operationem, introduxit, & vnde didicit *genus*? Et quis primus voluntatis nomen protulit: & vbi de hypostasi, vsia seu essentia quidquam audiuit Salomon, Moyses, Liber Leuitici, Psalmi, Psalmus? cùm autem Hæreticus horũ omnium probatione ac demonstratione destituatur, certum est, illum, hoc primo statim congressu, deuictum prostratumque iri.

Scholion. Vbi signatur α; noueris definitionem indicari: Vbi β positum; Etymologiam. Vbi γ, modos.

Omisimus hæc signa, tanquã non necessaria. Neq; in autographo Græco exstabant.

CAPVT SECVNDVM.

Diuina adiuuante gratia, variæ definitiones secundum traditionem sanctæ & Catholicæ Ecclesiæ à Clemente & sanctis Patribus collectæ, quas ante omnes alias disciplinas discere oportet illum, qui diuina adiutus gratia verbo pietatis præesse cogitat.

AD accuratiorem verò tractationem, illud quoque scire conuenit, omnem quæstionem seu interrogationem tres quæstiones, & inquisitiones continere, dubitationis aliquid inter nos, & aduersarios complectentes. Exempli gratia. Quid est Deus? Et, vnde dictus est Deus? Et quot modis dicitur Deus? Et quidem,

Exstãt istæ definitiones Græcè & Latinè Tom. 2. operum S. Athanasij. Inuenimus easdem Græcè in M.S. Cod. Bauarico.

λέγοντες, τί ἐστι θεός; πρόδηλον, ὅτι τὸν ὅρον τοῦ πράγματος ζητοῦμεν. ὅτι δὲ λέγομεν, κατὰ τί θεὸς εἴρηται; τὴν ἐτυμολογίαν αὐτὴν τοῦ ὀνόματος ἀπαιτοῦμεν. ἡνίκα δὲ πάλιν λέγομεν, ὅτι ὁσαχῶς νοεῖται ἡ θεοῦ προσηγορία, πρόδηλον, ὅτι τὸ κατὰ πόσους τρόπους εἴρηται θεός, εἰπεῖν ἡμῖν αὐτοὺς εἰσπράττομεν. ὁ γοῦν ἐκτὸς εἰδήσεως τῶν ὅρων, δογματίζειν ἐπιχειρῶν, οὐδὲν διαφέρει τυφλοῦ ὁδοιπόρου, ὧδε, κἀκεῖσε πελαζομένου. Αρκτέον τοίνυν τῷ προειρημένῳ τρόπῳ, τριχῶς ποιεῖσθαι τὰς ἐξετάσεις τῶν ὅρων, τί ἐστιν ὅρος, καὶ κατὰ τί εἴρηται ὅρος, καὶ ὁσαχῶς νοεῖται ὁ ὅρος;

Ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς ὑποκειμένης οὐσίας τῷ πράγματι. Ὅροι δὲ λέγονται, ὡς ὁράσεις, καὶ ὀφθαλμοὶ τῶν πραγμάτων ὑπάρχοντες. ἤτοι περιλέγοντες συντόμως τὴν τοῦ νοήματος δύναμιν, οἷον, ἀνθρώπου λέγομεν, ὅτι ἄνθρωπός ἐστιν οὐσία ἔνσαρκος, καὶ ψυχῆς, καὶ λόγου, καὶ αἵματος, καὶ στοιχείων, καὶ ἑτέρων πλειόνων. περιορίζομεν ταῦτα διὰ τοῦ ὅρου λέγοντες. ὅτι ἄνθρωπός ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ, καὶ ἐπιστήμης δεκτικόν. Πολλοὶ μὲν οὖν εἰσὶ καὶ ἀναρίθμητοι ὅροι περὶ παντὸς πράγματος. ἐκ πολλῶν δὲ ὀλίγους τοὺς κυριοτέρους ἐντάττομεν διὰ τὸ ῥᾴθυμον τῶν νῦν ἀνθρώπων.

Πλὴν τοῦτο γνωστέον, καὶ πιστευτέον, ὅτι ὁ φιλοπόνως προτάττων τοὺς ὅρους, ῥήτορας, καὶ δεινοὺς πολυλόγους δυνήσεται εὐχερῶς ἐν ταῖς διαλέξεσιν ἐπιστομίζειν. ἐπὰν γὰρ ἐρωτηθῇ, τί ἐστι λόγος: καὶ κατὰ τί εἴρηται λόγος; ὁσαχῶς ὁ λόγος; καὶ ἀπορήσῃ εἰπεῖν τοὺς ὅρους ὁ δι' ἐναντίας καὶ ἐν τοῖς λοιποῖς λοιπὸν καταισχύνεται ὡς μηδὲν ἐπιστάμενος.

Ὅρος τῶν ὅρων ἐστὶν, ὁ πάντα μὲν ὁρίζων, αὐτὸς δὲ ὑπ' οὐδενὸς ὁριζόμενος. ὅστις ἐστὶν ὁ μόνος ὅρος τῶν ὅρων θεός. Αόριστόν ἐστι τὸ κατ' οὐσίαν ἀσήμαντον θεός. Δυσόριστόν ἐστι τὸ, μὴ καθόλου, ἀλλ' ἐκ μέρους γινωσκόμενον· οἷον, τὸ ξύλον τῆς ζωῆς. Τρία ἐστὶ κατ' οὐσίαν ἀνθρώποις ἄγνωστα, καὶ ἄρρητα. θεὸς, καὶ ἄγγελος, καὶ ψυχή, μόνῳ τῷ θεῷ γνωριζόμενα κατ' οὐσίαν. λοιπὸν ὁ καλῶς διαπο-

ρῶν

idem, quando sciscitamur, quid est Deus? planum est, nos definitionem rei quærere. Quando autem percontamur; Vnde dictus est Deus? Etymologiam seu notationem nominis postulamus. Quando rursus petimus; Quot modis Dei appellatio accipitur? liquet nos indicari nobis velle, quot modis hoc nomen *Deus* vsurpetur. Qui igitur absque scientia definitionum de dogmatibus disceptare ingreditur, is nihil differt à cœco viatore; qui hàc illácque temerè oberrat. Auspicandum ergo est prædicto modo, & triplex de definitionibus instituenda inquisitio, quid scilicet sit definitio; vnde dicatur; & quotuplex eius notio.

Num. 16. edit. Athan. valde discrepat ab August. & Bauarico codd. & longè est concisior.

Definitio est oratio breuis notificans subiectam rei essentiam. Nominantur ὅροι, (definitiones) quasi sint ὁράσεις, *intuitus & oculi rerum.* Vel quia mentis vim paucis circumscribunt. Nam loco huius: *Homo est substantia ex carne, anima, ratione, sanguine, elementis aliisq́ pluribus conflata*; breuiter rem per definitionem in hunc modum circumscribimus: *Homo est animal rationale, mortale; mentis & scientiæ capax.* Multæ quidem sunt & innnumeræ definitiones de qualibet re; Ex multis autem paucas duntaxat adferemus propter socordiam hominum huius ætatis.

Attamen illud obseruare & credere oportet, eum, qui accuratè definitiones instituerit, facilè in cōgressionibus silentium impositurum, & Rhetoribus, & quibusuis aliis vi dicendi pollentibus: Si enim interrogetur, quid sit ὁ λόγος, *oratio,* vnde & quot modis dicatur λόγος; & aduersarius in assignādis definitionibus fluctuet, in reliquis etiam de cætero, tanquam indoctus rubore suffunditur.

Definitio definitionum est; quæ omnia quidem definit; ipsa verò à nullo definitur. Qualis definitio finitionum solus Deus est. Definiri nequit; quod secundum essentiam suam sub significationem non cadit; vt Deus. Difficulter definiri potest, quod non est vniuersale, sed ex parte cognitum, vt lignum vitæ. Tria sunt secundum essentiam suam hominibus incognita & inexplicabilia: *Deus, Angelus, & anima*, soli Deo secundum substantiam perspecta. Postea; qui cum aduersario

D rectè

ρων πρὸς τὴν δι' ἐναντίας, οὕτω λέγει. τί ὅρος; καὶ τί τὸ ἀόριστον; καὶ τί τὸ δυσόριστον; καὶ οἷον εὐόριστον. Εὐόριστον δέ ἐστι τὸ ψηλαφώμενον, καὶ φθειρόμενον. οἷον, ὁ ἄρτος, καὶ τὰ ὅμοια. Ὅριόν ἐστιν ἀνυπέρβατος στάσις. Ἀόριστον δέ ἐστι τὸ μόνον ἄκτιστον, θεός. δυσόριστον δὲ τὸ κτιστὸν, καὶ ἀόριστον. οἷον, ἄγγελος, ψυχὴ, δαίμων.

Τί θεός; καὶ κατὰ τί θεός; καὶ ὁσαχῶς εἴρηται τὸ, θεός;

Καὶ θεὸς μέν ἐστιν οὐσία ἀναίτιος, αἰτία παναλκὴς, πάσης αἰτίας αἰτία τις ὑπερούσιος. θεός ἐστιν ἀνώνυμος, καὶ ἀσήμαντος παρ' ἀνθρώποις ὕπαρξις, πάσης ὑπάρξεως ποιητική. ἀκοινώνητον γὰρ ὄνομα, εἶπεν ὁ Σολομῶν, εἶναι τὸν θεόν. Ἀκοινώνητον δὲ ὄνομά ἐστι, τὸ μήτε ἀνθρώποις, μήτε ἀγγέλοις ἀκουσθὲν, ἢ ἐννοηθέν. ὁσαχῶς ἡ, θεός, προσηγορία εἴρηται ἐν τῇ γραφῇ; καὶ δῆλον, ὅτι διττῶς. φύσει, καὶ σχέσει. φύσει μὲν ὁ ποιητής. σχέσει δὲ, καὶ χάριτι, ὡς οἱ δίκαιοι λέγονται θεοί.

Ἐρώτησις. ἡ, θεὸς, προσηγορία, πότερον οὐσιώδης, ἢ προσωπικὴ, ἢ ἐνεργητικὴ, ἢ τοπικὴ καθέστηκε, καὶ μεταφορική; Ἀπόκρισις. καὶ πρόδηλον, ὅτι ἐνεργητικὴ τυγχάνει. οὐ γὰρ αὐτὴν τοῦ θεοῦ οὐσίαν ἡμῖν παρίστησιν. ἀδύνατον γὰρ ταύτην γνῶναι. ἀλλὰ μόνην τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν δηλοῖ τὸ, θεός.

Περὶ πατρότητος.

Τί πατήρ; καὶ κατὰ τί εἴρηται πατήρ; καὶ ὁσαχῶς ἐπὶ θεοῦ ἡ πατρότης; Πατὴρ μὲν οὖν κυρίως εἴρηται ἀναίτιος ὑπόστασις, γεννητικὴ, ἀγέννητος. εἴρηται δὲ πατὴρ, ἢ ὡς τὰ πάντα τηρῶν, ἢ ὡς τοὺς οἰκείους παῖδας τηρῶν, οἷον πατήρ. διττῶς δὲ λέγεται πατὴρ ὁ θεός. φύσει, καὶ χάριτι. φύσει μὲν, τοῦ ἰδίου, καὶ ὁ-

μουσίου

rectè rem gerit; is sciscitatur, quid sit definitio; & quid illud, quod definiri nequit, & quid, quod difficulter definiri potest; & quid τὸ εὐόριστον, quod facilè definiri potest. Facilè definitur, quod sub tactum cadit; quodque interitui obnoxium; vt panis & similia. Finis est limes seu terminus, quem transcendere non licet. Definitionis expers est solus increatus Deus. Non facilè definitur ex creatis rebus, *Angelus, anima, dæmon.*

Quid Deus; vnde dicatur, & quot modis vox hæc vsurpetur?

DEVS est substantia caussæ expers; caussa omnipotens omnis caussæ. Caussa quædam supra substantiam. Deus substantia est; quæ ab hominibus nec nominari, nec significari valet; substantia omnis substantiæ effectrix: Nam nomen Dei *incommunicabile* esse Salomon pronunciauit. Incommunicabile verò nomen est, quod nec ab hominibus, nec ab Angelis auditu perceptum; & mente comprehensum est. Quot modis Dei appellatio in scriptura accipitur? Clarum est; duobus accipi, scilicet secundum naturam; & secundum habitudinem. Natura Deus dicitur creator rerum omnium; habitudine & gratia *Dij* nominantur iusti. *Sap. 14.* *Psalm. 81.* *Ioan. 10.*

Interrogatio. Num Dei appellatio essentiam an personam, an operationem denotat? Item, num propria est, an metaphorica & translatitia? Responsio. Operationem significat; quod per se liquidum. neque enim ipsam Dei substantiam intelligentiæ nostræ subiicit; fieri namque non potest, vt ea cognoscatur; sed solam potentiam agendi; quam Deo inesse cogitatione apprehendimus, vocabulum Dei nobis repræsentat.

De Paternitate.

QVid Pater, & vnde & quot modis dicitur Paternitas in Deo? Pater propriè nominatur hypostasis caussæ expers, generans & ingenita. Dicitur Pater, vel ὡς τὰ πάντα τηρῶν, quasi omnia conseruans, vel tanquam filios conseruās,

μονουσίου θεοῦ λόγου. χάριτι δὲ ὡς ἡμῶν. ὡς τό, ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες.

Περὶ υἱότητος.

Τί υἱός; καὶ κατὰ τί εἴρηται υἱός; καὶ ὁσαχῶς ὁ υἱὸς νοεῖται; καὶ υἱὸς μὲν κυρίως ἐστὶ δευτερότης ὑποστάσεως ἐν ταυτότητι φύσεως. ἢ αὔξησις προσώπων ὁμογενής. ἢ * πρόοδος φύσεως εἰς συγγένειαν γνωριζομένη. υἱὸς δὲ κυρίως εἴρηται, ὡς ἂν εἴποις οἷος. οἷος γὰρ ὁ πατὴρ τὴν οὐσίαν, τοιοῦτος ὁ μονογενής, καὶ ὁ υἱὸς εἴτε ἐξ ἀκτίστου ἄκτιστος, εἴτε ἐκ θνητοῦ θνητός, καὶ βροτοῦ βροτός. κατὰ δύο δὲ τρόπους πάλιν εἴρηται ἐπὶ θεοῦ ἡ υἱότης. φύσει, καὶ χάριτι. φύσει, υἱὸς ὁ θεὸς λόγος. χάριτι δὲ, οἱ δίκαιοι.

* C.B. ἡ πρόοδος φύσεως, ἡ συγγένεια γνωριζομένη. Cognita cognatio.

Περὶ πνεύματος.

Τί πνεῦμα; κατὰ τί εἴρηται πνεῦμα; καὶ ὁσαχῶς λέγεται ἐν τῇ γραφῇ τὸ πνεῦμα; καὶ πνεῦμα μέν ἐστι λεπτή, καὶ ἄυλος, καὶ ἀσχημάτιστος ἐκπρεπὴ ὕπαρξις. πνεῦμα δὲ εἴρηται, ὡσπερεὶ πᾶν νεῦμα δι' αὐτοῦ, ὡς νεῦμα, ὀξέως παντὶ νεῦον, καὶ κινούμενον. εἴρηται δὲ τὸ πνεῦμα ἐν τῇ γραφῇ τετραχῶς. τὸ πνεῦμα τὸ ἅγιον. πνεῦμα ὁ ἄγγελος. πνεῦμα ἡ ψυχή. πνεῦμα καὶ ὁ ἄνεμος. ἔστι δὲ ὅτε καὶ ὁ νοῦς εἴρηται πνεῦμα. τριάς ἐστι κατὰ μὲν τὴν φυσικὴν ἀκολουθίαν, μονάδων σύνθεσις· κατὰ δὲ τὴν θεϊκὴν οὐσίαν ὑπεράριθμος ὕπαρξις.

Περὶ ἀϊδιότητος.

Ἀΐδιόν ἐστι τὸ ἀεὶ * διόν, ἤγουν τὸ μηδέποτε ἀρξάμενον, οὐδὲ λῆγον. οὐ πᾶν ἀτελεύτητον, πάντως καὶ ἄναρχον. οἱ γὰρ ἄγγελοι, καὶ αἱ ψυχαί, ἀρχὴν μὲν ἔχουσιν τοῦ εἶναι. τέλος δὲ οὐκ ἔχουσι.

* C.B. ἀεὶ ὄν. Recte. Expressi tamen lect. Cod. Aug.

Περὶ

quasi * πατὴρ. Dupliciter autem dicitur Deus Pater, naturâ & gratia. Naturâ pater est proprij sui, & sibi consubstantialis Verbi: gratiâ verò noster: iuxta illud: *Ego dixi, Dij estis, & filij excelsi omnes.*

* *Vide 1. leg. εἶον πατήρ; vt alludat ad illud: τὺς παῖδας τηρῶν. Ioan. 10.*

De filiatione.

QVid filius; & vnde, & quot modis dicitur? filius propriè est geminatio seu iteratio hypostaseos in eadem natura; vel personarum in eadem natura multiplicatio; vel processio naturæ in communionem eiusdem substantiæ. υἱὸς filius propriè dicitur, quasi dixeris οἷος, *Qualis*. Nam qualis pater secundum essentiam, talis est & vnigenitus filius, videlicet ex increato increatus, siue ex mortali mortalis. Duobus verò modis dicitur filius de Deo, natura & gratia. Natura de verbo diuino, gratia de nobis.

De spiritu.

QVid spiritus; vnde; & quotupliciter in scriptura vsurpatur? Spiritus est subtilis & tenuis, materiæ & figuræ expers substantia per processionem. Dicitur spiritus πνεῦμα, quasi πᾶν νεῦμα *omnis nutus*: eò quod nutus instar celeriter quocunq; volet, feratur & moueatur. Accipitur spiritus quatuor modis in scriptura: pro Spiritu sancto, pro Angelo, pro anima & pro vento. Adhæc mens quoque spiritus vocatur. Trias seu Trinitas, si rem naturæ cursu metiri velimus, nihil aliud est; quàm vnitatum compositio. At in diuinis est Trinitas substantia, seu subsistentia omnem numerum supergressa.

De æternitate.

Ἀΐδιον, æternum est, τὸ ἀεὶ δῖον; quod semper & omnia permeat, siue quod principio & fine caret. Non omne quod finis est expers, caret etiam initio. nam Angeli & animæ initium suæ procreationis habuerunt; finem verò non habent.

Περὶ ἰδιώματος.

Ἰδίωμα λέγεται τὸ κυρίως ἔν τινι φύσει γνωριζόμενον· ἐν ἑτέρᾳ δὲ οὐσίᾳ μηδαμῶς ὑπάρχον. ὥσπερ ἐν τῷ ἀνθρώπῳ τὸ γελαστικόν. οὐ γάρ ἐστι γέλως ἐν ἄλλῃ οἵᾳ δή ποτε φύσει.

Περὶ φύσεως.

Τί φύσις; καὶ ὁσαχῶς ἡ φύσις; καὶ κατὰ τί εἴρηται φύσις; καὶ φύσις μέν ἐστι κατὰ τὸ φρόνημα τῆς ἐκκλησίας, ἀληθὴς πράγματος ὕπαρξις. Κατὰ δὲ Ἀριστοτέλην, καὶ τοὺς λοιποὺς Ἕλληνας, πολυτρόπως ἡ φύσις ὁρίζεται. οὕστινας ὅρους οἱ ἀπὸ Σευήρου κρατοῦντες, ἀπεπλανήθησαν. Φύσις ἐστὶ κατὰ τὸν θεῖον Ἀπόστολον, πᾶν τὸ ἐν ἀληθείᾳ ὄν· ἀλλ' οὐκ ἐν φαντασίᾳ λεγόμενον, καθὰ πλατύτερον λέξομεν ἑξῆς. Φύσιν λέγει ἡ ἐκκλησία τὴν τῶν ὑπαρχόντων ἀλήθειαν, ἤγουν τὸ τούτων ἐνούσιον. Φύσις δὲ εἴρηται διὰ τὸ πεφυκέναι, καὶ εἶναι, ὥσπερ καὶ οὐσία, ὡς οὖσα, καὶ ἐν ἀληθείᾳ γνωριζομένη. Φύσις, καὶ οὐσία, καὶ γένος, καὶ μορφὴ, ἕν, καὶ τὸ αὐτό εἰσιν ἐν τοῖς ἐκκλησιαστικοῖς δόγμασιν· ὥσπερ ὁ ἄρτος, καὶ τὸ ψωμίον, καὶ τὸ * βουκίν. διὸ καὶ τὸ ἔμφυτον, καὶ τὸ ἐνούσιον ταυτόν τί ἐστι.

* C.B. βουκίον.

* Τετραχῶς δὲ εἴρηται ἡ φύσις, ὡς προεῖπον. οὐσία, καὶ φύσις, καὶ γένος, καὶ μορφή. εἴρηται τοίνυν τῷ σοφῷ Σολομῶντι περὶ τῶν ἀσεβῶν ἀνθρώπων. ὅτι μάταιοι. πάντες ἄνθρωποι φύσει. οἱ ἔχοντες ἀγνωσίαν θεοῦ. καὶ πάλιν εἴρηται τῷ θείῳ Ἀποστόλῳ περὶ ἡμῶν τῶν ἐθνῶν. ὅτι ἦμεν ποτὲ τέκνα φύσει ὀργῆς. Ἐὰν οὖν φυσικῶς, ἤτοι αὐτοφυῶς εἰσιν οἱ ἀσεβεῖς μάταιοι, ἀνέγκλητοί εἰσι. τὰ γὰρ ἐκ φύσεως φυσικῶς ἡμῖν ἐνυπάρχοντα, ἀδιάβλητα, καὶ ἀκατάγνωστα εἰσιν, ὡς φυσικῶς ἐν ἡμῖν ὑπὸ θεοῦ δημιουργηθέντα, ὥσπερ τὸ ἀναπνεῖν, καὶ τὸ ἐσθίειν, καὶ τὸ καθεύδειν. Καὶ εὑρεθήσεται ὁ θεὸς φυσικῶς δημιουργήσας ἐν ἀνθρώποις τὴν ματαιότητα. ὡσαύ-

** Hæc quæ de natura sequuntur, non comparent in Cod. Bavar.*

τως

De Idiomate ſeu proprietate.

PRoprietas dicitur, quod alicui naturæ propriè competit; inque alia natura non reperitur: quemadmodum in homine *riſibile*. In nulla enim alia natura qualiſcunque illa ſit; *riſus ineſt*.

De natura.

QVid natura; quotupliciter, & vnde dicitur? Natura ex Eccleſiaſticæ doctrinæ regula, eſt vera rei exiſtentia: Secundum Ariſtotelem verò, alioſque Græcos multifariam natura definitur; quas definitiones Seueriani ſectati à veritate exciderunt. Natura, ex Apoſtoli inſtitutione, eſt omne, quod in veritate *exiſtit*; nec à ſola phantaſia fingitur; de quo poſtea copioſius. Eccleſia naturã vocat ipſam rerum exſiſtentium veritatẽ; ſiue id quod eſſentiæ illarum inſitũ eſt. Natura dicitur à naſcendo, & quod ſit ſeu exiſtat; ſicut & *οὐσία*, eſſentia dicitur quaſi *ὄν*; *ens*, exiſtens, quæ verè concipitur ſeu cogitatur eſſe. Natura; & *οὐσία* ſeu eſſentia, & genus & forma vnum idemq́; in Eccleſiaſticis dogmatibus ſignificant; quemadmodum panis; *fruſtulum* & buccella idem ſonãt. Quare & innatum, & *τὸ ἐνυπον*, quod eſſentiæ inſitum eſt; idem ſunt.

Porrò quadrifariam appellatur natura; vt antea dixi, eſſentia videlicet, natura, genus, & forma. Apud ſapientiſsimũ Salomonem de impiis pronunciatum legimus: *Vani ſunt omnes homines* naturâ, *in quibus non ſubeſt ſcientia Dei*. Et diuinus Apoſtolus de nobis Ethnicis aſſerit: *Eramus* naturâ *aliquando filij iræ*. Si igitur impij naturâ vani ſunt; vanitatemque naturæ inſitam habent, reprehenſione carent; Nam quæ naturaliter nobis à natura inſunt; ea reprehendi & damnari nequeunt: vtpote naturaliter ab auctore & conditore vniuerſarum rerum profecta; ſicut reprehendi non poteſt; quod reſpiramus; edimus, & dormimus. Ex quo conficeretur, Deum vanitatem illam naturæ inſitam condidiſſe; Pari modo, ſi *naturâ* filij iræ eramus: ad Deum cauſſa referenda erit. Naturâ enim id nominatur, quòd *eſſentialiter* ſe ita habet; ſicut naturâ, ſeu naturaliter lucis natura ad illuminandum facta eſt; & ignis naturaliter

Sap. 13.
In lat. edit. non habetur, naturâ. *ſed in Græco eſt,* φύσει.
Epheſ. 2.

Digitized by Google

τως καὶ ἐὰν φύσει ἐσμὲν τέκνα ὀργῆς, εἰς θεὸν ἡ αἰτία ἀνατρέχει. τὸ φύσει γὰρ, τὸ οὐσιωδῶς οὕτως ὑπάρχον, εἴρηται, ὥσπερ φύσει εἰς τὸ φωτίζειν ἡ τοῦ φωτὸς φύσις γέγονεν. καὶ φύσει εἰς τὸ καίειν τὸ πῦρ ἐδημιουργήθη. καὶ φύσει, ἡ γῆ εἰς τὸ βλαστάνειν διεπλάσθη. ἐν κοινῷ πρόκειται τοῖς αἱρετικοῖς ἓν ἐκ τῶν δύο εἰπεῖν. ἢ ὅτι ματαιότητος, καὶ ὀργῆς φύσεις ὁ θεὸς ἐποίησεν· ἢ ὅτι τὸ φύσει οὐδὲν ἕτερον δηλοῖ, εἰ μὴ τὸ ἐν ἀληθείᾳ ὄν. καὶ λοιπὸν ἀνέγκλητοι ἐσμὲν λέγοντες φύσει θεὸν τὸν χριστὸν, καὶ φύσει ἄνθρωπον, τουτέστι, τὸν κατὰ ἀλήθειαν θεὸν, καὶ κατὰ ἀλήθειαν ἄνθρωπον. ταύτην δὲ τὴν παράδοσιν, καὶ τὸν ὅρον, τὸν περὶ φύσεως τοῦτον, ὃν νῦν ἐκ παλαιᾶς, καὶ καινῆς διαθήκης παρηγάγομεν, οὔτε διδάσκαλος, οὔτε ἄγγελος ἐξ οὐρανοῦ καινοτομῆσαι, ἢ ἀνατρέψαι δύναται εἰς τὸν αἰῶνα.

Περὶ ὑποστάσεως.

Τί ὑπόστασις; καὶ κατὰ τί ὑπόστασις, καὶ ὁσαχῶς ἡ ὑπόστασις εἴρηται; ὑπόστασις οὖν ἐστι κατὰ τὴν ἐκκλησιαστικὴν, καὶ ἀποστολικὴν παράδοσιν, τὸ πρόσωπον, ἤγουν ὁ χαρακτὴρ, καθά φησιν ὁ Παῦλος τὸν υἱὸν, ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, τουτέστιν πρόσωπον ὁμοούσιον τοῦ χαρακτῆρος τῆς ὑποστάσεως τοῦ πατρός. πρόσωπον δὲ, καὶ χαρακτῆρα λέγομεν ἐπὶ θεοῦ, ἀσώματα, καὶ ἀπερίγραπτα, καὶ ἀσχημάτιστα. πρόσωπον ἤγουν ὑπόστασίς ἐστι κατὰ τοὺς ἁγίους πατέρας, τὸ ἰδικὸν παρὰ τὸ κοινόν. κοινότης γάρ ἐστιν ἡ φύσις ἑκάστου πράγματος. ἴδια δέ εἰσιν αἱ ὑποστάσεις, οἷον τι λέγω· φύσις ἐστὶν ἤγουν οὐσία μία, ἡ θεότης. ὑποστάσεις δὲ τρεῖς, πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. τρία πρόσωπα, ἤγουν χαρακτῆρες, μία δὲ οὐσία, καὶ τὸ γένος.

Ἐὰν οὖν εἴπῃς, ὅτι φυλάξει ἡμᾶς ἡ θεότης, ὅλην τὴν ἁγίαν τριάδα ἐσήμανας. εἰ δὲ εἴπῃς, μεθ᾿ ἡμῶν ὁ υἱὸς τοῦ θεοῦ, μίαν τῶν

τριῶν

raliter procreatus est ad vrendum. Et terrâ naturâ condita est, vt germina proferat. Restat igitur, vt ex duobus hæretici alterum affirment: vel quod Deus vanitatis & iræ naturas creauerit: vel quod * τὸ φύσει, naturâ seu naturaliter nihil aliud significet, quàm id, quod reuera existit. Quo fit, vt in posterum liberemur ab omni reprehensione, cũ asserimus, Christum natura Deum, & natura hominem esse: hoc est, eum, qui reuera Deus est; reuera quoq; hominem esse. Hanc autem traditionẽ, naturæq; definitionem, quam ex veteri & nouo Testamento nunc attulimus, neq; doctor, neq; Angelus de cœlo vnquam in omnem æternitatem expugnabit aut euertet.

** Accipit Anastasius illud τὸ φύσει, naturâ latius pro eo quod est; nec tamen solũ pro eo, quod verè & positiuè est: sed & pro iis, quæ cõmuni hominum loquendi consuetudine verè esse seu existere dicuntur; vt sunt negationes, priuationes, peccata, & defectus varij seu moraliũ, seu naturalium perfectionũ, licet strictè loquendo non sint aut existant, cum non sint entia, sed negationes quædã entium. Quia tamẽ verè dicimus de cæco:* Cœcus est; *& de aëre lucis experte;* tenebrosus est: *quo loquendi modo significamus cæcitatem & tenebras aliquo modo esse seu existere: ideo & hæc negatiua seu priuatiua Anastasius, τὸ φύσει, id est, ἐν ἀληθείᾳ, verè existere ait; licet non sint naturæ ἐνόντα, innata & insita.*

De Hypostasi.

QVid hypostasis; vnde; & quot modis dicitur? Hypostasis secundum Ecclesiasticam & Apostolicam traditionem est persona siue character, hoc est, figura; quo pacto à Paulo Apostolo filius nominatur *splendor gloriæ Patris, & figura hypostaseos* (substantiæ) *eius*. Hebr. 1. Personæ verò & characteris nomine intelligimus in Deo incorporeum quid incircumscriptum, figuraque carens. Persona siue hypostasis, ex sententia sanctorum Patrum, est proprium quiddam præter commune. Nam cuiusuis rei natura est quiddam commune: at hypostases sunt propriæ, vtque exemplum adferamus; vna natura seu essentia est diuinitas; tres verò hypostases, Pater, & Filius, & Spiritus sanctus. Tres personæ siue characteres, vna verò essentia * & genus.

** Accipit genus pro natura; vt supra professus est.*

Si quis ergo dixerit: custodiet nos diuinitas, tota Trinitas significatur. At si dicas: Nobiscum est Filius Dei; vnam ex tribus hypostasibus indicasti, totamque diuinitatem.

E Iterum

τριῶν ὑποστάσεων εἶπας, καὶ ὅλην τὴν θεότητα. καὶ πάλιν περὶ τῶν αὐτῶν ἄκουσον. ἡ θεότης· ἰδοὺ τὸ κοινὸν, καὶ ὁλοτελὲς τῆς οὐσίας. λοιπὸν, ἡ πατρότης. ἰδοὺ, ἓν πρόσωπον, ἤτοι ὑπόστασις. ἡ υἱότης· ἰδοὺ, ἄλλη ὑπόστασις· τὸ πνεῦμα τὸ ἅγιον· ἰδοὺ, ἄλλη ὑπόστασις. τρεῖς ὑποστατικαὶ ἰδιότητές εἰσιν ἐπὶ τῆς θεότητος. τὸ ἀγέννητον τοῦ πατρός. Καὶ τὸ γεννητὸν τοῦ υἱοῦ. καὶ τὸ ἐκπορευτὸν τοῦ ἁγίου πνεύματος. οὐδὲ γεννητός ἐστιν ὁ πατήρ. οὐδὲ ἐκπορευτός ἐστιν ὁ υἱός. οὐδὲ γεννητὸν τὸ πνεῦμα τὸ ἅγιον. Πενταχῶς δὲ εἴρηται ἡ ὑπόστασις· ὑπόστασις, καὶ πρόσωπον, καὶ χαρακτὴρ, καὶ ἴδιον, καὶ ἄτομον.

Πάλιν περὶ φύσεως.

Φύσις λέγεται ἡ ἀγγελιότης· ὑπόστασις δὲ αἱ ἰδικαὶ ἑκάστου ἀγγέλου προσηγορίαι. Γαβριὴλ, Μιχαὴλ, Οὐριὴλ, Ῥαφαήλ. καὶ πάλιν, φύσις ἐστὶ μία, καὶ κοινή. [ὡς] ἡ ἀνθρωπότης. ὑπόστασις δὲ, Πέτρος, Παῦλος, Θωμᾶς, καὶ τὰ λοιπὰ πρόσωπα, καὶ οἱ χαρακτῆρες. ἡ οὖν φύσις ἐστὶν ἡ κυρία, καὶ αἰτία, καὶ γεννητικὴ τῶν ὑποστάσεων τῶν ἐν αὐτῇ· καὶ διὰ τοῦτο ὑποστάσεις λέγονται, ὡς ὑπὸ τὴν φύσιν ἱστάμεναι, [κατὰ] τὴν αὐτὴν πηγήν.

Καὶ πάλιν περὶ τοῦ αὐτοῦ ἐροῦμεν. ἐὰν εἴπῃς, καλὴ φύσις ὁ ἄγγελος, ὅλην τὴν οὐσίαν αὐτῶν ἐσήμανας. εἰ δὲ εἴπῃς, μέγας ἐστὶν ὁ Γαβριὴλ, ὑπόστασιν μίαν ἐκ πάντων εἶπες. Ὁ ἄνθρωπος ἐλεεινός. ἰδοὺ ὅλη ἡ οὐσία. Ὁ δὲ Κόνων, καὶ ὁ Σίμων, καὶ ὁ Φίλων ὑποστάσεις εἰσί. καὶ πάλιν. ἐὰν εἴπῃς, ὅτι τὸ πετεινὸν ἐλαφρόν. ἰδοὺ ὅλη οὐσία. ἡ δὲ περιστερὰ, ἡ τρυγὼν, ἡ ἀηδὼν, ὁ ταὼν, ὁ κύκνος. ἰδοὺ αὗται ὑποστάσεις. τὸ κτῆνος. ἰδοὺ πᾶσα ἡ κτηνώδης οὐσία. ὁ δὲ ἵππος, καὶ ὁ λέων, καὶ ὁ κύων. ἰδοὺ αὗται ὑποστάσεις, καὶ χαρακτῆρες, καὶ πρόσωπα λέγονται· οὐ μόνον δὲ ἐπὶ νοερῶν, καὶ λογικῶν, καὶ ἐμψύχων ὁ αὐτὸς κανὼν τῶν ὅρων ἁρμόζει, ἀλλὰ καὶ ἐπὶ πάσης ἀψύχου, καὶ ἀναισθήτου, καὶ ἀκινήτου φύσεως. οἷον τι λέγω.

Ἐὰν εἴπωμεν, ὅτι ἐποίησεν ὁ θεὸς, τὸ φῶς. ἰδοὺ τὴν οὐσίαν τῶν φωστήρων πᾶσαν ἐσημάναμεν. αὕτη λοιπὸν ἡ οὐσία τέμνεται εἰς τὰς ὑποστάσεις αὐτῆς. ὑποστάσεις δὲ φύσεως τοῦ φωτός εἰσι. σελήνη, καὶ ἄ-

στρα,

Iterum de iisdem aduerte. *Diuinitas*. En id quod commune est, ipsamque perfectã essentiam. Pergamus. *Paternitas*. Ecce vnam personam, seu hypostasin. *Filiatio*. En aliam hypostasin. *Spiritus sanctus*. Ecce aliã hypostasin. Tres sunt hypostaticæ proprietates in diuinitate. Ingenitũ esse, Patris. Genitum, Filij; Et processio Spiritus sancti. Neque genitus est Pater, neque procedens Filius; neque genitus Spiritus sanctus. Quinque appellationes habet hypostasis. Hypostasis, persona, character, proprietas, & indiuiduum.

Rursus de natura.

NAtura dicitur; * substantia Angeli, hypostasis autem Angeli est propria cuiusuis Angeli appellatio, putà Gabriel, Michael, Vriel, Raphael. Rursus. Natura vna est & communis, vt humanitas; hypostasis verò est Petrus, Paulus, Thomas, cæteræque personæ & characteres. Natura igitur est, auctrix, fons & origo hypostaseωn, quæ in ipsa insunt; hinc & hypostases vocantur; tanquam sub ipsa natura, fonte & origine sua consistentes.

* q. d. Angelitas.

Iterum de eodem argumento verba faciamus. Si dicas: Insignis natura Angeli; totam ipsorum essentiam insinuasti. At si dicas: magnus est Gabriel; vnam hypostasin ex omnibus significasti. Miserandus homo. En tota natura. At Conon, Simon, Philo, hypostases sunt. Rursus; si dicas, volatile esse leue: Ecce tota natura: at verò columba, turtur, luscinia, pauo, olor; hypostases sunt. Iumentum, en tota iumentorum natura. At equus, leo, canis, hypostases, characteres, & *supposita* appellantur. Et hæc regula locum habet non solùm in iis, quæ ratione, intellectu & anima pollent; sed & in naturis, quæ anima, sensu, & motu destitutæ sunt.

Exemplo res declarabitur. Si dicam à Deo creatam esse lucem: Ecce totam luminarium naturam significauimus. Et hæc natura diuiditur in suas hypostases. Hypostases naturæ luminis sunt luna & astra, orion, hesperus, vrsa, lucifer, can-

στρα, ὠρίων, ἕσπερος, ἄρκτος, ἑωσφόρος, καρκῖνος, καὶ τὰ λοιπά. ὁμοίως καὶ ἐπὶ ἀνέμων. ἐὰν εἴπῃς, πνεῦμα, πᾶσαν τὴν φύσιν τῶν ἀνέμων ἐσήμανας. εἰ δὲ εἴπῃς, νότος, ἢ βορρᾶς, ἢ λίψ, αὗται ὑποστάσεις εἰσίν. ὡσαύτως τὸ πῦρ, μία οὐσία ἐστί. τέμνεται δὲ εἰς ὑποστάσεις, ἤγουν λύχνους, καὶ κηρούς, καὶ λαμπάδας, καὶ κλιβάνους, καὶ καμίνους. ὁμοίως γοῦν, ὡς προεῖπον. καὶ ἀνθρωπότης πᾶσα μία οὐσία ἐστί. πολλὰ δὲ πρόσωπα.

Τὴν οὖν ἁγίαν σάρκα τοῦ χριστοῦ οὐ λέγομεν πρόσωπον, ἀλλ' οὐσίαν. ἵνα σημαίνωμεν, ὅτι ὅλην τὴν φύσιν ἡμῶν ἔλαβε, καὶ ἔσωσεν. εἰ γὰρ εἴπωμεν αὐτὴν ὑπόστασιν, ἕνα τινὰ ἄνθρωπον εὑρισκόμεθα λέγοντες, ὅτι ἀνέλαβε, καὶ ἔσωσεν ὁ χριστός. πλὴν οὔτι δύναται λέγεσθαι ὑπόστασις, ἐφ' ὅσον ἀχώριστός ἐστιν τοῦ θεοῦ λόγου ἡ σάρξ. ὑπόστασις γὰρ τὸ κεχωρισμένον πρόσωπον λέγεται.

Ἐνυπόστατον μέν τοι αὐτὴν λέγομεν, οὐ μὴν ὑπόστασιν. τὸ γὰρ ἐνυπόστατον, τὸ ὑπάρχον ἐστίν. ὥσπερ ἀνυπόστατον πάλιν, τὸ μὴ ἔχον ὕπαρξιν, ἤτοι οὐσίαν. οἷόν ἐστι τὸ ἐνύπνιον, ἀνούσιον, καὶ ἀνυπόστατον, καὶ φαντασιῶδες.

Καὶ ὅπως ὁριστικῶς εἴπωμεν, ἀνυπόστατον, καὶ ἀνύπαρκτον, καὶ ἀνούσιόν ἐστι τὸ ῥήματι μὲν πολλάκις λεγόμενον, ἐν οὐσίᾳ δὲ ἢ ὑποστάσει γνωριζόμενον. οἷον, ὁ ᾅδης, ὁ θάνατος, ἡ νόσος. πάλιν ἐνούσιον λέγομεν, ἢ αὐτὸ τὸ ὄν, ἢ τὸ ἐν τῇ οὐσίᾳ γνωριζόμενον ἰδίωμα. οἷον. ἐνούσιόν ἐστι τοῦ ἀνθρώπου τὸ λογιστικόν, καὶ τὸ φθαρτόν. ὁμοίως καὶ τὸ ἐνυπόστατον, κατὰ δύο τρόπους λέγεται· ἢ τὸ κατ' ἀλήθειαν ὑπάρχον. ἢ τὸ ἐν τῇ ὑποστάσει ἰδίωμα, ὡς ἐν τῷ θεῷ, καὶ πατρί, τὸ ἀγέννητον. ἐν δὲ τῷ υἱῷ, τὸ γεννητόν. ἐν δὲ τῷ ἁγίῳ πνεύματι, τὸ ἐκπορευτόν. καθὼς καὶ ἀνωτέρω εἴρηται.

Ἕξις ἐστὶν ἡ ποιὰ πάσης φύσεως δύναμις. ἡ τῶν λοιπῶν αὐτὴν οὐσιῶν διακρίνουσα, καὶ ἀφορίζουσα. καθά φησιν ὁ θεῖος Διονύσιος. ὅτι φθορά ἐστι φύσεως, ἀσθένειά τι, καὶ ἔλλειψις τῶν φυσικῶν ἕξεών τε, καὶ ἐνεργειῶν, καὶ δυνάμεων.

Περὶ

cer, & similia. Eadem ratio est in ventis. Si dicas, spiritus; omnem ventorum naturam indicasti. At si dixeris; Notus, aut Boreas, aut Lips; iam hypostases nominas. Par ratio ignis. Vna constat natura. Diuiditur autẽ in hypostases, vt in Lychnos, cereos, lampades, clibanos & caminos. Similiter, vt antea dictũ, humanitas, vna est natura; multas verò personas complectitur.

Sacrosanctam igitur Christi carnem non vocamus personam, sed naturam; vt indicemus, eum totam naturam nostrã adsumpsisse & saluasse: si enim illam nominemus hypostasin; necesse est affirmare Christum vnum quendam hominem adsumpsisse & saluasse, sed neque dici potest (caro Christi) hypostasis; quatenus à diuino verbo inseparabilis est; hypostasis enim est & dicitur persona separata.

In hypostasi quidem subsistens vocatur (caro) non autem hypostasis. nam quod in hypostasi inest; est id, quod existit. quemadmodum id, quod est absq; hypostasi, est id, quod non existit, essentiæ, seu naturæ expers; cuiusmodi est somnium; hoc enim naturâ & subsistentiâ, & hypostasi caret; quippe in sola imaginatione situm.

Vt verò definitionem adferamus, subsistentia, existentia, & essentia carẽs est illud; quod nomine quidem multifariam dicitur, naturâ autem seu hypostasi pręditum esse verè per cogitationẽ non apprehenditur, vt * orcus, mors, morbus. Rursus in natura inexistens, nominamus aut ipsum ens; aut proprietatem quandam in natura existentem: Exempli caussa; existens in natura hominis, est rationale & mortale. Similiter etiam, subsistens in hypostasi dupliciter vsurpatur; aut pro illo, quod secundum rei veritatem existit; aut pro proprietate in hypostasi. Sicut in Deo Patre est ingenitum esse; in Filio, genitum esse: in Spiritu sancto, procedere, quemadmodum supra quoque dictum est.

De his lege Damascenum in Dialectica, & definitiones S. Maximi.

* ὁ ᾅδης. *Poëticus scilicet, quia fabulosus.*

Habitus est quælibet cuiuscunque naturæ potentia; qua à cæteris naturis secernitur & separatur; sicut dicit diuinus Dionysius; corruptionẽ esse naturæ; imbecillitatem verò & defectionem esse naturaliũ habituum, operationũ & facultatum.

Περὶ θελήματος.

Τί ἐστι θέλημα; καὶ κατὰ τί εἴρηται θέλημα; καὶ ὁσαχῶς ἐστι τὸ θέλημα; Καὶ θέλημα μέν ἐστιν οὐσίας νοερᾶς, καὶ λογικῆς ἔφεσις πρὸς τὸ καταθύμιον. πᾶν γὰρ νοερὸν, πρόδηλον, ὅτι καὶ θελητικόν. ὥσπερ γὰρ πνοή τίς ἐστι, καὶ ζωὴ ἡ θέλησις πάσῃ λογικῇ φύσει οὐσιωδῶς ὑπάρχουσα.

Θέλημα δὲ εἴρηται κατὰ τὸ θέλειν λίαν ἅμα τὴν φύσιν πρὸς τὸ αὐτῇ θελητόν. ἢ, τοῦ θελητοῦ λῆμμα, ἤγουν, κράτημα. Τριχῶς δὲ θεωρεῖται τὸ θέλημα, τοῦτ' ἐστι, θεϊκὸν, καὶ ἀγγελικὸν, καὶ ψυχικόν. αἱ τρεῖς γὰρ αὗται, καὶ μόναι φύσεις εἰσὶ θελητικαί. τριχῶς δὲ πάλιν καὶ ἐν τῇ γραφῇ εὑρίσκομεν τὸ θέλημα λεγόμενον. θεϊκὸν. καὶ φυσικὸν, ἤγουν μέσον· τρίτον, τὸ σαρκικόν. ὅπερ σημαίνει τὸ διαβολικόν. Θέλημα φυσικὸν θεόκλιτον ἀνθρώπου ἐστι κίνησις νοερὰ τοῦ ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς κατὰ φύσιν πρὸς τὸ ποθούμενον συνωθοῦσα τὸν ἄνθρωπον. Θέλημά ἐστι θεϊκὸν παρὰ ἀνθρώποις ἡ τῆς ἐμφύτου νοερᾶς ὀρέξεως πρὸς τὸ ὑπὲρ φύσιν, ἐκ τοῦ κατὰ φύσιν ἔπαξις. Θέλημα σαρκικὸν ἐμπαθές ἐστιν, ἡ τοῦ κατὰ φύσιν, πρὸς τὸ παρὰ φύσιν τῆς ψυχῆς παρατροπή.

Τί ἰδίωμα;

Τί ἰδίωμα; καὶ ὁσαχῶς τὸ ἰδίωμα; καὶ κατὰ τί εἴρηται ἰδίωμα; τὸ ἰδίωμα, ἰδίωμα εἴρηται κατὰ τὸ ἴδιον εἶναι ἅμα τῆς ἰδίας φύσεως ἀμιγὲς τῶν λοιπῶν οὐσιῶν ὑπάρχον. ἢ διὰ τὸ ἐν τῷ εἴδει ἅμα εἶναι. ἀχώριστοι γάρ εἰσι τῶν φύσεων, καὶ τῶν ὑποστάσεων αἱ αὐτῶν ἰδιότητες. ἰδίωμα ἤγουν ἰδιότης ἐστι, τὸ κυρίως ἐν τινι φύσει ἰδικῶς γνωριζόμενον, ἐν ἑτέρᾳ δὲ μὴ εὑρισκόμενον. οἷόν τι λέγω. ἐν τῇ θείᾳ φύσει τὸ προαιώνιον, τὸ ἄκτιστον, τὸ ἀπερίγραπτον. ἅτινα οὐχ ὑπάρχουσιν ἐν ἄλλῃ, οἵᾳ δή ποτε οὐσίᾳ· οὔτε ἐν αὐτῷ τῷ παναγίῳ σώματι τοῦ Χριστοῦ κατ' οὐσίαν. οὔτε γὰρ προαιώνιόν ἐστιν, οὐδὲ ἄκτιστον, οὐδὲ ἀπερίγραπτον ἔσταί ποτε.

De voluntate.

QVid est voluntas, vnde dicitur, & quot modis accipitur? Voluntas est in natura intellectuali & rationali appetitio eius, quod gratum est & iucundum. Perspicuum est enim omne ill ud quod intellectu præditum est; etiam volendi potétia præditum esse. Nam voluntas inest essentialiter omni rationali naturæ non aliter quàm spiritus quidam ac vita.

Dicitur, voluntas, κατὰ τὸ θέειν λίαν ἅμα, quod valde currat naturâ ad id, quod cócupiscit; vel dicitur quasi τοῦ θελητοῦ λῆμμα, apprehensio eius; quod vult. Tripliciter porrò accipitur voluntas: pro voluntate diuina; Angelica; & humana. Istæ enim tres naturæ, eæque solæ volendi facultate valent. Rursus trifariam in scriptura vsurpatur voluntas, videlicet pro diuina, pro naturali siue media, tertiò pro carnali, quæ est voluntas Diabolica. Voluntas naturalis à Deo condita hominique tributa, significat motionem intellectualem appetitiuæ partis animæ secundum naturam; impellens hominem ad id, quod desideratur. Diuina voluntas apud homines est, insitæ intellectualis appetitionis ad ea, quæ sunt supra naturam impulsio. Voluntas carnalis affectionibusque dedita est exorbitatio & deerratio animæ ab illis; quæ secundum naturam, ad ea quæ præter naturam sunt.

Quid sit idioma seu proprietas.

QVid est idioma, vnde dicitur, & quot modis accipitur? Idioma seu proprietas inde nominatur, quod proprium sit simul propriæ naturę sine admixtione aliarum naturarum: vel quia simul est in specie. Inseparabiles enim sunt à naturis & hypostasibus proprietates eorum. Idioma igitur seu proprietas, est, quod propriè in vna natura inest; in alia verò non reperitur. Exempli gratia, in natura diuina, æternum, increatum & * incircumscriptum esse; quæ in nulla alia natura inueniuntur, ne in ipso quidem sacrosancto Christi corpore, secundum naturam. Neque enim æternum est, nec increatum; neque vnquam incircumscriptum erit.

* Attendite Vbiquistæ.

Pro-

Ἰδίωμα ἀγγελικῆς φύσεως τὸ ἀπαθὲς τῆς οὐσίας, καὶ ὑμνολογικὸν, ἀσίγητον. ἀπαθὲς δὲ, τὸ ἀθάνατον αὐτῷ εἶπον. ἴδιον δὲ ἀνθρώπου κυρίως, τὸ σύνθετον ἐκ θνητῆς, καὶ ἀθανάτου φύσεως, ἐν ἄλλῃ οἵᾳ δή ποτε οὐσίᾳ μὴ γνωριζόμενον. Εἰσὶ δὲ ἰδιώματα φυσικὰ, ἃ προεῖπον, καὶ εἰσὶν ὑποστατικά. οἷον ἀσπρότης, σιμότης, μελανότης, μακρότης, κολοβότης, γοργότης, νωθρότης, καὶ ὅμοια, ἅπερ οὐκ ἐν πᾶσιν ὁμοίως ἀνθρώποις εὑρίσκονται. οὐ γὰρ πάντες σιμοί. οὐ πάντες γοργοί. οὐ πάντες ξανθοί. διό περ καί τινες ὑπόστασιν εἶναι λέγουσι, τὴν συνδρομὴν, τὴν ἰδιάζουσαν τῶν χαρακτηριστικῶν ἰδιωμάτων, ὧν προεῖπον. τὰ δὲ φυσικὰ ἰδιώματα ἐξ ἴσου ἐν παντὶ τῷ γένει ὁμοίως εὑρίσκονται· οἷον, πάντες ἄνθρωποι βροτοί. ὁμοίως εἰσὶ θνητοί, λογικοί, ἀναπνευστικοί, ὑπνωτικοί, περιπατικοί, πλατυώνυχες, γεωργητικοὶ τεχνῶν.

Συμβεβηκὸς εἴρηται τὸ γινόμενον, καὶ ἀπογινόμενον. οἷον ἡ νηπιότης. καὶ γίνεται, καὶ ἀπογίνεται διὰ τελειότητος. ἡ ὑγεία ὁμοίως μεταβάλλεται. καὶ ἡ νόσος, καὶ ἡ θερμότης, καὶ ἡ ξηρότης, καὶ ἁπλῶς, πᾶν, τὸ παραλλαγῆναι δυνάμενον, συμβεβηκὸς λέγεται. Θέλημα οὐσιῶδές ἐστι, τὸ κατὰ κοινοῦ ὁμοίως ἐν τῇ φύσει ὁρώμενον. εἰ οὖν εἶχεν ἑκουσίως ἡ σὰρξ τοῦ Χριστοῦ, τὸ μὴ θέλειν ἀποθανεῖν, ὡς οἱ ἅγιοι πατέρες φασὶν, ἐὰν εὑρεθῇ τοιοῦτο θέλημα ἐν τῷ πατρὶ, καὶ ἁγίῳ πνεύματι, πάντως, ὅτι μία ἐστὶν ἡ θέλησις τῆς σαρκὸς, καὶ τῆς θεότητος.

Φυσικὸν θέλημα ἀνθρώπου ἐστὶν, ὥς φησιν ὁ ἅγιος Βασίλειος, καὶ Κύριλλος, τὸ φιλόζωον. πᾶς γὰρ ἄνθρωπος φύσει φιλεῖ τὴν ζωὴν, καὶ τὸ ὁρᾶν, τὸ φῶς. ἰδοὺ τὸ κοινὸν θέλημα. γνωμικὰ θελήματα ἐν τῇ φύσει ἡμῶν πολλά. ἄλλος γὰρ ἄνθρωπος θέλει ἰδιάζειν, ἄλλος οἰκοδομεῖν, ἄλλος γεωργεῖν, ἕτερος πλέειν. καὶ οἱ λοιποὶ ὁμοίως πολλὰ γνωμικὰ θελήματα ἔχομεν. Ἓν δὲ φυσικὸν θέλημα, τοῦτ᾽ ἐστι, τὸ φιλεῖν τὴν ζωήν. φιλεῖ δὲ τὴν ζωὴν ὁ ἄνθρωπος οὐκ ἀσκόπως, ἀλλὰ σημαίνουσα ἡ φύσις, ὅτι ὅπερ ἀπ᾽ ἀρχῆς εἶχεν, ὅτι γέγονεν, ἤγουν τὴν ἀθανασίαν, αὐτὴν ἀγαπᾷ, καὶ ζητεῖ.

Proprietas Angelicæ naturæ est vt sit impatibilis, & vt absque intermissione Deo hymnos concinat. Et cum impatibilem voco; immortalitatem quoque eorum indico. Proprium est hominis vt ex mortali & immortali natura compactus sit; quam compositionem in nulla alia re inueneris. Sunt igitur ea, quæ prius dixi, naturæ idiomata & proprietates. Sunt & hypostaticæ proprietates; videlicet, albedo, simitas seu curuitas nasi, nigredo, longitudo; mutilum esse; celeritas, tarditas, & id genus alia, quæ non similiter in cunctis hominibus inueniuntur. Non enim omnes sunt simi; non omnes celeres, non omnes flaui; Quocirca non desunt, qui doceant, hypostasin esse collectionem earum characteristicarum proprietatũ, quas antea recensuimus. At naturæ proprietates æqualiter reperiuntur in omni specie. Omnes enim homines æquè sunt mortales, rationis participes, respiratione, somnoq; vtentes, ambulare soliti. Latis vnguibus præditi, artium cultores.

Accidens appellatur, quod adest, & abest, vt infantia; quæ adest, & abest propter perfectiorẽ ætatem. Simili modo mutatur sanitas; morbus, calor, siccitas; vno verbo, omne illud, quod variari potest, accidens nominatur. Voluntas essentialis est, quæ communiter generatimque in natura inest. Si igitur caro Christi sponte habuit voluntatem non moriendi, vt sancti Patres docent: si eiusmodi voluntas in Patre & sancto Spiritu reperiatur, omnino sequetur, eandem carnis & diuinitatis voluntatem esse.

Naturalis voluntas hominis est, vt dicit S. Basilius & Cyrillus; amare vitam. Omnis enim homo natura sua vitæ amans est, & vt hac luce fruatur. Ecce cõmunem voluntatem. Particulares seu Gnomicas voluntates habet natura nostra varias. Alius enim vult priuatus esse sibique viuere. Alius ædificare. Alius agriculturam exercere; Alius nauigare; & sic cæteri similiter speciales suas voluntates & particularia proposita habent. At naturalis voluntas vna est; nimirum amare hanc vitam. Amat autem homo vitám non sine caussa, sed id fit naturæ instinctu, quæ à primo suo ortu immortalitate prædita fuit. Ideo adhuc illam diligit & quærit.

Θέλημα θεῖον, τὰ προστάγματα τοῦ θεοῦ. θέλημα φυσικὸν φύσεως λογικῆς ἡ ἐργασία τοῦ θείου θελήματος. θέλημα σαρκικὸν, ἡ παρακοὴ τοῦ θείου νόμου.

Περὶ ἐνεργείας.

Sciendum est nomina nonnulla esse peregrina, quorum Etymologia explicari nequit. vt Sacellarius, Syriacum est. Sacella enim Syris idem est, quod recipere. Similiter latus. Romanũ est: Nam Romanis πλάτος appellatur latus seu latitudo. δεσπότης Dominus, δεσμός τις, vinculum quoddam, quod omnes ditione sua comprebẽdat. κύριος, Dominus, quasi κῦρος, auctoritas, seu κράτος potentia. κήρυξ, præco. τῇ κινήσει ῥᾷον ὀξύς. facilè mobilis & agilis. ὕψιστος, altissimus, ὁ ἐν ὕψει ἑστώς; qui in alto stat. οὐρανὸς, cœlum, ὅρασις ἄνω, superna visio seu contẽplatio. σελήνη, luna. σέλας νηπιάζον, quasi recens, & vt sic dicã, infantilis lux. ἥλιος, sol. fortè, quod aurorã ferat. ἕως enim est ἀνατολή, oriens seu aurora. πλειὰς, Pleias. ἐκ πλειόνων ἀστέρων οὖσα, quod ex pluribus stellis constet. Lucifer, quod lucem seu auroram ferat. πωμάριν, pomarium. Romana dictio est. Hortos enim vocant pomaria. αἴγυπτος, ἐγγύποτος, ὡς ἐγγίζουσα τῷ ποτῷ ἢ τῷ ποταμῷ, tanquam propinquãs potui aut flumini. νεῖλος, Nilus. διὰ τὸ νεάζειν * τὴν ὕλην quod materiã renouet. Babylon, Hebræa dictio. hoc est, confusio vel tumultus. νυμφίος, Sponsus, ὁ νῦν φιλῶν νύμφην, qui nunc sponsam amat. Νοτάριος. Romana vox. Nam notæ Romana lingua sunt litteræ. νήπιον, infans, νέον πῖον, ἤγουν λιπαρὸν, recens res pinguis. νεώτερος, iunior, ὁ νέος τῇ ὁράσει, qui aspectu iuuenis est. ναύτης, nauta, τῆς νηός τις; quidã de naue. κόρη, puella, prohibitio fluxus vel ante partum, vel ante menses, pupilla oculi, ὡς τοῦ κύκλῳ ῥεῖν τὸ δάκρυον, quod in orbem fluat lacryma. Hinc & κολλύριον, Collyrium, τὸ κωλυόμενον τὸ ῥέον, quod fluxum sistat.

* Ita C. A. Quod quid sit, quæro. Fortè legendum, θάλεια, Quæ vox significat omnia bona, quæ hominem quasi florere, & virere faciunt. fort. θάλεια, florida, læta, iucunda παρὰ τὸ θάλλειν.

* fort. τὴν ἰλὺν, quod limũ renouet.

χολὴν παραιτήσεως πρὸς φερτέραν ἑρμηνείαν τῶν δυσνοήτων νοημάτων, ἢ ῥημάτων.

Μὴ ἀγνοήτω ὁ φιλομαθὴς μηδὲ τοῦτο, λέγω δὴ, ὅτι ὁ φιλοπόνως ἐγκύπτων τοῖς προκειμένοις ὅροις, πᾶσαν τὴν δύναμιν τῶν δογμάτων ἐν αὐτοῖς προαποκειμένην εὐχερῶς ἐκμανθάνει. ἰστέον ὅτι καὶ αἱ δύο προσηγορίαι τοῦ χριστοῦ, λέγω δὴ τὸ, θεὸς, καὶ ἄνθρωπος, ἐνεργητικῶς λέγονται ἐκ τῶν οἰκείων αὐτῶν ἐνεργειῶν οὕτως ὀνομασθεῖσαι. Καὶ γὰρ τὸ, θεὸς, οὐ τὴν οὐσίαν τῆς θεότητος σημαίνει. ἀκατάληπτος γὰρ αὕτη, καὶ ἀνώνυμος ἡμῖν. ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας θεὸς εἴρηται. ὥς φησιν ὁ ἅγιος Διονύσιος. ἢ ἐκ τοῦ θέειν, ἤγουν διατρέχειν, καὶ φλογίζειν. ὁμοίως καὶ τὸ, ἄνθρωπος, οὐκ αὐτὴν τὴν φύσιν δηλοῖ, ἀλλὰ τὸ ἄνω θρεῖν τὴν ὦπα τοῦτ' ἔστιν ἄνω ὁρᾶν τὴν τῶν ὀφθαλμῶν ἐνέργειαν. Εἰ οὖν αἱ δύο προσηγορίαι τῶν χριστοῦ φύσεων, ἐκ τῶν οἰκείων ἐνεργειῶν τὰ ὀνόματα ἔχουσι, θάμβος τῆς τῶν αἱρετικῶν πηρώσεως, πῶς τὰς οὐσιώδεις αὐτοῦ ἐνεργείας ἀπαρνούμενοι οὐκ αἰσχύνονται.

Περὶ τῶν οἰκονομικῶν.

Τὸ οἰκονομικῶς ἐπὶ χριστοῦ κατὰ τρεῖς δύναται νοεῖσθαι τρόπους, τοῦτ' ἔστιν, ἢ ὡς χάριν τῆς οἰκονομίας· ὡς ὅταν λέγωμεν. οἰκονομικῶς ἐθήλασε, καὶ ἐνηπίασε, καὶ ηὔξησεν ὁ χριστὸς, καὶ ἐκοιμήθη, καὶ ἐπείνασε, τοῦτ' ἔστι κατὰ τὴν φύσιν τῆς σαρκὸς τῆς οἰκονομίας αὐτοῦ. λέγομεν πάλιν οἰκονομικῶς καὶ ὅτι γίνεται πρᾶγμα, οὐ πάντως ὀφεῖλον γενέσθαι, γίνεται δὲ διὰ συγκατάβασιν, καὶ σκοπὸν σωτηρίας τινῶν. ὡς ὅτ' ἂν ὁ Παῦλος περιέτεμε τὸν τιμόθεον βουλόμενος ἐπισπάσασθαι ἰουδαίους. διὸ καὶ συνήγνιζεν ἑαυτόν. καὶ ἡ περιτομὴ τοῦ χριστοῦ, κατὰ τοῦτον τὸν τρόπον γέγονεν οἰκονομικῶς· ἵνα μὴ φανῇ καταλύων τὸν νόμον. ἔστι δὲ πάλιν οἰκονομικὸν, ὅτ' ἂν

ἔλθῃ

Dicitur *ὀφθαλμὸς, oculus, ὅρασις θολουμένη, visio turbida. ὠμῶς, ἤγουν χαλεπῶς. difficulter. σχόλιον* nominatur, *διὰ τὸ κατὰ σχολὴν παρατίθεσθαι, quod per otium adiungatur ad maiorem explicationem difficilium rerum aut verborum.*

Neq; hoc à studioso lectore ignorãdum est: quòd qui definitiones hucusq; traditas diligenter perpenderit; animoq; reposuerit, is nullo negotio omnem de dogmatibus doctrinam in illis reconditam percepturus sit. Notandum & hoc, duas Christi appellationes, cum *Deus* & *homo* vocatur, ab operatione desumptas esse; nam ex propriis operationibus hæc nomina Christo obtigerunt. Nam Deus non significat ipsam diuinitatis substantiam; comprehendi enim à nobis & nominari nequit: sed ex actione; quæ ei inest, Dei nomen adeptus est: vt dicit S. Dionysius: *ἢ ἐκ τοῦ θέειν ἤγουν διατρέχειν καὶ φλογίζειν*, vel à currendo seu percurrendo & inflammando. Similiter & homo non significat ipsam substantiam, sed quòd oculis sursum aspiciat. Quod si duæ istæ Christi appellationes ex actionibus propriis deductæ sunt; nõ immeritò miramur cæcitatem hæreticorum, quomodo non erubescant, quando ab essentia eius manantes operationes inficiantur.

De illis, quæ ad œconomiam seu Incarnationem pertinent.

VOx Oeconomiæ seu dispensationis tripliciter de Christo dici potest; primò, vt idẽ est, quòd œconomiæ & dispensationis gratia; qua notione dicimus, Christum per dispensationem vbera matris suxisse, infantis speciem subiisse, creuisse, dormiuisse, esuriuisse. hoc est, secũdum naturam carnis, quam per œconomiam induit. Secundò, per dispensationem aliquid fieri dicimus; quando fit quidpiam, quod non oportebat omnino fieri, fit autem, quia quis intuitu salutis ad aliorum imbecillitatem sese demittit & accommodat: vt cũ Paulus circumcidit Timotheum, volens Iudæos hac ratione ad Christum adducere. Quocirca & seipsum sanctificauit. Equidem circumcisio Christi hoc modo *οἰκονομικῶς* peracta est, ne videretur legem dissoluere. Tertiò, illud etiam per dispensationem actum est, quando mane ad ficulneam venit, esuriens, *Act. 16.* *Matth. 21.*

 eamq;

ἦλθεν εἰς τὴν συκῆν ἀπὸ πρωΐας πεινῶν, καὶ ἐξήρανεν αὐτήν· καὶ ὅτι ἦλθε πρὸς τοὺς μαθητὰς νυκτὸς περιπατῶν ἐπὶ τῶν ὑδάτων, διά τινας οἰκονομίας ἀποκρύφους. οἱ οὖν αἱρετικοὶ ἀφέντες τὸ κατ' αὐτοὺς τοὺς τρόπους νοεῖν τὸ οἰκονομικὸν, οἰκονομικὸν τὸ ὡς ἐν φαντασίᾳ, καὶ δοκήσει γινόμενον λέγουσι.

Σχόλιον. Ἰστέον, ὡς αἱ σύνθετοι φύσεις, ὡς σύνθετοι πεφύκασιν εἶναι, καὶ εὐδιάλυτοι, ὥς φησιν ὁ Γρηγόριος, ὅτι σύνθεσις ἀρχὴ διαστάσεως. διὰ τοῦτο γοῦν τὰ σώματα καὶ ἀνθρώπων, καὶ ζώων εὔφθαρτα, καὶ εὔθνητα τυγχάνει ὡς ἐκ τεσσάρων φύσεων στοιχείων συγκείμενα· καὶ οἱονεὶ στοιχείων παράλληλα ἐναντίως ἐχόντων, καὶ στασιαζόντων. τὰ δὲ ἁπλᾶ καὶ ἀσύνθετα τῶν πραγμάτων, εὐδιάμονα, καὶ ἕως τῆς συντελείας ἀκατάλυτα μένει. οἷον ψυχὴ ἀνθρώπου. ἥλιος, φῶς, φωστῆρες. ἀὴρ. ὕδατα. πῦρ, πνεῦμα, καὶ πάντα τὰ ἁπλᾶ, καὶ ἑνιαῖα, καὶ ἀμιγῆ, καὶ ἀσύνθετα. ὅθεν καὶ τὰ φυτὰ, καὶ δένδρα, ὡς διὰ τῶν τεσσάρων στοιχείων συνιστάμενα, λέγω δὴ γῆς, καὶ ὕδατος, ἡλίου, καὶ ἀέρος, καὶ αὐτὰ οὐκ ἀγήρατα, οὐδὲ ἄφθαρτα, οὔτε ἀμάραντα ἕως ἔξω διαμένει, ἀλλὰ θνήσκει καθὰ καὶ τὰ σώματα, ὥσπερ καὶ ἡ γῆ συνίσταται. ποίησον δὲ πλίνθον σύνθετον ἐκ γῆς, καὶ ὕδατος, καὶ εὐχερῶς φθείρεται.

Σχόλιον. Ἀνατροπὴ καὶ καθαίρεσις τοῦ πολυθρυλλήτου προβλήματος πάντων τῶν μονοφυσιτῶν, τοῦ φάσκοντος, ὡς οὐκ ἔστι φύσις ἀνυπόστατος.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΤΟΝ.

Ἐρώτησις ὀρθοδόξου.

Λέγοντες δύο γεννήσεις ἐπὶ Χριστοῦ, τοῦτ' ἔστι τὴν προαιώνιον ἐκ πατρὸς κατὰ τὴν θεότητα, καὶ τῶν ἐπ' ἐσχάτων τῶν χρόνων, ἐκ τῆς παρθένου, κατὰ τὴν ἀνθρωπότητα, εἴπατε ἡμῖν εἰ ἔστι τόκος ἀνυπόστατος; καὶ λέγομεν ὑμῖν, εἰ ἔστι φύσις ἀνυπόστατος. κυρίως γὰρ τόκος ἐστὶ προσθήκη ὑποστάσεως, ἐν ταυτότητι φύσεως. οὐκ οὖν ὥσπερ ἐν τῇ μιᾷ τοῦ θεοῦ λόγου

ὑπο-

eamque arefecit. Et quando noctu venit ad suos discipulos ambulans super aquas, quæ occulta quadam œconomia acta sunt. Hæretici igitur relictis huius œconomiæ modis, asserunt id, quod per œconomiam gestum est; non aliter quàm secundum phantasiam, opinionem, externamque istam speciem gestum esse. Marc. 6.

Scholium. Obseruandum est, naturas compositas facilè esse dissolubiles, vt dicit S. Gregorius, quia compositio est diremptionis principium. Hac de caussa corpora hominum & animaliũ facilè corrumpuntur, & intereunt, vtpote ex quatuor naturalibus elementis constituta; quæ perpetuas pugnas ob naturæ diuersitatem, inter se ciere solent. At verò res simplices & concretione carentes, firmæ sunt & stabiles, integræque vsque ad mundi consummationem perseuerant; vt anima humana, sol, lux, luminaria seu stellæ, aër, aqua, ignis, spiritus, & omnia quæ simplicia sunt, & solitaria, permixtionisque & compositionis expertia. Vnde etiam plantæ & arbores, tanquam ex quatuor elementis conflatæ, ex terra, inquam, aqua, * sole & aëre, ad finem vsque non persistunt senij, & interitus exsortes; sed marcescunt, moriunturque, vt & alia corpora. Eadem est conditio terræ. Confice laterem ex terra & aqua. & facilè frangetur.

* ἥλιν, intell. πῦρ, ignem.

Scholium. Refutatio problematis illius apud Monophysitas valde decantati; nullam esse naturam sine hypostasi.

CAPVT TERTIVM.

Interrogatio Orthodoxi.

VOs, qui affirmatis duas esse generationes in Christo, alteram æternam ex Patre secundum diuinitatem; alteram vltimis temporibus ex virgine secundum humanitatem; dicite nobis, num sit partus sine hypostasi; & nos vicissim vobis dicemus, num sit natura sine hypostasi. Propriè enim partus est additamentum hypostaseos in eâdem natura. Igitur sicut duæ generationes in

ὑποστάσει γινόμεναι αἱ δύο γεννήσεις, οὐκ ἐποίησαν αὐτὴν προσθήκην ὑποστάσεως. οὕτως οὐδὲ ἐκ τῶν δύο καθ' ὑπόστασιν ἡνωμένων φύσεων, προσθήκην προσώπου ἐδέξατο. λοιπὸν ἡνίκα ἡμᾶς ἀπορoῦσι λέγοντες οἱ αἱρετικοὶ, ὅτι ἔστι φύσις ἀνυπόστατος; ἀντερωτητέον αὐτοὺς, ἔστι τόκος ἀπρόσωπος; ἔνθα γὰρ καινὸς τόκος, ἐκεῖ καὶ προσθήκη προσώπου γνωρίζεται.

Παρακαλοῦμεν δὲ τοὺς ἐντυγχάνοντας τῇ βίβλῳ, ἐκ παντὸς τρόπου ἀναγινώσκειν καὶ τὰ κατὰ τοὺς τόπους παρακείμενα σχόλια. εἰ δὲ καὶ ὡς εἰκὸς, καὶ βραχεῖα τινὰ σόλοικα ἔχει ἡ βίβλος, συγγνώμην αἰτοῦμεν. ὁ γὰρ αὐτοσχεδίως ἐκτιθέμενος, πολλάκις ἔχων τὸν νοῦν αὐτοῦ ἐν τοῖς νοήμασιν, καὶ σπεύδων ταῦτα σημειοῦσθαι, περιφρονεῖ τῶν σολοίκων, καὶ τῆς στίξεως.

Ἀναστασίου ἐλαχίστου μοναχοῦ πόνημα περὶ πίστεως ὀρθοδόξου, ἀνθολογηθὲν ἐκ τῶν ἁγίων γραφῶν, καὶ διδασκάλων.

Ἀρχὴ τῶν λόγων σου Χριστὲ ἀλήθεια, μᾶλλον δὲ σὺ αὐτὸς ὁ θεὸς λόγος, ἡ ἀληθὴς ἀλήθεια, ὡς ὄντως ὢν ἐκ τῆς ὑπεραληθοῦς πατρικῆς ἀληθείας γέννημα, καὶ ἀλήθεια, καὶ τοῖς τῆς σῆς ἀληθείας * ἐρασταῖς ἐπαγγελλόμενος ἀποστέλλειν τὸ πνεῦμα τῆς ἀληθείας, καὶ λέγων, ὁ δὲ παράκλητος ὃν πέμψω ὑμῖν ἐν τῷ ὀνόματι τοῦ πατρός μου, τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ὑμᾶς ὁδηγήσει εἰς πᾶσαν ἀλήθειαν, ὅπως μὴ ὑμεῖς ἔσεσθε οἱ λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τῆς ἀληθείας τὸ λαλοῦν ἐν ὑμῖν τὴν ἀλήθειαν. καὶ γὰρ καὶ οἱ τοὺς φωτοφόρους καὶ πολυτίμους μαργαρίτας ἐκ βυθῶν ἀοράτων τοῖς ἀνθρώποις θηρᾶν καὶ ἐμφανίζειν βουλόμενοι, γυμνοῦντες ἑαυτοὺς παντὸς περικαλύμματος, καὶ ἔλαιον τὸ οἰκεῖον στόμα πληροῦντες, καὶ πνεῦμα ἱκανὸν ἐν τοῖς μυκτῆρσιν ἐκ τοῦ ἀέρος ἕλκοντες, οὕτως ἑαυτοὺς τῷ φοβερῷ ἐκείνῳ, καὶ ζοφώδει βυθῷ παραπέμπουσι· δηλοῦντος, ὡς οἶμαι, τοῦ ὑποδείγματος ὅτι δεῖ πάντα ἄνθρωπον τὸν τοὺς βυθοὺς τῶν πνευματικῶν ὑδάτων, καὶ δογμάτων

* ἐργάταις.

διερευ-

In vna verbi diuini hypostasi, non multiplicarunt hypostasin; sic neque ex duabus naturis hypostaticè vnitis; accessio personæ facta est. Rursus quando sciscitantur hæretici, num sit aliqua natura sine hypostasi: vicissim ex illis quærere oportet; num sit partus sine persona.

Rogo autem eos, qui hunc librum lecturi sunt, vt etiam legant scholia certis locis inserta. Et si, vt probabile futurum, liber solœca quædam continet, venia dabitur. Dum autem auctor tota mente, & cogitatione in sensu notando, & designando defixus hæret: sæpe vsuuenit, vt solœcismos, & interpunctiones in postremis ducat.

Anastasij minimi Monachi opus de orthodoxa fide, ex sacris literis, ac doctoribus decerptum.

PRincipium verborum tuorum, Christe, veritas, quin potius, tute ipse, Deus verbum, vera veritas, ceu verè è verissima Paterna veritate genitura, atque veritas, & qui veritatis tuæ amantibus missurum te veridicum spiritum promittas in hæc verba; Cæterùm Paracletus, quem mittam vobis in nomine Patris, veridicus spiritus, is vos in omnem veritatem deducet, vt non vos sitis qui loquamini, sed veridicus spiritus, qui per vos loquatur veritatem. Nam & qui splendidos atque pretiosos vniones ex inaspectabilibus profundis hominibus venari ac proferre volunt, vestitu omni se despoliantes, & oleo os implentes, auræque quod satis sit naribus ex aëre trahentes, ita se in terribile illud ac tenebricosum profundum demittunt. Quod, vt arbitror, exemplum ostendat, qui spiritalium aquarum atque dogmatum profunda vestigare, ex iisq; diuinos atq; puros vniones venari velit, oportere eũ ab omni concitato, quasi quodam tegumento nudum esse, sanctumq; Spiritum animi tanquam naribus trahere, & continere, secundum dicentem sanctum, Spiritus diuinus qui mihi

Hæc ex Schedis Schotti nostri, quas Græcè & Latinè ad me misit, nescio ex cuius versione. Omnia tamen ista exstant in codice August.

Ioan. 16. Matth. 10.

διερευνᾶν, καὶ τοὺς θείους, καὶ καθαροὺς μαργαρίτας ἐξ αὐτῶν ἀγρεύειν βουλόμενον, γυμνὸν εἶναι παντὸς ἐμπαθοῦς περικαλύμματος, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν ταῖς ῥισὶ τῆς ψυχῆς ἕλκειν καὶ ἔχειν, κατὰ τὸν λέγοντα ἅγιον, ὅτι πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισί, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. καὶ, τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅπερ ἐστὶ τὸ ἔλαιον ἀγαλλιάσεως, ὅπως ἐπ' αὐτοῖς πληρωθῇ τὸ θεῖον λόγιον τὸ φάσκον, ὅτι ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὰ ἀγαθά, ὥσπερ δὴ πάντως καὶ ὁ ἐμπαθὴς ἄνθρωπος ἐκ τοῦ ἐμπαθοῦς θησαυροῦ τῆς καρδίας προφέρει τὰ πονηρά. οὐ γὰρ τοσοῦτος ὁ κίνδυνος τοῖς εἰς βυθοὺς ὑδάτων καταπολμῶσιν, ὅσος τοῖς τὰ πάθη ἔχουσι, καὶ διερευνᾶν τὰ βάθη τῶν ἱερῶν γραφῶν ἐπιχειροῦσι. μόνον γὰρ τὸ πνεῦμα τὸ ἅγιον, ὡς θεός, δύναται ἐρευνᾶν τὰ βάθη τοῦ θεοῦ.

Διὰ τοῦτο καὶ τις σοφὸς ἔλεγεν, ὅτι πρῶτον καθαρτέον, καὶ τότε τῷ καθαρῷ προσομιλητέον. εἰ γὰρ ὁ τὸν χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καὶ ἕως τρίτου οὐρανοῦ ἀνελθών, καὶ ἐν παραδείσῳ ἄρρητα ῥήματα μαθών, καὶ εἰπών ὅτι ζῶ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ χριστός, ἐπιστέλλων τοῖς κορινθίοις ἔφασκεν, ὅτι ἐκ μέρους λαλοῦμεν, καὶ ἐκ μέρους γινώσκομεν, τίς ἐστι ὁ δυνάμενος λέγειν ὅτι τελείως λαλῶ, καὶ τελείως γινώσκω, καὶ μάλιστα τὰ περὶ τοῦ ἀκαταλήπτου θεοῦ; ἅπερ πάλιν τις θεολόγος λαλῶν διὰ πνεύματος ἁγίου ἔλεγεν, ὅτιπερ ἡνίκα περὶ θεοῦ λαλῶ φρίττω καὶ γλῶτταν, καὶ ἀκοὴν καὶ διάνοιαν. τὸ γὰρ περὶ θεοῦ λαλεῖν οὐκ ἀκίνδυνον. ἀλλὰ ταῦτα τινὲς μὴ ἐννοοῦντες μήτε ἀνακρίνοντες, οἱ τὰ ἐντὸς τῆς κοιλίας ἑαυτῶν πῶς διοικοῦνται μὴ ἐπιστάμενοι, ἀλλ' ἐν τοῖς πάθεσι τῆς ἀτιμίας, καὶ τῷ βορβόρῳ τῶν ἡδονῶν κατ' ἐμὲ συμφυρόμενοι, καὶ οὐδὲ εἰ ἔστιν ἐν ἀνθρώποις πνεῦμα ἅγιον ἐπιστάμενοι, ἀλλὰ πάντα τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν ἡδονῶν ἀδεῶς ἐργαζόμενοι, ἐπὶ καπηλείων τε καὶ χαμαιτυπείων καὶ ἀγορῶν, καὶ βαλανείων τὰ τοῦ χριστοῦ μυστήρια διασύρουσι καὶ διαπαίζουσι, καὶ βλασφημεῖσθαι ὑπὸ τῶν ἀπίστων παρασκευάζουσι, δύο που πολλάκις λέξεις διά, ἢ τρία χρήσεις διά, καὶ κλεψύδρια πατρικὰ συλήσαντες, καὶ ἐκστηθίσαντες, καὶ παρ' αὐτὰ ἑαυτοὺς διδασκάλους, οὐ θεοχειροτονήτους, ἀλλὰ παθοκινήτους, προβαλλόμενοι ἐκ κενοδόξου καὶ φιληδόνου γνώμης, αἰσχροῦ κέρδους χάριν.

πολ-

inest in naribus, & Omnipotentis aura quæ me erudit. &, Os *Iob.17.*
meum aperui, & attraxi spiritum, quod oleum lætificum est. *Psalm.118.*
Vt in iis comprobetur diuini oraculi effatum, Bonus ex bono *Matth.12.*
animi *thesauro* bona profert, vt sanè vitiosus è vitioso animi *thesauro* vitiosa profert. neque enim tantum periculi est pro*funda* aquarum tentantibus, quantum vitio obstrictis, & *sacrarum* litterarum profunda rimari aggredientibus. solus namque Spiritus sanctus, ceu Deus, rimari potest profun- *1.Cor.2.*
da Dei.

Quare & sapiens quidam ait, Inprimis purganda mens est, ac tum puro consuescendum. Nam si Christum habens in se loquentem, & qui in tertium cœlum euasisset, vocesque in Paradiso insolentes hausisset, cuiusque hæc sint verba, Vi- *Gal.2.*
uo non iam ego, quin viuit in me Christus, Corinthiis scribens ait, Partim loquimur, & pártim cognoscimus, ecquis *1.Cor.13.*
est qui dicere posit, integrè loquor, & integrè cognosco, maximeque quæ ad incomprehensum Deum spectant? Quæ rursum Theologus quidam per Spiritum sanctum eloquens, *inquit*, Cùm de Deo loquor, & lingua, & auditu, & mente *inhorresco*. nam sine periculo non est de Deo loqui. Sed hæc quidam minimè cogitantes, neque discernentes, qui quemadmodum quæ intra eorum ventres sunt obeantur, nesciant, in fœdisque vitiis, & voluptatum sordibus mei instar voluantur, ac ne sciant quidē insítne in hominibus Spiritus sanctus, sed interriti omnia carnis atque libidinis desi*deria* exerceant, in cauponis, prostibulis, foro, balneis Christi arcana traducunt & irrident, infideliumque contumeliis propinant, plerumque duo pœne verbula, aut tres sententiolas, ac lucubratiunculas è Patribus furati, memoriaque complexi; atque è vestigio se doctores, non diuinitus creatos, sed qui affectibus ferantur, animo inani gloria, atque voluptatibus fracto, ob turpem quæstum ingerentes, Iudaicè porcis *sæpè*, & indignis diuinos verbi vniones venditant. Siquidem, vt cognoscas licet ex æqualibus Ecclesiasticorum historico-

πολλάκις ἰουδαϊκῶς ἀπεμπολοῦνται τοῖς χοίροις, καὶ ἀναξίοις τοὺς θείους τοῦ λόγου μαργαρίτας. καὶ γὰρ ὡς ἔξεστι μαθεῖν ἐκ τῶν κατὰ καιροὺς τῶν ἐκκλησιαστικῶν ἱστοριογράφων, αἱ πλείους τῶν αἱρέσεων ἐκ κενοδόξου φιλαρχίας, καὶ φιλαργυρίας, καὶ ἀνθρωπαρεσκείας, καὶ ὑπερηφανίας γεγόνασιν, οὐκ αὖ οὕτως ἀποτυφλωθέντες, εἰ διὰ σχολῆς καὶ γυμνασίας καὶ ἀπαθείας τὸ πνεῦμα τὸ πανάγιον ἐν ἑαυτοῖς εἰσοικίσαντο. εἰ γὰρ τὸ τί προσεύξασθαι καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἐὰν μὴ θεῖον πνεῦμα κτησώμεθα, πόσῳ γε μᾶλλον μυστήρια θεοῦ ἐρευνᾶν; Ἀλλὰ πάντως ἐροῦσί μοι οἱ κενοὶ θεολόγοι ὅτι περ οὐδὲν οἴκοθεν λαλοῦμεν, ἀλλ' ἐκ τῆς ἁγίας γραφῆς, καὶ τῶν ὁσίων πατέρων τῆς καθολικῆς ἐκκλησίας. πρὸς οὓς κἀγὼ ἐρῶ, ὅτι καὶ πάντες οἱ αἱρετικοὶ τοῦτο αὐτὸ λέγουσιν. ὅθεν ἐκ τῆς ἱερᾶς γραφῆς, καὶ τῶν διδασκάλων ἡμῖν ἀντιλέγειν δοκοῦσι. διὸ, ὡς ἐμοὶ δοκεῖ, οὐδὲ τὴν γραφὴν, οὐδὲ τοὺς τῶν πατέρων λόγους δυνήσεται ἄνθρωπος ἀπταίστως, καὶ * ἀπλανῶς καταλαβεῖν, ἐὰν μὴ τὸ πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν ἐν αὐτοῖς ἔνοικον καὶ ὁδηγὸν κτήσηται. τὸ γὰρ εἰπεῖν τὸν χριστὸν, ὅτι τὸ πνεῦμα τῆς ἀληθείας αὐτὸ ὑμᾶς ὁδηγήσει εἰς πᾶσαν ἀλήθειαν, εὔδηλον ὅτι * περ καὶ τὴν γραφὴν, καὶ τοὺς πατέρας ἐσήμανεν.

** ἀμέμπτως.*

** σου.*

Κεφάλαια, ἅπερ ὀφείλει ἀποβάλλεσθαι καὶ ἀναθεματίζειν πρὸ τῆς διαλέξεως ὁ ὀρθόδοξος, ἡνίκα μέλλῃ πρὸς θεοδοσιανοὺς, ἢ γαϊανίτας συναίρειν περὶ πίστεως λόγον.

Πρωτοτύπως χρὴ ἀναθεματίζειν νεστόριον, καὶ τὴν πίστιν αὐτοῦ, καὶ λοιπὸν καθεξῆς πάντα τὸν μὴ ὁμολογοῦντα φύσει καὶ ὑπὲρ φύσιν θεοτόκον τὴν ἁγίαν παρθένον μαρίαν, τὸν λέγοντα δύο πρόσωπα, ἢ δύο ὑποστάσεις ἐν τῷ χριστῷ, ἢ δύο φύσεις διῃρημένας, τὸν μὴ δεχόμενον τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐν τῷ χριστῷ, τὸν μὴ δεχόμενον τὴν φωνὴν τὴν λέγουσαν μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην, καθὼς ἡρμήνευσεν αὐτὴν ὁ ἅγιος κύριλλος, τὸν λέγοντα, ἢ * ἐννοοῦμενον ἐν χριστῷ δύο φύσεις ἄρρενος καὶ θήλεος, τὸν λέγοντα ὅτι ἐχωρίσθη ἡ θεότης τοῦ χριστοῦ ἐκ τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐν τῷ σταυρῷ, ἢ ἐν τῷ τάφῳ, ἢ ἐν ἄλλῳ οἱῳδήποτε τόπῳ, τὸν μὴ ὁμολογοῦντα θεοῦ τὸ σῶμα, καὶ θεοῦ τὸ αἷμα, ὃ μεταλαμβάνομεν. πολλῷ πλέον δὲ πάντων, καὶ πρὸ πάντων χρὴ ἀναθεματίζειν τὸν κηρύττοντα, ἢ ἔχοντα νέαν πίστιν, ἢ νέον δόγμα, παρηλλαγμένον τῆς

** sic ex cod. August.*

rũ, pleræq; omnes hæreses, è vana regnandi libidine, auaritia, hominibus placendi studio, superbiâ fluxerunt; non tam iis futuris cæcis, si otium, atq; exercitationẽ sequuti, & affectibus defuncti, Spiritum sanctum sibi domesticum fecissent. Nam, si orare, quæ par est, nescimus, nisi diuinum Spiritum teneamus, quanto magis Dei arcana scrutari? Sed omnino dicent mihi vani Theologi, nihil domi natum loquimur, sed cùm è sacra Scriptura, tum ex S.S. Catholicæ Ecclesiæ Patribus petita. Quibus dicam ego quoque; omnes hæretici id ipsum prædicant. Vnde, ex sacris litteris, ac doctoribus contradicere nobis videntur. Quare, meo iudicio, nec scripturam, nec Patrum sententias, sine errore, & offensa intelliget; qui non loquutum in iis Spiritum sanctum ducem, ac inhabitatorem habuerit. Quod enim ait Christus, quoniam Spiritus veritatis ducet vos in omnem veritatem, proculdubio & Scripturam, & Patres denotabat. *Ioan. 16.*

Capita, quæ orthodoxus reiicere, & execrari debet ante colloquium, vbi cum Theodosianis, aut Gaianitis de fide verba est facturus.

INprimis Nestorius, eiusque fides execranda est, atque hæc ordine deinceps: Qui sanctam VIRGINEM MARIAM naturaliter, & supernaturaliter deiparam non agnoscat: qui in CHRISTO asserat duas personas, aut duas hypostases, aut duas naturas hypostasi separatas: qui in Christo vnionem in hypostasi non suscipiat: qui sententiam non admittat, quæ solam Dei verbi naturam incarnatã dicat, quomodo eam D. Cyrillus est interpretatus: qui in Christo duas naturas, maris, ac fœminæ dicat, aut cogitatione deformet: qui diuinitatẽ Christi à corpore seiunctam dicat in cruce, seu monumento, seu alio quouis loco: qui Dei corpus, ac Dei sanguinem neget, quẽ percipimus. Præ omnibus verò, & ante omnia execrandus est, qui nouam fidem, aut sententiam prædicet, vel te-

πίστεως τῶν ἐν νικαίᾳ τιη. πατέρων, καὶ τῶν ἐν κωνσταντινουπόλει ρν. καὶ τῶν ἐν ἐφέσῳ τὸ πρότερον σ. ἁγίων πατέρων. ὡσαύτως καὶ τὸν ὁρόντα ἢ παραλαβόντα ἐκ τῆς συνόδου χαλκηδόνος νέαν πίστιν παρεκτὸς τοῦ φρονήματος τῶν ἁγίων πατέρων, διονυσίου, εἰρηναίου, κλήμεντος, ἀμβροσίου, ἰουλίου, εὐσταθίου, ἀθανασίου, βασιλείου, γρηγορίου, καὶ γρηγορίου, ἀμφιλοχίου, ἰωάννου, ἐπιφανίου, θεοφίλου, πρόκλου, ἐφραὶμ. ἰσιδώρου, καὶ τοῦ μακαρίου πατρὸς, καὶ διδασκάλου κυρίλλου, καὶ τῶν λοιπῶν ἁγίων πατέρων τῶν ὁμοφρόνων αὐτῶν. τοὺς γὰρ μὴ ἀκολουθοῦντας τούτοις τοῖς ἁγίοις διδασκάλοις κατακρίτους ἡγούμεθα, καὶ ἀλλοτρίους τοῦ χριστοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΤΕΤΑΡΤΟΝ.

* Ἀναστασίου ἐλαχίστου πρεσβυτέρου τοῦ ἁγίου ὄρους σινᾶ περὶ πίστεως τῆς οἰκονομίας χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ πρὸς τὴν ἁγίαν καθολικὴν ἐκκλησίαν τὴν ἐν βαβυλῶνι γραφεῖσαν, αἰτησαμένων τοῦτο τῶν ἐν αὐτῇ φιλοχρίστων καὶ ὀρθοδόξων ἡμῶν ἀδελφῶν.

* In cod. Aug. ἐν ὀνόματι τοῦ πατρὸς, καὶ υἱοῦ, καὶ τοῦ ἁγίου, καὶ ζωοποιοῦ πνεύματος.

Ἐν ἀρχῇ ἦν ὁ θεὸς, καὶ ὁ θεὸς ἦν ἐν ἀρχῇ, καὶ πρὸ ἀνάρχου ἀρχῆς ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, ὁ θεός. θεὸν δὲ λέγω τὴν ἁγίαν καὶ ὁμοούσιον, καὶ ἄκτιστον τριάδα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. οὗτος ὁ θεὸς ἡμῶν, ὁ ἀεὶ ὢν, καὶ πρὸ πάντων προὼν, ταῖς προαναρχικαῖς αὐτοῦ καὶ παναδήλοις θεοβουλίαις, πρώτην τῆς πάσης κτίσεως ἐννοεῖ, καὶ ποιεῖ τὰς ἁγίας καὶ ἀγγελικὰς δυνάμεις ὅτι οἶδε καὶ ὅπου οἶδε, καὶ ὡς ἂν συνεῖδε, καὶ ὡς μόνος αὐτὸς οἶδεν. ὧν τὴν οὐσίαν, καὶ τὴν τάξιν, καὶ τὸν ἀριθμὸν, καὶ τὴν διαγωγὴν, καὶ τὴν ἰδέαν μόνος αὐτὸς ὁ τούτων ποιητὴς γινώσκει θεός. ἐκ τούτων δὴ τῶν ἀσωμάτων καὶ ταγμάτων ταξίαρχος εἷς ἀλαζονευθεὶς κατὰ τοῦ δημιουργοῦ, ὥς φησι ὁ ἠσαΐας, καὶ ἰεζεκιὴλ, οἱ προφῆται, ἀπερρίφη, καὶ ἔπεσε σὺν τῷ τάγματι αὐτοῦ, ὁ καλούμενος νῦν διάβολος, καὶ οἱ δαίμονες οἱ σὺν αὐτῷ. δημιουργοῦντος οὖν τοῦ θεοῦ τὸν ὁρώμενον κόσμον, λέγω δὴ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, ἐνόμιζεν ὁ διάβολος,

neat, à CCC. XVIII. Nicææ, CL. Constantinopoli, CC. Ephesi primitus S.S. Patrum fide diuersam. Similiter, & qui inueniat, aut suscipiat ex Concilio Chalcedonensi nouam fidem, præter sanctorum Patrum mentem, Dionysij, Irenæi, Clementis, Ambrosij, Iulij, Eustathij, Athanasij, Basilij, Nazianzeni, & Nysseni vtriusque Gregorij, Amphilochij, Ioannis, Epiphanij, Theophili, Procli, Ephræmi, Isidori, Beati patris, ac doctoris Cyrilli, reliquorumque S.S. Patrum cum iis concordium. Nam, qui sanctos eos doctores non sequuntur, damnatos ducimus, à Christoque alienos.

CAPVT QVARTVM.

Anastasij, minimi Presbyteri sancti montis Sina, opus de fide, œconomia Christi Dei filij, ad sanctam Catholicam Ecclesiam Babylone scriptum, fratribus nostris in ea Christi studiosis, & orthodoxis petentibus.

IN principio erat Deus, & Deus erat in principio, anteque principium sine principio; & erat semper, & est, & erit Deus. Deum verò dico sanctum, vnius naturæ, & increatam Trinitatem Patris, & Filij, & Spiritus sancti. Hic Deus noster, qui semper est, & ante omnia est, occultis suis, & initio omni prioribus consiliis, primùm antequam quidquam conderet, sanctas, & angelicas Virtutes animo informat, & creat: quando, & vbi, & quemadmodum, solus ipse conscit, nouitque. quorum naturam, ordinem, numerum, instituta, formam, solus opifex Deus cognoscit. Ex his incorporeis classibus, primâs vnus in auctorem superbiens, vt Esaias, ac Ezechiel Prophetæ referunt, deturbatus cum omni sua manu corruit: qui, nunc diabolus vocatur, & eius factio, dæmones. Deo igitur aspectabilem hûc orbem moliente, cœlum dico, terramque, & quæ insunt in ea; crede-

Isa. 14.
Ezech. 28.

βολος, ὥς φησι τὶς τῶν διδασκάλων, ὅτι αὐτὸν μέλλει καθιστᾷν ὁ θεὸς βασιλέα καὶ κύριον τῆς ὁρατῆς κτίσεως. ὅτι δὲ εἶδε τὸν ἀδὰμ γεγονότα, καὶ κατασταθέντα ὑπὸ τοῦ θεοῦ δεσπόζειν τῶν ἐπὶ τῆς γῆς. διαπονηθεὶς, καὶ φθονήσας τῷ ἀνθρώπῳ ὁ πονηρὸς, ἠπάτησεν αὐτὸν διὰ τῆς εὔας καὶ τοῦ ξύλου, εἴτε κατὰ παραχώρησιν θεοῦ, εἴτε καθ' ἕτερόν τινα τρόπον μυστικώτερον, τῷ θεῷ ἔγνωσται. οὐ γὰρ δεῖ ἡμᾶς περιεργάζεσθαι τὰ σεσιωπημένα τῇ θείᾳ γραφῇ. λέγω δὴ τὰ περὶ παραδείσου, καὶ τοῦ ξύλου τῆς γνώσεως, καὶ τῶν χιτώνων, καὶ ἑτέρων τινῶν τοιούτων, μὴ σαφῶς δεδηλωμένων ἡμῖν ἐν ταῖς βίβλοις ταῖς ἱεραῖς. ὡπλίσθη τοίνυν, ὡς προ-
* πείν. εἴπον, κατὰ τοῦ * ἀνθρωπίνου γένους ἀπαρχῆς ὁ σατανᾶς. εἶτα θανατοῖ διὰ τοῦ κάϊν τὸν ἄβελ. εἶτα ἀποπλανᾷ τοὺς ἀνθρώπους εἰς τὰς θυγατέρας τοῦ κάϊν. λοιπὸν δὲ καὶ εἰς τὸ εἴδωλα, καὶ χειροποίητα προσκυνεῖν ὡς θεοὺς ἀντὶ θεοῦ. διὸ παιδεύει τούτους ὁ θεὸς διὰ κατακλυσμοῦ. εἶτα φιλανθρωπευθεὶς, ἀνακαινίζει τὸν κόσμον διὰ τοῦ σπέρματος τοῦ νῶε. ἀλλ' οὐδὲ μετὰ ταῦτα ἐσωφρονίσθησαν οἱ ἄνθρωποι, ἀλλὰ περὶ τὰ εἴδωλα καὶ τὰ κακὰ κατεμαίνοντο. λοιπὸν ἀναδείκνυσιν ὁ θεὸς τινὰς φωστῆρας, τύπους θεοσεβείας τυγχάνοντας. λέγω δὴ τοὺς περὶ τὸν μακάριον ἀβραὰμ καὶ ἰσαὰκ, καὶ ἰακώβ. ἀλλ' οὐδὲ οὕτως ὁ κόσμος ἐσωφρόνισεν. εἶτα ἐπήγαγε τῇ κτίσει διαφόρους, καὶ πολυτρόπους παιδείας ὁ δεσπότης. εἶτα δίδωσι γραπτὸν νόμον, σημείοις καὶ τέρασι, καὶ δυνάμεσιν ὁπλιζόμενος τῷ ἰσραήλ. καὶ οὐδ' οὕτως οἱ ἄνθρωποι τῆς πλάνης ἀφίσταντο. ἀπέστειλε μετὰ νόμον θαυματουργοὺς προφήτας. ἀλλὰ καὶ τούτους οἱ ἄνθρωποι ἀποστραφέντες κατέσφαξαν.

Τέλος δὴ πάντων, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου τῆς ἀρχαίας βουλῆς τοῦ θεοῦ, τοῦ γενέσθαι τὸ μυστήριον ὃ προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς ἀειπαρθένου ἄνευ σπορᾶς ἀνθρώπου. ὅτι ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. ἀλλ' οὐδὲ οὕτως ὁ πονηρὸς ἀναισχυντῶν τοῦ τὸν κόσμον ταράττειν ἐπαύσατο, ἀλλὰ θᾶττον ἐνοικήσας εἰς ἴδια σκεύη καὶ ὄργανα ἀνθρώπινα, ἀναθρέπειν ὁλοτελῶς τὴν τοῦ χριστοῦ παρουσίαν ἐσπούδασε. καὶ πρῶτος σίμων ὁ μάγος, ὁ σαμαρείτης, ὁ ἀπὸ γιτθῶν τῆς κώμης, ἔφασκε τοῖς ἐν ῥώμῃ ἐπὶ πέτρου τοῦ κορυφαίου ὅτι ψευστὴς

καὶ

credebat diabolus, vt ait quidam doctorum, regem se, ac Dominum ab eo aspectabilis naturæ designatum iri. At, vbi vidit Adamum productum, à Deoque qui terrestrium potiretur, cõstitutum, excruciatus animi, & inuidia flagrans malignus, hominem per Euam, lignumque decepit, seu Dei permissu, seu alio secretiore quodam modo, Deo est compertum. Neq; enim fas est, nos, quæ silentio scriptura tegit, perquirere. Puta, qui sit paradisus, quod scientiæ lignum, quæ tunicæ, & alia quædam similia, parum in sacris voluminibus explicata. Itaque iam inde à principio, vt dixi, Sathanas se in humanum genus armauit. Tum, occidit Abel per Cain: hominesq; diuersos in Cain filias agit: atque ad idola denique, & simulacra manu facta, quæ, ceu Deos pro Deo colerent. Quare diluuio eos Deus castigat. Dein, homini placatus, mundum per Noë semen instaurat. Sed neq; post hæc quidem mortales ad frugem redibant, sed idolis, flagitiisq; deseruiendo insaniebant. Cæterùm, lumina quædam, & exempla in Deum pietatis, edit, ostentatq; Deus; Abraham, inquam, & Isaac & Iacob. Sed ne sic quidem orbis resipuit. Proinde, diuersas, variasq; pœnas mundi Dominus mundo intulit. Tum igitur dat legem scriptam, signis, ac prodigiis Israëlitarum genti conspectus. At, ne sic quidem homines ab errore abstitêre. Misit post legem Prophetas, miraculorum patratores: sed & eos auersati mortales, peremêre.

Demum, quando veteris, diuinique sui consilij tempus fuit completum, vt arcanum illud mysterium ederetur, quod ad nostram gloriam ante secula Deus præstituerat, misit filium suum, ex semper virgine femina sine semine hominem natum: *Post hæc in terris visus est, & cum hominibus conuersatus est.* Bar. 3. Sed neque ita quidem improbus, impudensq; veterator, turbandi mundi finem fecit: sed extemplò, humanis vasis, organisq; suis occupatis, Christi aduentum euertere funditus festinauit. Primusq; Simon Magus Samaritanus Sittarum vico editus, Romanis, qui Petro Apostolorum Principi crediderant, dicebat, Christum Iesum, qui venisset, mẽdacem, & impostorem fuisse: se verò, verum esse Christum. Post eum,

καὶ πλάνος ἦν ὁ ἐλθὼν Ἰησοῦς, ἐγὼ δέ εἰμι ὁ ἀληθὴς χριστός. εἶτα μετὰ τοῦτον ἀναφανεὶς Κήρινθος, καὶ Νικόλαος, καὶ Μαρκίων, τὰ ὅμοια τῷ Σίμωνι ἐφαντάζοντο. ἀλλ' αὖθις ἡ τοῦ θεοῦ ψῆφος ὤλεσε τούτους, καὶ τὰς αὐτῶν διδαχάς. ἀλλ' οὐδ' οὕτως ὁ πονηρὸς δράκων τοῦ πολεμοῦ τὴν ἐκκλησίαν ἐπαύσατο. θᾶττον γὰρ διωγμοὺς ὑπὸ Ἑλλήνων καὶ ἀνόμων κατ' αὐτῆς διήγειρεν. ἀλλ' ἐκ μέσου τῇ δυνάμει τοῦ χριστοῦ γεγονότων, ἐπινοεῖ καὶ τρίτον τινὰ ἀπάτης τρόπον ὁ πολύμορφος ὄφις. ἀκούσας γὰρ τοῦ ἐν εὐαγγελίοις ῥητοῦ τοῦ κυρίου λέγοντος, ὅτι ἐὰν ἀπέλθω πρὸς τὸν πατέρα, ἐρωτήσω αὐτὸν, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν, ὑπέσπειρε τισὶν ἀνθρώποις μάγοις τε καὶ γόησι λέγειν ὅτι ἐγώ εἰμι ὁ παράκλητος ὃν ὑπέσχετο χριστὸς ἀποστέλλειν τῷ κόσμῳ. ἐξ ὧν ἦν Μάνης, ὁ Μανιχαίων ἀρχηγὸς, καὶ Μοντανὸς, ὁ ἀπὸ Ἀρδαβαῦ τῆς κώμης, καὶ ἕτεροί τινες. ὧν τινῶν καὶ αὐτῶν ἀστοχησάντων, ὡς εἶδεν ὁ ἐχθρὸς ὅτι ἡμέρᾳ καὶ ἡμέρᾳ πλατύνεται, καὶ αὔξει τὸ τοῦ χριστοῦ κήρυγμα, καὶ οὐκέτι ἰσχύει πρὸς τὴν εἰδωλολατρείαν ἀποκλῖναι τὸ γένος τῶν ἀνθρώπων, τὰ διάφορα λοιπὸν ζιζάνια κατέσπειρε τῷ κόσμῳ, ὅπως τὴν μάχην καὶ διάστασιν, ἣν ἐν τῇ εἰδωλολατρείᾳ ἐκέκτηντο, ταύτην ἐν τῇ θεοσεβείᾳ οἱ ἄνθρωποι ἔχωσιν.

Ἐκ τούτου δὴ μετὰ χρόνους τινὰς Μανέντας τε, καὶ Μοντανοὺς, καὶ νομάτου τὴν Ἀρειανὴν ἐκείνην θυμελικὴν ὀρχήστραν ὁ ταύτης μεσόχορος δαίμων συνεστήσατο, καὶ τοὺς ταύτης μιμολόγους, Ἀπολλινάριον, φάσκοντα ἄψυχον καὶ ἄνουν καὶ ἁπλῆ ἄνθρωπον ἀνειληφέναι τὸν χριστὸν, καὶ Εὐνόμιον, καὶ τοὺς σὺν αὐτῷ, κτίσμα λέγοντας τὸν τοῦ θεοῦ λόγον, καὶ μίαν φύσιν, καὶ θέλησιν, καὶ ἐνέργειαν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ δογματίζοντας. αὖθις δὴ πάλιν μὴ ἀρκούμενος ἐν τούτοις ὁ μισόκαλος, ὁπλίζεται καὶ κατὰ τοῦ πνεύματος τοῦ παναγίου διὰ Μακεδονίου τοῦ πνευματομάχου. ἀλλ' ἡ ἐξ ὕψους δύναμις πάντας ἐκείνους τοὺς πονηροὺς καὶ θεομάχους θῆρας ἀπώλεσε, καὶ οὐδαμοῦ σήμερον Ἀρειανῶν, ἢ Μακεδονιανῶν, ἢ Εὐνομιανῶν μνήμη ἐν κόσμῳ, τῶν τῇ θεότητι πολεμούντων. καὶ ὥσπερ δράκων καιρίαν τινὰ πληγὴν λαβὼν ἡμέρᾳ τῇ ἡμέρᾳ διὰ τῆς ὀδύνης ἀσθενέστερος γίνεται, οὕτω καὶ ὁ διάβολος, διὰ χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ κραταιωθεὶς, κατὰ

πρόσ-

exorti, Cerinthus, Nicolaus, Marcion Simoni consentanea, pariaq; fingebant. Sed mox tum istos, tum eorum dogmata diuina sententia sustulit. At neque ita malignus draco Ecclesiam impugnare cessauit: statimq; gentilium, & iniquorum persequutiones in eam conciuit. Verùm his Christi potentia sublatis, versipellis serpens, tertium aliquem fallaciæ modum excogitat. Cùm audisset enim in Euangeliis oraculum illud, à Domino editum; *quoniam si abiero ad Patrem, rogabo ipsum, & alium paracletum mittam vobis,* magis quibusdam, & incantatoribus hominibus subiecit, vt dicerent, quod ipse esset Paracletus, quem missurum se mundo Christus promiserat. In quibus Manes erat, Manichæorum antesignanus, & Montanus, ex Ardabau vico natus, & alij nonnulli. Quibus & ipsis spe sua frustratis, cùm inimicus videret in dies Christi augescere, dilatariq; præconium, nec iam vltra se hominum genus ad idolorum cultum posse detorquere, de cętero varia in orbem proseuit zizania; vt pugnam, & dissensionem, quam in idolorum cultura tenuerant, eandem in Dei cultu mortales tenerent. *Ioan. 14.*

Enimuero ex eo iam aliquot post interualla Manentis, Montani; Nouati etiam Arianam illam orchestram scenicam, chori huius quasi intermedius quidam, dæmon constituit; huiúsce sectæ imitatores, Apollinarium, qui Christum, hominem inanimem, & sine mente, atque imperfectum suscepisse diceret; & Eunomium, cum suis sectatoribus, qui Dei verbum creaturam dicerent, atque vnam diuinitatis, & humanitatis eius naturam, voluntatem, & actionem censerent. Neq; verò his osor ille honesti contentus, per Spiritus sancti oppugnatorem Macedonium, in sanctissimum armatur spiritum. Verùm superna illa, & diuina vis, & potestas, omnes istas malignas, & infestas Deo feras disperdidit; neque vlla hodiè Arianorum, aut Macedonianorum, aut Eunomianorum, qui Deũ oppugnent, per orbem memoria superest. Ac, velut draco, lethali accepto vulnere quotidie ex dolore impotentior redditur: sic & diabolus, à Christo Dei filio quasi circa tempora percussus, successu temporis emortuus apparuit. Nam ecce

προσβάσει τοῦ χρόνου καταργούμενος ἀπεδείχθη. ὅρα γάρ, ἠθέλησεν ἐν πρώτοις εὐθέως διασκεδάσαι τὴν ἐπιδημίαν τοῦ Χριστοῦ, καὶ οὐκ ἴσχυσεν. εἶτα ἠθέλησε διὰ διωγμῶν τὸ κήρυγμα καταργῆσαι, καὶ ἠστόχησεν. ἠθέλησεν ἀντὶ πνεύματος ἁγίου γόητας ἄνδρας προσκυνεῖσθαι, καὶ τοῦ σκοποῦ ἐξέπεσε. προσέκρουσε τῇ θεότητι τοῦ Χριστοῦ, καὶ κατῃσχύνθη. τότε δὴ λοιπὸν ἀδυνατῶν θεότητι πολεμεῖν, ἐπὶ τὴν σάρκα τοῦ Χριστοῦ, τὸν πόλεμον ἔτρεψε, μετὰ τὴν ἀρειανικὴν ὀρχήστραν τὴν τῆς διαιρέσεως χάρυβδιν διορύξας. λέγω δὴ τὴν σάρκα τοῦ Χριστοῦ μερίζων ἐκ τῆς θεότητος, καὶ εἰς δύο τὸν ἕνα κατατέμνων Χριστόν. ταύτης δὲ τῆς διαιρέσεως ἀρχηγοὶ γεγόνασι Θεόδωρος ὁ Ἀντιοχείας, καὶ Διόδωρος ὁ Ταρσοῦ.

Ἐξ ὧν ὥσπερ τις ῥίζα ἐλλεβόρου ἐβλάστησεν ὁ Χαλδαῖος χοῖρος ὁ ἀσύριος Νεστόριος, μέχρι καὶ νῦν τὸν ἴδιον βόρβορον τοῖς αὐτῷ πειθομένοις καταῤῥαίνων. καθαιρεθεὶς γὰρ ἀπὸ Κωνσταντινουπόλεως, καὶ ἐπὶ τὰ τῆς Μεσοποταμίας * ἐνδημήσας κλίματα, ἐκεῖσε τὸν ἴδιον ἰὸν καὶ τὸν βόρβορον κατέσπειρε, κἀκεῖθεν ὡς ἐκ καναλίσκου τινὸς πᾶσαν μάλιστα τὴν ἀνατολὴν κατεμίανε. καθ' ὃ διὰ πλάτους σύνταγμα πεποιήκαμεν, τὸν δόλον, καὶ τὴν πανουργίαν αὐτοῦ στηλιτεύσαντες, κἀκεῖ τοὺς Φιλοπόνους παραπέμπομεν. εἰδέναι μέντοιγε προσήκει ὡς οὐκ ἔστι σήμερον κακουργοτέρα τῆς Νεστορίου αἱρέσεως. δυσχερῶς τὸν ἴδιον ἰὸν φανεροῦσι. καὶ γὰρ αἰσχροῦ κέρδους καὶ δόξης χάριν πολλάκις ἐν ὑποκρίσει καὶ θεὸν λέγουσι τὸν Χριστὸν, καὶ θεοτόκον τὴν ἁγίαν παρθένον, καὶ ἀναθεματίζουσι Νεστόριον, καὶ ἀποβάλλονται τὸν λέγοντα δύο πρόσωπα ἐν Χριστῷ. ὁ μέντοι τὸν δόλον αὐτῶν ἐλέγξαι βουλόμενος τὸν μακάριον Κύριλλον, καὶ τὴν κατ' αὐτὸν σύνοδον τὴν κατὰ Νεστορίου προσενέγκοι αὐτοῖς. καὶ ἐὰν ταῦτα εἰλικρινῶς δέξωνται, ἐν τούτοις τὸ ἀπόδεκτον ἔχουσι. τοσαῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος περὶ Νεστορίου τοῦ δυσσεβοῦς ἰουδαιόφρονος, καὶ Χαλδαίου ἀσυρίου χοίρου. τοῦτον γὰρ ἀποβάλλεται ἡ ἁγία ἐκκλησία διὰ τὴν τῶν ἐν Χριστῷ φύσεων διαίρεσιν, ὥσπερ καὶ Σεβῆρον, καὶ τοὺς σὺν αὐτῷ διὰ τὴν τῶν φύσεων σύγχυσιν.

* ἐπι-

ΚΕΦΑ-

voluit in primis tectà Christi aduentum dissipare, nec potuit. Tum autem voluit persequutionibus motis præconium Christi abolere, sed frustratus est. Voluit pro Spiritu sancto magos adorari, & scopo excidit. Impetiuit Christi diuinitatem, & pudefactus est. Cæterùm cùm diuinitatem tum oppugnare nequiret, in Christi humanitatem bellum conuertit, post Arianā orchestram, separationis charybde adobrutus; cum inquam Christi carnem à diuinitate diuidens, in duo vnum Christum secuisset. Eius verò diuisionis principes fuêre Theodorus Antiochiæ, ac Diodorus Tarsi Episcopi.

Ex quibus velut radix quædam hellebori Chaldæus porcus, Assyrius Nestorius prodiit, qui hodieque sibi addictos suopte cœno aspergit. Nam Constantinopoli submotus, atq; in Mesopotamiam euadens, venenum suum, ac lutum indidem conseuit; vnde velut è canali quodam, Orientem omnē maximè infecit, conspurcauitque. Contra quem prolixè opus conscripsimus, palamque hominis fallaciam fecimus, quò studiosos remittimus. Sanè sciendum est, nullam hodie Nestorij hæresi maligniorem extare, quæ ægrius venenum suum prodat. Siquidem fœdi quæstus, ac gloriæ vanæ causa per simulationem sæpe, & Deum appellant Christum, & Deiparam sanctam Virginem; ac Nestorium duas in Christo personas dicentem execrantur, & repudiant. Quanquam, qui eorum fraudes coarguere velit, B. Cyrillum, initumque eius memoria Concilium contra Nestorium iis proferat. quæ, si syncerè accipiant, in his habent, cur approbentur. Atque hæc hactenus in præsens de Nestorio, impio illo, ac Iudaicis opinionibus imbuto, & Chaldæo Assyrio porco. Hunc enim sancta Ecclesia ob naturarum in Christo diuisionem, separationemúe, vt Seuerum cum suis, ob earundem confusionem reiicit.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ.

Περὶ τῶν ἁγίων συνόδων.

Ἀναγκαῖον δὲ τὸν φιλόπονον καὶ τοῦτο ἐπίστασθαι, φημὶ δὴ τὸ περὶ τῶν ἁγίων, καὶ οἰκουμενικῶν * ἓξ συνόδων, τὸ τίνος χάριν, καὶ ποίων αἱρέσεων γεγόνασιν αὗται. οὐ μὴν δὲ ἀλλ' ὅτι καὶ ἕτεραι διάφοροι τοπικαὶ πρὸ αὐτῶν τε καὶ μετὰ ταύτας γεγόνασι σύνοδοι ἐν διαφόροις τόποις περὶ διαφόρων κεφαλαίων.

* χϛ

Ἡ μὲν οὖν ἁγία καὶ πρώτη οἰκουμενικὴ σύνοδος τῶν τιη΄ πατέρων, ἐν νικαίᾳ γέγονεν ἐπὶ τοῦ ἁγίου κωνσταντίνου τοῦ βασιλέως κατὰ ἀρείου τοῦ γενομένου διακόνου πρεσβυτέρου ἐν ἀλεξανδρείᾳ. ὃν καὶ προαναθεμάτισεν ὁ ἅγιος πέτρος, ὁ μάρτυς καὶ ἐπίσκοπος. εἰπών, ἄρειος καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι κεχωρισμένος ἐστὶ ἐκ τῆς δόξης τοῦ υἱοῦ τοῦ θεοῦ ἰησοῦ χριστοῦ. ἐκήρυττε γὰρ ὁ αὐτὸς ἄρειος κτίσμα εἶναι τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ, καὶ οὐ γεννηθέντα ἐκ τοῦ πατρὸς πρὸ τῶν αἰώνων. ἡ δὲ ἁγία σύνοδος ὁμοούσιον καὶ συνάναρχον ὥρισε τὸν υἱὸν τῷ πατρί, γεννηθέντα, οὐ ποιηθέντα. κατέκρινε δὲ καὶ σαβέλλιον τὸν λυβικόν, φάσκοντα μίαν ὑπόστασιν εἶναι πατέρος, υἱοῦ, καὶ ἁγίου πνεύματος, τρεῖς ὑποστάσεις κηρύξασα ἡ αὐτὴ θεόφρων σύνοδος, μίαν δὲ οὐσίαν. ἐξ ἧς μάλιστα ἐστὶ καταισχῦναι τοὺς θεοδοσιανούς, καὶ ἰακωβίτας, ταὐτὸν λέγοντας εἶναι τὴν οὐσίαν, ἤτοι φύσιν, καὶ τὴν ὑπόστασιν, καθὼς μέλλομεν δεῖξαι. ἀπεκήρυξε δὲ καὶ τὴν αἵρεσιν φωτεινοῦ ἡ ἁγία σύνοδος, τὴν φάσκουσαν ἀπὸ μαρίας ἔχειν τὴν ἀρχὴν τῆς θεότητος, καὶ τῆς σαρκὸς τὸν χριστόν, καὶ μὴ εἶναι αὐτὸν προαιώνιον κατὰ τὴν ἄκτιστον αὐτοῦ θεότητα.

Ἡ δευτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος τῶν ἐν κωνσταντινουπόλει ρν΄. ἁγίων πατέρων γέγονεν ἐπὶ θεοδοσίου τοῦ μεγάλου βασιλέως κατὰ μακεδονίου ἀρχιεπισκόπου κωνσταντινουπόλεως, κτίσμα λέγοντος τὸ πνεῦμα τὸ ἅγιον. ἡ δὲ ἁγία σύνοδος καθελοῦσα μακεδόνιον, ὁ-

μοούσιον

CAPVT QVINTVM.

De sanctis Conciliis.

NEcesse est autem studiosum illud quoque tenere sancta Oecumenica sex Concilia, & quamobrem, & contra quas hæreses sint celebrata. quin & (nosse oportet) alia quoque diuersa Prouincialia, & ante, & postea in diuersis prouinciis, de diuersis capitibus acta.

Itaque *primum* S. Oecumenicum Concilium CCC. XVIII. Patrum Nicææ sub D. Constantino Imp. gestum est contra Arium Alexandrinum Presbyterum. quem & S. Petrus Martyr, ac Episcopus iam ante execratus erat, dicens; Arius & in hoc seculo, & in futuro à Dei filij Iesu Christi gloria separatus est, & segregatus. Prædicabat enim creaturam esse Dei filium, atque Verbum, neque genitum ex Patre ante secula. Sanctum verò Concilium eiusdem cum Patre principij filium, eiusdemque naturæ, genitum, non factum definiuit. Damnauit autem & Sabellium Lybem, qui vnam Patris, Filij, ac Spiritus sancti personam diceret; tres hypostases, vnam substantiam, diuina Synodus professa. Ex qua quidem, cum primis pudefaciendi Theodosiani, & Iacobitæ, qui substantiam, siue naturam, atq; hypostasin idem esse dicunt, vti ostendemus. Condemnauit etiam Photini hæresin hæc sancta Synodus, quæ diceret, Christum, & diuinitatis, & humanitatis principium habere à MARIA, neque secundum increatam ipsius diuinitatem seculis præstare. I.

Secundum S. Oecumenicum CL. SS. Patrum Concilium Constantinopoli sub Theodosio Magno Imp. coactum, factumque est contra Macedonium Archiepiscopum Constantinopolitanum, qui Spiritum sanctum creaturam esse diceret. Sanctum verò Concilium, abdicato Macedonio, Spiritum sanctum Patri, & Filio consubstantialem proclamauit, addi- II.

μοούσιον ἐκήρυξε τῷ πατρὶ, καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον, προσθεῖσα ἐν συμβόλῳ τὸ, καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον κύριον καὶ ζωοποιὸν, καὶ τὰ ἑξῆς. ἡ ἁγία σύνοδος τῶν ἐν ἐφέσῳ τὸ πρότερον σ̄. ἁγίων πατέρων γέγονε μετὰ ν̄ χρόνους τῆς ἐν κωνσταντινουπόλει ἐπὶ θεοδοσίου τοῦ μικροῦ βασιλέως κατὰ νεστορίου τοῦ δυσσεβοῦς ἐπισκόπου κωνσταντινουπόλεως, ἀνθρωποτόκον κηρύττοντος τὴν παναγίαν θεοτόκον, λοιπὸν δὲ καὶ διαιροῦντος τὸν χριστὸν εἰς δύο πρόσωπα ἀσεβῶς, καὶ δύο ὑποστάσεις. ὃν καθελοῦσα ἡ ἁγία σύνοδος, θεοτόκον κυρίως, καὶ ἀληθῶς ὥρισε τὴν πανένδοξον ἁγίαν παρθένον, μίαν χριστοῦ σύνθετον ὑπόστασιν εὐσεβῶς διδάσκουσα.

Μετὰ οὖν δέκα τινὰς χρόνους ἀνεφύη εὐτυχιός τις ἀρχιμανδρίτης ἐν κωνσταντινουπόλει, ἐξ οὐρανοῦ λέγων καταληλυθέναι τὸ σῶμα τοῦ χριστοῦ, καὶ ἑτερούσιον ἡμῶν αὐτὸ εἶναι, καὶ μίαν φύσιν τὸν χριστὸν ὅλον τυγχάνειν. καθ᾽ οὗ πεποίηκε τοπικὴν σύνοδον ὁ μακάριος φλαβιανὸς, ἐπίσκοπος ὢν κωνσταντινουπόλεως, τότε καθελὼν αὐτὸν, καὶ ὁρίσας ὁμοούσιον ἡμῶν εἶναι τὸ σῶμα τοῦ χριστοῦ. λοιπὸν δέησιν ἐπιδεδωκὼς τῷ βασιλεῖ ὁ εὐτυχὴς, ἔπεισεν αὐτὸν, καὶ μεταστειλάμενος διόσκορον τὸν πάπαν ἀλεξανδρείας ἐποίησε τὴν ἐν ἐφέσῳ τὸ δεύτερον σύνοδον κατὰ φλαβιανοῦ, τὴν λεγομένην λῃστρικὴν, ἐν ᾗ κυκλωθεὶς ἀπέθανεν ἐξ αὐτῶν.

Δι᾽ ὃν ἡ ἁγία σύνοδος ἡ ἐν χαλκηδόνι γέγονε, κατὰ διοσκόρου, καὶ εὐτυχοῦς τῶν αἱρεσιαρχῶν, μίαν φύσιν λεγόντων τὸν χριστόν. ἡ δὲ ἁγία σύνοδος διὰ τὸ τέλειον εἶναι ἐν θεότητι, καὶ τέλειον ὁμοίως ἐν ἀνθρωπότητι τὸν χριστὸν, ἐν δύο αὐτὸν ἡνωμέναις φύσεσιν ἕνα κύριον ἀσυγχύτως, καὶ ἀδιαιρέτως ἐκήρυξεν, ἐπικυρώσασα τὴν καθαίρεσιν νεστορίου ἣν ἐποίησεν ὁ μακάριος κύριλλος τῇ ἐν ἐφέσῳ τὸ πρότερον ἁγίᾳ συνόδῳ, εὐφημήσασα καὶ τὸν αὐτὸν μακάριον κύριλλον, καὶ εἰποῦσα, κυρίλλου αἰωνία ἡ μνήμη, ἐπὶ μαρκιανοῦ τοῦ βασιλέως.

Μετὰ χρόνους ρ̄. τῆς ἐν χαλκηδόνι συνόδου γέγονεν ἐπὶ ἰουστινιανοῦ τοῦ βασιλέως ἡ πέμπτη οἰκουμενικὴ σύνοδος κατὰ ὠριγένους, καὶ διδύμου, καὶ εὐαγρίου τῶν ματαιοφρόνων λεγόντων τὰς ἡμετέρας ψυχὰς μετὰ τῶν δαιμόνων ἐξ οὐρανοῦ καταπεσεῖν εἰς τὰ σώματα ἡμῶν, καὶ ὅτι τέλος

addique curauit in Symbolo illud ; Et in Spiritum sanctum, Dominum, & viuificantem ; & quæ sequuntur. Tertium S. Ephesi prius CC. sanctorum Patrum Concilium sub Theodosio paruo Imp. celebratum est annis post Constantinopolitanum, L. contra impium Nestorium Constantinopolitanum Episcopum, qui doceret sanctissimam Deiparam, hominem merum genuisse; quiq; demum Christum in duas personas, duasque hypostases impiè diuideret. Quo abrogato, S.Concilium gloriosissimam S. VIRGINEM propriè, ac verè DEIPARAM, vnamque Christi compositam hypostasin esse, decreuit. III.

Annis circiter post decem, Eutyches quidam, Archimandrita Constantinopoli est exortus; qui diceret, Christi corpus è cœlo deuenisse, aliudque à nostro, totumque Christum naturam vnam esse. Contra quem B.Flauianus, Constantinopolitanus Episcopus, prouinciali indicto Concilio, tunc abdicato eôdem, Christi corpus eiusdem cum nostro esse substantiæ definiuit. Cæterùm Eutyches porrecto libello supplice Imp. ei persuasit: accitoque Dioscoro, Alexandrino Episcopo, secundum Ephesi peregit Concilium contra Flauianum, quod dicitur latrocinans; in quo ab ipsis circumuentus, fuit trucidatus.

Ob quem habitum est Chalcedone Concilium aduersus Dioscorum, & Eutychen hæresiarchas, vnam in Christo naturam asserentes. At sancta hæc Synodus, quod Christus tam diuinitate, quàm humanitate æquè perfectus esset, in duabus inconfusè, & inseparabiliter vnitis naturis vnum Dominum est professa: confirmata Nestorij, in priore Ephesino Concilio, auctore Cyrillo, damnatione; quo quidem B. Cyrillo collaudato, eidem hoc edidit elogiũ; Cyrillo, æterna memoria; quæ quidem omnia sub Marciano Imp. sunt peracta. IV.

Annis post Chalcedonense Concilium, C. sub Iustiniano Imp. quintum œcumenicum actum est Concilium, contra Origenem, Didymum, & Euagrium stultè sapientes; quippe qui dicerent animas nostras cum dæmonibus è cœlo in cor- V.

λος ἔχει ἡ κόλασις, καὶ ἀποκαθίσταται δι' αὐτῆς πάλιν ὁ διάβολος εἰς τὴν ἀρχαίαν αὐτοῦ τάξιν τὴν ἀγγελικήν. κατέκρινε δὲ ἡ αὐτὴ ἁγία σύνοδος καὶ σεβῆρον, καὶ τὸ φρόνημα αὐτοῦ, καὶ πάντας τοὺς λέγοντας προϋπάρχειν τὰς ψυχὰς ἡμῶν πρὸ τῶν σωμάτων. εἰδέναι μέντοιγε χρὴ ὅτι γεγόνασι καὶ ἄλλαι πλεῖσται σύνοδοι τοπικαὶ ἐν διαφόροις χώραις χάριν διαφόρων ἐκκλησιαστικῶν κεφαλαίων.

ΚΕΦΑΛΑΙΟΝ ἝΚΤΟΝ.

Πόθεν ἡ μονόφθαλμος σεβήρου πίστις ἐβλάστησεν.

Ὅσον λοιπὸν πρὸς τὸ γινώσκειν τὸν φιλόπονον διὰ βραχέων εἰπεῖν πόθεν ἀπήρξατο καὶ ἡ τὴν σύγχυσιν δογματίζουσα τῶν μονοφυσιτῶν αἵρεσις, καὶ ἐκ ποίων αἱρέσεων καὶ δρακόντων ἀρχαίων τὸν ἰὸν ἐθήλασε. τοῖς γὰρ μανιχαίων, καὶ οὐαλεντίνων, καὶ μαρκιωνιστῶν, καὶ ἀρειανῶν βιβλίοις ἐγκύψας ὁ εὐτυχής, ὁ καθαιρεθεὶς ὑπὸ τῆς ἁγίας συνόδου χαλκηδόνος, ἐκεῖθεν ἐδιδάχθη τὴν φαντασίαν καὶ δόκησιν, καὶ τὸ μίαν φύσιν κηρύττειν τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ χριστοῦ. εἶτα ἐκ τοῦ εὐτυχοῦς παρέλαβε τὴν τοιαύτην νόσον ὁ διόσκορος. λοιπὸν καθαιρεθέντος καὶ διοσκόρου ἐν χαλκηδόνι, ἐσχίσθη ἡ ἐκκλησία κωνσταντινουπόλεως, καὶ ἀλεξανδρείας. μετὰ γοῦν χρόνους τινὰς γέγονε τιμόθεος ἐπίσκοπος τῶν μονοφυσιτῶν ἐν ἀλεξανδρεία, καὶ εὐθέως κατέγραψε συγγράμματα κατὰ τῆς συνόδου χαλκηδόνος, καὶ τοῦ τόμου λέοντος τοῦ πάπα ῥώμης. εἶτα ἰωάννης ὁ καισαρεὺς ὁ γραμματικὸς ἀπελογήσατο ὑπὲρ τῆς συνόδου, καὶ ἕτεροι πλεῖστοι δι' ἐκθέσεων ἀληθεστάτων. διωχθέντος οὖν σεβήρου ἀπὸ ἀντιοχείας διὰ τὰ πονηρὰ αὐτοῦ διδάγματα, ἅπερ κατὰ τῆς συνόδου χαλκηδόνος ἐδίδασκε, παραγίνεται ἐν ἀλεξανδρεία εἰς τὸν φωλεὸν τῶν ὄφεων, τῶν ἐχθρῶν τῆς καθολικῆς ἐκκλησίας, καὶ ἐγκύψας τοῖς συντάγμασι τοῦ καισαρέως, καὶ ἑτέρων τινῶν τῶν συνταττόν-

των

pora nostra decidisse: &, quod pœna (damnatorum) habeat finem; quodq; diabolus in antiquum angelicum denuò restituendus sit ordinem. Damnauit etiam hæc sancta Synodus Seuerum, & sententiam ipsius, omnesque idem sentientes, animas scilicet nostra ante corpora præexistere. Sciendum verò est, alia plurima prouincialia celebrata esse Concilia in diuersis locis, & de diuersis ecclesiasticis capitibus. *

* *Post hac verba, sequitur in Cod. August. titulus* de natura, *sed omnia iam habes supra in capite de definitionibus, & quidem ad verbum: Exceptis hisce pauculis.* ἐκ παλαιᾶς καὶ καινῆς διαθήκης, ὅτι οὐδὲν ἕτερον σημαίνει τὸ λέγειν φύσει θεὸν τὸν χριστὸν, καὶ φύσει ἄνθρωπον, εἰ μὴ ἐν ἀληθείᾳ ὄντα θεὸν, καὶ ἐν ἀληθείᾳ τὸν αὐτὸν γενόμενον ἀτρέπτως ἄνθρωπον. εἴρηται τοίνυν τῷ σοφῷ Σολομῶντι, &c. *Ex veteri & nouo Testamento, Christum naturâ esse Deum, & naturâ esse hominem, nihil aliud significare, quàm illum ipsum, qui in rei veritate Deus est, etiam in rei veritate immutabiliter factum esse hominē. Dictū est itaq; à sapientissimo Salomone, & c.*

CAPVT SEXTVM.

Vnde monocula Seueri fides pullulauerit.

PIVM deinceps est, ne ignoret studiosus, breuiter exponere, vnde cœperit cōfusionem docens Monophysitarum hæresis; & è quibus hæresibus, & antiquis draconibus venenum hauserit? Nam Manichæorum, Valentinianorum, Marcionitarum, & Arianorum libris inspectis, Eutyches qui à S. Concilio Chalcedone damnatus fuit, inde, phantasticum, & putatitium corpus edoctus, vnam diuinitatis, & humanitatis Christi naturā promulgauit. Ab Eutyche deinde morbum hunc suscepit Dioscorus. Cæterùm, Dioscoro in Chalcedonensi Concilio condemnato, abdicatoque, Constantinopolitana, & Alexandrina Ecclesia, per schisma fuêre separatæ. Post aliquot igitur annos Timotheus Monophysitarum Alexandriæ Episcopus, statim aduersus Chalcedonense Concilium, ac Leonis Romani Pontificis volumen libros conscripsit. Defendêre Concilium Ioannes Cæsareensis Grammaticus, & alij plurimi, scriptis verissimis. Pulsus igitur Antiochia Seuerus ob praua dogmata, quæ contra Chalcedonense docebat Concilium, proficiscitur Alexandriam, serpētium, hoc est, Catholicæ Ecclesiæ hostium

των ὑπὲρ τῆς συνόδου διὰ πλειόνων πατρικῶν, καὶ γραφικῶν χρή-
σεων, καὶ συστάσεων καὶ ἀποδείξεων, πρῶτον μὲν εὐθέως κατέγραψε
κατὰ τοῦ καισαρέως ἰωάννου, καὶ μετὰ τοῦτο ὅπερ ἀκύλας ἐπὶ τῆς παλαι-
ᾶς γραφῆς πεποίηκε, παρερμηνεύσας ταύτην, καὶ τὰς πλείους, χρήσεις
καὶ μαρτυρίας τὰς περὶ χριστοῦ διαστρέψας καὶ περικόψας, καὶ κατ'
ἀντιπάθειαν πεπλανημένην ἔκδοσιν πρὸς ἀπώλειαν ἰουδαίοις κα-
ταλείψας, τοῦτο αὐτὸ καὶ σευῆρος πεποίηκε. θεωρήσας γὰρ ὅτι ἐκ
πατρικῶν τῶν ὁσίων διδασκάλων χρήσεων παρέστησαν ἐν δύο φύ-
σεσιν ἀδιαιρέτοις ἐν ἑνὶ προσώπῳ τὸν χριστὸν οἱ περὶ τῆς συνόδου ἀπο-
λογησάμενοι, ἐπιλαθόμενος ὁ πολὺς οὗτος σευῆρος ὅτι τὴν κρί-
σιν πᾶσαν τῷ χριστῷ δέδωκεν ὁ πατὴρ, ἁρπάζει τὸ τῆς κρίσεως ἐκ
τοῦ χριστοῦ ὡς ἀντίχριστος ἀξίωμα, καὶ προκαθέζεται δικαστὴς, καὶ
κριτὴς τῶν ἁγίων πατέρων καὶ διδασκάλων, καὶ παραγαγὼν τὰς
τούτων χρήσεις, ὅσας μὲν ἠδυνήθη παρερμηνεῦσαι ταύτας ὡμολόγησε
τῶν πατέρων ἀληθῶς εἶναι, ὅσων δὲ πάλιν χρήσεων αἱ βίβλοι
* ηὑρίσκοντο σπανίως * εὑρίσκονται, ἢ διὰ τὸ ἀπομήκοθεν τῆς αὐτῶν χώρας, ἢ
διὰ τὸ ἑτερογλώσσους εἶναι, ταύτας παρεγράψατο, λέγων ψευ-
δεῖς καὶ νόθους ὑπάρχειν. ὅσας δὲ πάλιν χρήσεις λεγούσας τὰς δύο
φύσεις εὗρε γρηγορίου τε καὶ ἰωάννου, καὶ κυρίλλου, καὶ ἀθανασίου, καὶ
ἀμβροσίου,, καὶ πρόκλου, καὶ τῶν λοιπῶν περιφανῶν διδασκάλων,
ὧν αἱ βίβλοι, καὶ αἱ χρήσεις ἀπαραίτητοί εἰσι διὰ τὸ κατὰ πᾶσαν
τὴν οἰκουμένην αὐτὰς προκεῖσθαι, περὶ τούτων πάλιν ὅρον καὶ ἀπόφασιν
ἐξέθετο ὁ νομοθέτης, καὶ κριτὴς σευῆρος, ποτὲ μὲν γράφων πρὸς τὸν
λεγόμενον νηφάλιον ὅτι συγγνώμην παρέχει τοῖς ἁγίοις πατράσιν ἐ-
πὶ τῇ φωνῇ τῶν δύο φύσεων, ἐπειδή φησι κατὰ ἀρειανῶν ὁπλιζόμενοι
ἠναγκάσθησαν τῇ φωνῇ τῶν δύο φύσεων χρήσασθαι. ποτὲ δὲ πάλιν
ἀναισχυντότερον χρώμενος, οὐδὲ συγγνώμην ἀξιοῖ τοὺς ἁγίους πα-
* τῷ τέρας, ἀλλ' ὅσον τὸ ἐπ' * αὐτῶν τὴν καθαίρεσιν, καὶ ἐκβολὴν τῶν θεο-
πνεύστων αὐτῶν διδαγμάτων ποιεῖται, αὐταῖς ξηραῖς λέξεσιν οὕτως
ἐκθέμενος, καθὰ ὕστερον πλατύτερον ἐροῦμεν, καὶ δείξομεν αὐτὸν φά-
σκοντα ὅτι περ ἀπόβλητοί εἰσιν αἱ τῶν ἁγίων πατέρων περὶ δύο φύ-
σεων ἡνωμένων ἐν χριστῷ χρήσεις, κἂν αὐτοῦ κυρίλλου ὑπάρχουσι, καὶ
ὅτι

Iustrum: Scriptisque Cæsareensis, & aliorum, qui pro Concilio scribebant, permultis Patrum, ac scripturę sententiis, probationibus, ac demonstrationibus instructis obiter perlectis, extemplò cùm contra Ioannē Cæsareensem scripsit; tum, (quod Aquila, in veteri Scriptura fecit; praua interpretatione compluribus sententiis, & testimoniis de Christo peruersis, & mutilatis; ac quæ in contrarium studio ferretur (vero scilicet ac religioni Christianæ consentaneo) falsa editione Iudæis ad perniciem relicta) idem ipse quoque Seuerus patrauit. Cùm enim vidisset, pro Concilio propugnantes, è Patrum, & sanctorum Doctorum testimoniis probè constabiliuisse, Christum in vna persona duabus naturis præditum, oblitus hîc passim Seuerus; *Patrem iudicium omne Christo (filio) dedisse*, ceu Antichristus, erepta ei iudicij dignitate; & quasi arbiter quidam, iudexque sanctorum Patrum, & Doctorum considens, adductis eorum testimoniis, quotquot deprauare potuit, ea verè Patrum esse confessus est: quorum autem libri, aut ob regionum distantiam, aut quod alterius linguæ forent, rarius extarent, ea circumscripsit, falsa censens, & adulterina. Rursum quæ testimonia offendit in Gregorio, Ioanne, Cyrillo, Athanasio, Ambrosio, Proclo, cæterisq; præclaris Doctoribus, quorum libris, & sententiis refragari nequiret; posteaquam toti orbi constat, duas ipsas in Christo naturas affirmare, super iis censuram, & derisionem edidit præclarus iste legislator, & Iudex Seuerus: nunc quidem Nephalio scribens, ignoscere se sanctis Patribus, in duarum naturarū (in Christo) asseueratione: qui, ait, cum Arianis depugnantes, duarum naturarum vocibus vti sunt coacti. Nunc verò impudentius sanctorum Patrum vsus testimoniis, nec venia dignatur: sed quantum in se est, dogmatibus eorum diuinitus inspiratorum, abolitionem molitur & interitum, hisce aridis verbis, ita edens, producensque, vt fusius postea dicemus, ostensuri, ipsum dicere, contemnenda, & reiicienda esse sanctorum Patrum de duabus naturis in Christo vnitis testimonia, quantumuis aliòqui Cyrilli sint: temporum etiā interuallo, pro vicissitudine hæresum, Christiana quoque

ὅτι πρὸς τοῦ καιροὺς, καὶ τὰς ἐναλλαγὰς τῶν αἱρέσεων δεῖ φησὶ παραλλάττειν, καὶ μεταφέρειν τὰ τοῦ χριστοῦ δόγματα. ὅθεν ἀρειανῶν φησὶ λεγόντων μίαν φύσιν ἐν χριστῷ, καλῶς ἐποίησαν οἱ πατέρες εἰπόντες δύο φύσεις, καὶ συγγνώμην αὐτοῖς δίδωμι. νεστορίου δὲ λέγοντος δύο φύσεις ἐν χριστῷ, ἀπόβλητοι λοιπὸν εἰσὶν αἱ τῶν πατέρων φωναὶ, κἂν αὐτοῦ μακαρίου κυρίλλου εἰσί. μία γὰρ λοιπὸν φύσις ἐστὶν ὁ χριστὸς, καὶ ἐστέρηται τῆς ἑτέρας. τάχα γὰρ νεστόριον ἰδοῦσα ἡ παναγία σὰρξ τοῦ χριστοῦ ἡ καθ' ὑπόστασιν ἡνωμένη αὐτῷ ἐχωρίσθη καὶ ἔφυγεν ἐκ τοῦ θεοῦ λόγου, καὶ ἀνούσιος, καὶ ἀνυπόστατος, καὶ ἀφανὴς γέγονε, καὶ γυμνὸν λοιπὸν τὸν θεὸν λόγον κατέλιπε, κατὰ τὴν τοῦ μαίνεντος διδασκαλίαν. ἐκεῖνος γὰρ τοῦτό φησιν ὅτι ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, τῆς σαρκὸς, ἡνίκα ἀνελαμβάνετο εἰς οὐρανούς.

Ταῦτα νομοθετήσας ὁ σεβῆρος, ὡς οἷα τῷ ἀκύλᾳ καὶ μαθητεύσας καὶ τῷ ἰδίῳ ἔθνει τῶν ἀλεξανδρέων, ὡς τὴν λεγομένην παρ' ἑβραίοις δευτέρωσιν, τὴν περιέχουσαν τῆς ὀρθῆς τῶν ἑβδομήκοντα ἑρμηνευτῶν τὴν ἀναίρεσιν, καὶ τοῦ θείου νόμου κατάλυσιν· καθεσθεὶς οὕτω ἐκτίθεται αὐτοῖς βίβλον τὴν λεγομένην φιλαληθῆ, μᾶλλον δὲ φιλομυθῆ, ἐν ᾗ ὡς οἷα κριτὴν ζώντων καὶ νεκρῶν ἑαυτὸν χειροτονήσας, πίνακα χρήσεων, καὶ πατέρων συνέταξεν, οὓς μὲν θέλει δεξάμενος, οὓς δὲ πάλιν ἐκέλευεν ἐξωσάμενος. ἣν ἵνα βίβλον οὕτω δὴ κατέχουσι κατά τε αἴγυπτον καὶ συρίαν οἵτε ἰακώβου, καὶ σεβήρου, καὶ θεοδοσίου, καὶ τιμοθέου, καὶ διοσκόρου μαθηταὶ, καὶ τῆς ἐκκλησίας ἐχθροὶ, ὑπὲρ αὐτὸ τὸ κατὰ ἰωάννην θεῖον εὐαγγέλιον. καὶ καθάπερ, ὡς πρὸ βραχέως εἴπον, οἱ ἰουδαῖοι παῖδες πάσας τὰς μωσαϊκὰς καὶ προφητικὰς ἐκδόσεις ἀφέντες, τῇ ὑπὸ τοῦ ἀκύλα παραδόσει, καὶ πλάνῃ στοιχοῦσιν, οὕτω δὴ καὶ οἱ σεβήρου, καὶ ἰακώβου μαθηταὶ πάσας τὰς εὐαγγελικὰς, καὶ γραφικὰς, καὶ πατρικὰς χρήσεις αἱροῦνται μᾶλλον παραγράψασθαι καὶ διακρούσασθαι ἢ τὴν σεβήρου ἐν τῇ τοιαύτῃ βίβλῳ νομοθεσίαν. κἂν γὰρ αὐτοῖς πέτρον ἢ παῦλον παραγάγοις, κἂν εὐστάθιον καὶ γρηγόριον, κἂν βασίλειον, κἂν ἰωάννην, κἂν ἀθανάσιον, καὶ αὐτὸν τὸν * μακάριον κύριλλον, κἂν ἄλλου οἱουδήποτε πατρὸς χρῆσιν, ἢ σύνταγμα, οὐ πρότερον δέχονται τοῦτο, ἄχρις ἂν ἐν τῇ νομοθεσίᾳ σεβήρου ἐπισκέψωσι

* ἀοίδιμον.

dogmata conuerti, & velut transferri oportere. Vnde Arianis, inquit, vnam in Christo naturam dicentibus; rectè fecêre Patres, cùm duas sunt professi naturas, atque equidem iis veniam *tribuo*. At Nestorio duas asserente; contemnendæ de *cætero* Patrum sunt voces, & sententiæ, etiamsi ipsius beati sint *Cyrilli*. Vna enim natura deinceps est Christus, & alterâ *est priuatus*. Etenim Nestorio fortè viso, sanctissima Christi caro in persona Christo vnita, abscesserit, opinor, atq; è Deo Verbo fugerit, substantiæ, & hypostasis expers, inaspectabilisque facta est (scilicet) & de cætero Deum verbum nudum reliquit, & quidem iuxta Manentis doctrinam. Ille enim, inquit; in sole *posuit* tabernaculum suum, carnis scilicet suæ, quando *in cœlos* fuit assumptus.

Atque eiusmodi leges tulit Seuerus, quales etiam ab Aquila latæ, perscriptæque sunt, docuitque suum Alexandrinum populum, velut aliquam, quæ apud Hebræos dicitur, δευτέρωσιν, quæ L X X. interpretum legitimæ interpretationis abolitionem, diuinæque legis dissolutionem complectitur: *sedens itaque librum iis edit* proponitque, quem veri *amantê, (potius verò fabularum amantem)* nominat: In hoc, se *tanquam viuorum*, & mortuorũ creato iudice, cum testimoniorum, tum Patrum ipsorum composuit tabulam; hos quidem, pro lubito, approbans, ac rursum, quos iuberet, exigẽs. Quem librum Ecclesiæ hostes, Iacobi, Seueri, Theodosij, Timothei, Dioscorique discipuli per Syriam, & Aegyptum, præ diuino secundum Ioannem Euangelio retinẽt. Ac quemadmodum, vt paulò antè dixi, Iudæi posteri, omnibus Mosaicis, & Propheticis scriptis missis, falsa ab Aquila traditione nituntur: ad eundem modum & Seueri, & Iacobi discipuli, cunctas & Euangelij, & Scripturæ (veteris Testamenti) atq; Patrum sententias inducere, & repellere malunt, quàm Seueri in eo libro censuram, & legem. Etenim, quantumuis Petrum, & Paulum iis proferas, quantumuis Eustathium, ac Gregorium, quantumuis Basilium, Ioannem, Athanasium, ipsumq; celebrem Cyrillum, quantumuis alterius cuiusuis Patris sententiam, & testimonium, aut opus; non antè admittunt istud, quam

ψῶσι (λέγω δὴ ἐν τῷ ὑπ' αὐτοῦ συνταχθέντι βιβλίῳ τῷ λεγομένῳ Φιλαληθεῖ) καὶ πρὸς τὴν αὐτοῦ κρίσιν καὶ ἐπιτροπὴν καὶ ἀπόφασιν ἢ δέχονται, ἢ ἀπωθοῦνται τὸν διδάσκαλον, καὶ τὴν τούτου φωνὴν διδάσκαλον τῶν διδασκάλων, καὶ κριτὴν τῶν θαυματουργῶν, καὶ ἐπαστὴν, καὶ δοκιμαστὴν τῶν θεοφόρων ἀνδρῶν αὐτὸν καταστήσαντες.

Ταῦτα ἡμεῖς οὐκ ἐξ ἀκοῆς γράφομεν, ἀλλ' ἐκ πείρας πολλῆς τυγχάνοντες, καὶ ἐν Συρίᾳ, καὶ Αἰγύπτῳ, καὶ ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν ἑτέροις τόποις. εἰδότες οὖν τὴν μίαν φύσιν ἐν Χριστῷ δογματίζοντας, πᾶσαν γραφικὴν, καὶ πατρικὴν λέξιν, κατὰ τὴν νομοθεσίαν Σευήρου ἀνακρίνοντας, καὶ ἑρμηνεύοντας. ἐνομοθέτησε γὰρ αὐτοῖς ἐν τῷ αὐτοῦ βιβλίῳ τῷ καλουμένῳ, Φιλαληθεῖ. ὅτιπερ σ. τριάκοντα χρήσεις τῶν ἁγίων Πατέρων διέτριψεν ἡ πίστις χαλκηδόνος ἐν τῇ ἀπολογίᾳ, ἣ ἐποιήσατο ὑπὲρ αὐτῆς Ἰωάννης ὁ καισαρεύς. ὅπερ καὶ προήγαγεν ἡμῖν ἐν Βαβυλῶνι Ἀθανάσιος ὁ νοτάριος. ἐπεὶ οὖν πρὸς τὰς χρήσεις τῶν πατέρων ὡσεὶ ἀσπὶς κωφῆς, καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἐκώφευσαν τὸ οὖς τῆς ἑαυτῶν καρδίας, μηκέτι ἀκούοντες φωνῆς ἐπαδόντων, πάντως φαρμακεύεται φαρμακευομένη παρὰ σοφοῦ ἡ τούτων παρεμβολή. καὶ παραταττόμενοι αὐτοῖς τῇ συνεργίᾳ, τοῦ ὑπ' αὐτῶν ἀθετουμένου Χριστοῦ, δι' ἑτέρου τρόπου, οὗ οὐκ ἐπίστανται, καὶ ἐπιπεσούμεθα τοῖς ἀλλοφύλοις τῆς ἀληθείας, δι' ἄλλης ὁδοῦ εὐσεβείας, ἧς οὐκ ἐβάδισαν, οὐδὲ ἔγνωσαν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐβλασφήμησαν, μᾶλλον δὲ ἔγνωσαν, καὶ ἑκουσίως εἰς αὐτὸν ἠσέβησαν.

Ἰστέον δὲ πρὸ πάντων, καὶ μὴ ἀγνοητέον, ὅτιπερ ἅπαντες οἱ μίαν οὐσίαν δογματίζοντες εἶναι τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, ἐκ τοῦ Ἀριστοτέλους, καὶ τῶν ἄλλων ἑλληνικῶν διδαχῶν παρέλαβον, λέγειν, τὴν φύσιν πρόσωπον εἶναι, καὶ τὸ πρόσωπον ὁμοίως φύσιν. μερικὰς γὰρ οὐσίας λέγει ὁ Ἀριστοτέλης εἶναι τὰ πρόσωπα. λοιπὸν τούτῳ τῷ ματαίῳ κανόνι στοιχῶν ὁ Ἄρειος, εἶπεν τρεῖς οὐσίας ἐπὶ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. τούτῳ τῷ ὀνό-

μα

quam Seueri censuram inspexerint; hoc est, editum ab eo librum, quem veri amantem inscripsit, pro eiusq; iudicio, imperio, & censura doctorem, atque eius doctrinam aut approbant, aut repellunt: * doctorem doctorum, & iudicem illorum constituentes, qui miracula patrarunt; examinatoremque & approbatorem virorum; qui Deo pleni erant.

* *Hactenus versio à Scheto missa.*

Hæc ex aliorum relatione non scribimus: sed ex propria experientia, eaq; non modica, qua & in Syria, & in Aegypto, & Alexandriæ hæc talia edocti sumus: exploratumq; habemus, eos, qui vnam naturã in Christo adstruunt, omnia dicta scripturæ & Patrum ad Seueri normam & præscriptionem exigere, & interpretari. In prædicto enim libro, qui *Amator veri*, inscribitur; affirmauit, & quasi lege lata asseuerauit, * fidẽ Chalcedonensem triginta supra ducentas sentẽtias sanctorum Patrum peruertisse; in Apologia; quã pro fide & Synodo Chalcedonensi Ioannes Cæsariensis composuerat, quod & in Babylone obiecit nobis Athanasius Notarius. Quoniam igitur isti ad dicta Patrum instar aspidis surdæ obturantis aures suas, occluserunt aures cordis sui, ne incantantium vocem audiens factio istorum à sapiente penitus incantetur; ideo, ope Christi, quem ipsi aspernantur, alio modo, quem incompertum habent, oppugnandi sunt; hostesq; veritatis inuadendi alia via pietatis; quã nec pedibus triuerunt, nec animo cognouerunt. Si enim cognouissent, Deum gloriæ nunquam blasphemassent: imo, vt rectius loquar, cognouerunt; deditaque opera impij in eum exstiterunt.

* *hoc est, eos, qui fidẽ Chalcedonensem sequuntur.*

Sciendum autem, omnes illos, qui vnã aiunt esse in Christo diuinitatis & humanitatis naturam; ex * Aristotele, & ex aliis Græcanicis disciplinis hausisse hoc, vt assererẽt, naturam esse personam, & similiter personam, naturam. Nam Aristoteles dicit personas esse particulares, seu singulares * naturas, seu essentias. Hanc inanem doctrinam Arius secutus, statuit tres οὐσίας, naturas, seu essentias in Patre & Filio, & Spiritu sancto. Eãdem peruersam regulam amplexus Seuerus docuit, ex duabus particularibus naturis, seu essentiis & hypostasibus dimidiatis & imperfectis vnam Christi naturam confectam

* *Ex Aristotele, sed male intellecto.*

* *Aristoteles dicit personam esse primã substãtiam. Quod verissimum, si rectè intelligatur.*

μῷ ὅρῳ καὶ Σευῆρος στοιχήσας, ἐκ δύο μερικῶν οὐσιῶν, καὶ ὑποστάσεων ἡμιτόμων, εἶπεν ἀποτελεῖσθαι μίαν φύσιν τὸν χριστόν. ὡσαύτως καὶ Εὐτυχής, καὶ Διόσκορος, Τιμόθεός τε, καὶ Γαϊανὸς, καὶ Ἰουλιανὸς, Ἰάκωβος, καὶ Πέτρος ὁ γναφεὺς, καὶ Βαρσουνούφιος, καὶ Θεοδόσιος τὸ δεκακέρατον τῆς πλάνης, οὐκ ἐκ γραφικῶν, καὶ εὐαγγελικῶν, ἀλλ' ἐκ τῶν Ἀριστοτελικῶν κατηγοριῶν παρέλαβον τὸ, λέγειν, τὴν φύσιν πρόσωπον, καὶ οὐκ ἔστι φύσις ἀπρόσωπος.

Σχόλιον. Καὶ Σαβέλλιος ὁμοίως τὴν φύσιν λέγων ὑπόστασιν, μίαν ὑπόστασιν εἶπεν τῆς ἁγίας τριάδος.

Πάντα δὲ ταῦτα ἠγωνίσαντο, καθυβρίσαι τὴν σύνοδον χαλκηδόνος βουλόμενοι· ὡς ὁρίσασαν δύο φύσεις ἀδιαιρέτους τὸν ἕνα, καὶ μόνον χριστὸν τὸν θεὸν, ὅπως ὡς νομίζουσιν, ἐλέγξωσιν αὐτὴν δύο πρόσωπα λέγουσαν ἐν χριστῷ, ὅπως τετραπρόσωπος εὑρεθῇ ἡ ἁγία τριάς. δύο μὲν ἔχουσα πρόσωπα πατρὸς, καὶ ἁγίου πνεύματος· καὶ ἕτερα δύο τὰ τοῦ χριστοῦ. ταῦτα μὲν οἱ αἱρετικοί. Ἀλλὰ μὴν καθαιρέσεως, καὶ ἐξορισμοῦ γινομένου τῆς ἑλληνικῆς σοφίας ὑπὸ χριστοῦ, τοῦ ἐν Παύλῳ λαλοῦντος, μηδαμῶς πιστοὶ καταδεξάμεθα κατὰ τὰ ἑλληνικὰ, καὶ Ἀριστοτελικὰ διδάγματα, τὰ τοῦ χριστοῦ κυρύττειν δόγματα. μηδὲ μὴν ὡς Παῦλος ὁ Σαμοσατεὺς, ἀλλ' ὡς Παῦλος ὁ Ταρσεὺς τὸν χριστὸν καταγγέλλομεν. οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ αὐτοῦ χριστοῦ, τοῦ λέγοντος, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν. ἐπειδὴ ἐμαράνθη ἡ σοφία τοῦ αἰῶνος τούτου. καὶ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεόν. καὶ εὐδόκησε διὰ τῆς ἰδιωτείας τῶν μαθητῶν σῶσαι τοὺς εἰς αὐτὸν εὐαγγελικῶς πιστεύοντας. οὐκ ἐν πειθοῖς σοφίας λόγοις. ὅτι ἡ σοφία τοῦ κόσμου μωρία παρὰ τῷ θεῷ ἐστι, ἢ αὐτὴ, καὶ οἱ στοιχοῦντες αὐτῇ.

Οὐκοῦν ἡνίκα ἡμῖν τῆς ἀγέλης τοῦ προειρημένου δεκακεράτου προσπελάσεις, τοὺς περὶ χριστοῦ διαγυμνάζων λόγους, μὴ πρότερον αὐτοῦ τὴν οἵαν οὖν ἀπολογίαν ποιήσωμεν, ἄχρις ἂν διερωτήσωμεν, τὸ, τί νοεῖ, καὶ πῶς ἑρμηνεύει τὴν φύσιν; ἢ, τί ἐστι φύσις; καὶ τί ὑπάρχει ὑπόστασις; ἢ, τί ἐστιν οὐσία; ἢ τί ὁρίζει τὸ πρόσωπον; καὶ κατὰ ποῖον κανόνα νοεῖ τὸ γένος; Κἂν σοι τοὺς Ἀριστοτελικοὺς, καὶ Ὁμηρικοὺς ὅρους, ἢ

νόμους

& conſtitutam eſſe. Idem docuit Eutyches, Dioſcorus, Timotheus, Gaianus, Iulianus, Iacobus, Petrus Cnapheus, Barſanuphius & Theodoſius decem cornibus inſtructus decemuiratus erroris: neque ex Scripturis & Euangelio, ſed ex * Ariſtotelicis Categoriis hanc ſuam ſententiam hauſerunt, qua contendunt, naturam eſſe perſonam, nullamq; naturam ſine perſona eſſe.

* *Malè intellectu.*

Scholion. Eodem modo Sabellius naturam & hypoſtaſin vnum idemque eſſe affirmans; vnam hypoſtaſin in ſacroſancta Trinitate ſtatuit.

Porrò hæc omnia eò retulerunt; vt Synodum Chalcedonenſem probro afficerent, quaſi, quæ vnum ſolumque Chriſtum ex duabus naturis indiuiſis conſtare definiuit; hoc ipſo conuinci poſsit, duas perſonas in Chriſto conſtituiſſe; vt ſic ſacroſancta Trinitas quatuor perſonas comprehendat: duas quidem, Patris & Spiritus ſancti; & rurſum duas Filij. Hæc Hæretici. At expulsâ ſemel græcanica ſapientiâ à Chriſto per os Pauli loquente; nequaquam patimur nos fideles; vt Chriſti dogmata tradantur & explicentur ad * Ariſtotelis normam & diſciplinam. Neque annunciamus Chriſtum, vt Paulus Samoſatenſis, ſed vt Paulus Tarſenſis, *non in ſapientia verbi, vt non enacuetur crux Chriſti*, dicentis; *perdam ſapientiam ſapientum; quia ſtultam fecit* (Deus) *ſapientiam huius mundi*, placuitque Deo per *imperitiam & ſtultitiam* diſcipulorum ſaluos facere Euangelio credentes, non in *perſuaſibilibus ſapientiæ* verbis; quia ſapientia mundi, ſtultitia eſt apud Deum; vt & illi; qui eam amplectuntur.

* *Imperitè abuſi ſunt hæretici Acephali doctrina Ariſtotelis.*

1. Cor. 1.

Igitur quando quis ex ſupradicta decem cornuum factione ad nos acceſſerit; de Chriſto nobiſcum diſceptaturus; ne prius vllum verbum defenſionis gratia faciamus; quàm percontemur, quid intelligat nomine *naturæ*; quomodo naturam interpretetur; quid ſit natura; quid hypoſtaſis, quid eſſentia ſeu ſubſtantia; quomodo definiat perſonam; & qua notione genus accipiat. Et ſi tibi Ariſtotelicas & Homericas definitiones, & leges produxerit, affirmans, perſonam eſſe * naturam; multam ſalutem ei de cætero dicito; eumq; ad inferiora cum

* *Nunquã dixit Ariſtoteles perſonam eſſe naturã vel eſ-*

νόμους προενέγκῃ λέγων, πρόσωπον εἶναι τὴν φύσιν, ἀποστῆθι λοιπὸν ἀπ' αὐτοῦ. καὶ στῆσον αὐτὸν κάτω μετὰ τοῦ διαβόλου. μᾶλλον δὲ καὶ τοῦ διαβόλου κατώτερον. οὔτε γὰρ ὁ διάβολος τολμήσει προτιμῆσαι τὴν ἑλληνικὴν σοφίαν ὑπὲρ τὴν Μωσαϊκὴν, καὶ προφητικὴν, καὶ εὐαγγελικὴν, καὶ Ἀποστολικὴν παράδοσιν. οὐκοῦν ὅσοι τοῦ πνεύματος τοῦ ἁγίου ἐρασταὶ, μετὰ τῆς ἁγίας καθολικῆς ἐκκλησίας, κατὰ τὴν παράδοσιν τῆς παλαιᾶς, καὶ καινῆς διαθήκης πάντα τὰ τοῦ χριστοῦ κηρύξαμεν δόγματα, κατὰ Μωσέα, καὶ τοὺς προφήτας, καὶ τὸ εὐαγγέλιον ἑρμηνεύσωμεν τὴν οὐσίαν, τὸ γένος, τὴν φύσιν, τὴν ὑπόστασιν, τὸ πρόσωπον, ὅπου οὐδεὶς δύναται ἀντειπεῖν. πρῶτον μὲν, ὅτι κυρία, καὶ δέσποινα πάντων τῶν ἄλλων ἐκκλησιαστικῶν γραφῶν, καὶ πατέρων τυγχάνει. δεύτερον δὲ, ὅτι καὶ ἀνόθευτος. καὶ ἀναντίρρητος ὑπάρχει πᾶσα νομικὴ, καὶ Ἀποστολικὴ φωνή. τρίτον δὲ λοιπὸν, τούτου χάριν ἐκ παλαιᾶς, καὶ καινῆς διαθήκης ἀναγκαῖον ὑποδεῖξαι τὰ περὶ φύσεως, καὶ ὑποστάσεως, καὶ προσώπου, καὶ γένους, καὶ οὐσίας. ἐπειδὴ τὴν ἐκβολὴν, καὶ οἱονεὶ καθαίρεσιν τῶν ἁγίων Πατέρων Σευῆρος πεποίηται. καθὰ εὐθέως ἀποδείξομεν ἐξ ὧν πρὸς Νηφάλιον, καὶ ἑτέρους τινὰς οὕτως ἐπήγγελλε λέγων. εἰ δὲ καὶ προφέρουσιν οἱ δι' ἐναντίας, τοῦτ' ἔστιν, οἱ χαλκηδόνιοι, ὅτι καὶ ἡμεῖς προοίσομέν τινας φωνὰς πατέρων, ἐν αἷς προφανῶς λέγουσι δύο φύσεις ἐπὶ χριστοῦ. Ἐγὼ οὕτως πράως, καὶ ἀφιλονείκως ἀπολογήσομαι. δῶμεν κατὰ συγχώρησιν τὸ, λέγειν ἐπὶ χριστοῦ δύο φύσεις, ὑπὸ μηδενὸς τῶν πάλαι πατέρων ἀποδοκιμασθέν. ἀλλὰ πάντας τοῦτ' ἔστι τοὺς ἁγίους πατέρας ὀρθῶς, καὶ ἀδιαβλήτως χρήσασθαι τῇ τοιαύτῃ φωνῇ. τί οὖν φησι πρὸς τοῦτο, λέγω, ὁ Σευῆρος; πολλαὶ τῶν ἀδιαβλήτως λεγομένων λέξεων παλαιοῖς πατράσι μετὰ Νεστόριον, οὐκ ἀσφαλεῖς ἐνομίσθησαν.

Diabolo amandato; vel potius infra Diabolum ablegato: Neque enim ipse Diabolus ausit græcam sapientiam anteponere Mosaicæ, Propheticæ, Euangelicæ & Apostolicæ traditioni. Ergo quicunque Spiritus sancti amatores sumus; omnia quæ ad Christum pertinent dogmata; prædicemus & annunciemus cum sancta Catholica Ecclesia secundum traditionem veteris & noui Testamenti; Interpretemur secundum Moysen, Prophetas, & Euangelium, essentiam, genus, naturam, hypostasin, personam, ita vt nullus contradicere queat. primum quidem, quia domina & regina est omnium aliarum Ecclesiasticarum Scripturarum; & Patrum. Secundò quia voces legis & Prophetarum sunt germanæ & synceræ, & contradictione liberæ. Quocirca necesse est; vt ex veteri & nouo Testamento demonstrentur; quæ naturam, hypostasin, personam, genus & vsiam concernunt, quandoquidem Seuerus Patres vniuersos planè repudiat, vt statim planum faciemus ex illis; quæ ad Nephalium, & quosdam alios in hæc verba scripsit. *Si dixerint aduersarij, hoc est; Concilij Chalcedonensis propugnatores; nos itidem adseremus Patrum testimonia; quibus disertè & dilucidè duas in Christo naturas adstruunt; Ego hoc responsum* placidè *& absque vlla contentione illis dabo. Denique à nullo ex antiquorum Patrum numero reiectum esse, hunc loquendi modum, quo duas in Christo naturas affirmamus; sed omnes sanctos Patres rectè, & absque vllo crimine hoc loquendi modo vsos esse*; Quid igitur ad hoc respondet Seuerus? *Multæ loquendi formulæ veterum Patrum, olim absq; vlla vllius reprehensione vsurpatæ, post Nestorium non censentur amplius tutæ & securæ.*

Sententiam. Perperam hæretici isti vocabulo Aristotelico τῆς πρώτης οὐσίας abusi sunt.

ΚΕΦΑΛΑΙΟΝ ἝΒΔΟΜΟΝ.

Ἀπόδειξις, ὅτι ἀποβάλλεται ὁ δυσσεβὴς Σευῆρος τοὺς ἁγίους Πατέρας.

ΚΑὶ μετὰ βραχέα πάλιν ὁ αὐτός φησι· καὶ μή μοι πάλιν εἴπῃς, ὡς τῇ λέξει τῶν δύο φύσεων τινὲς τῶν πατέρων ἐχρήσαντο. Ἐχρήσαντο γὰρ καθ' ἡμᾶς, εἰ καὶ τοῦτο τῷ λόγῳ συγχωρήσομεν. Ἀλλὰ κατὰ τὸν χρόνον τοῦ μακαρίου Κυρίλλου, τῆς νόσου, τῆς Νεστορίου κενοφωνίας, τὰς ἐκκλησίας ἐπινεμουμένης, ἐπὶ πλέον ἡ λέξις ἀπεδοκιμάσθη. καὶ γὰρ πρὸς τὰς νόσους τὰ φάρμακα. οὐ δύνανται δὲ αἱ τῶν ἄλλων πατέρων φωναί, εἰ καὶ εὑρεθεῖεν, ὡς ἐν ὑποθέσει δὲ πάλιν λέγω, κατὰ τοῦ ἁγίου Κυρίλλου προφέρεσθαι πρὸς τὴν ἐνσκήψασαν νόσον τὴν θεραπείαν ἐπινοήσαντος. τὸ πλέον λέγω, κἂν αὐτοῦ Κυρίλλου εἶεν αἱ φωναὶ ὑπ' αὐτοῦ λεχθεῖσαι. ταῦτα Σευῆρος ἐξέθετο.

Ἐμοὶ δὲ τίς ἐδίδου κροτῆσαι τὸν ῥήτορα τοῦτον, ἐφ' οἷς τὴν ἐκκλησίαν ἐπὶ τούτοις, καὶ τὴν σύνοδον Χαλκηδόνος ἄκων εὐηργέτησεν, ὥσπερ οἱ Χριστὸν ξύλῳ προσηλώσαντες. αὐτὸ γὰρ τὸ ὁμολογεῖν αὐτὸν εἰρηκότας τοὺς ἁγίους πατέρας ἀδιαβλήτως ἐν Χριστῷ δύο φύσεις μυρίων ταλάντων οὐκ ὠνούμεθα, ἢ εὑρίσκομεν τοιοῦτον συνήγορον κατὰ τῶν μίαν φύσιν ἐν Χριστῷ ὁμολογούντων. δεύτερον ἕτερον ἡμῖν συνεστήσατο κέρδος. ὅτι καὶ αὐτὸν τὸν μακάριον Κύριλλον μαρτυρεῖ τὰς δύο ἐν Χριστῷ δογματίσαι φύσεις. εἰ γὰρ μὴ τοῦτο ἠπίστατο, οὐκ ἂν ἔλεγεν, ὅτι κἂν αὐτοῦ Κυρίλλου, εἶεν αἱ φωναὶ ὑπ' αὐτοῦ λεχθεῖσαι.

Τρίτον ἡμῖν κέρδος προξενεῖ, εἰ ὁ πολὺς οὗτος ῥήτωρ φάσκων· ὅτι πρὸς τὰς νόσους, καὶ πρὸς τὰς ἀνακυπτούσας αἱρέσεις δεῖ καὶ τὰ φάρμακα, καὶ τὰ δόγματα παρασκευάζειν, καὶ μεταλλάττεσθαι. καὶ γὰρ οἱ μακάριοι πατέρες, φησὶ πρὸς τὴν Ἀρείου, παραταττόμενοι αἵρεσιν μίαν φύσιν λέγουσαν ἐν Χριστῷ, ἀνατρέποντες ταύτην τὰς δύο σαφῶς ἐπ' αὐτοῦ ὡμολόγησαν φύσεις. οὕτως, ὡς γλυκεῖα τῷ λάρυγγί

CAPVT SEPTIMVM.

Demonſtratur ſanctos Patres ab impio Seuero repudiatos eſſe.

PAVLO pòſt idem Seuerus dicit. *Ne mihi iterum dixeris; quoſdam ex antiquis Patribus vocabulo duarum naturarum vſos eſſe; Eo enim vſi ſunt noſtro ſenſu; ſi faciamus vſos eſſe; cæterùm tempore S. Cyrilli cum Neſtoriana peſtis & nouitas Eccleſiam depaſceretur; vocabulum hoc, vt plurimum, reiectum eſt & exploſum. Nam ad morbos medicamenta accommodanda ſunt. Non poſſunt autem aliorum Patrum ſententiæ, dato per hypotheſin quod reperirentur, proferri contra S. Cyrillum, qui ingruenti morbo conueniens medicamentum excogitauit. Dico, vt plurimum; Etiamſi voces illæ ſint ipſius Cyrilli.* Hæc Seuerus.

C. Aug. ἐχρήσαντο γὰρ καθ' ὑμᾶς. *Rectius Schot. Schedæ*, καθ' ἡμᾶς.

Cæterùm qua nam ratione Rhetori huic gratias referam, quoque eum plauſu afficiam, ob beneficia, quæ in Eccleſiam inque Synodum Chalcedonenſem ignarus contulit; ſicut & illi, qui Chriſtum cruci ſuffixerunt (mundo ingentia commoda peperere, tametſi inſcientes.) Nam quod fatetur, ſanctos Patres abſque vlla reprehenſione duas in Chriſto naturas dixiſſe; mille vtique talentis non conduceremus eiuſmodi patronum aduerſus illos; qui vnam in Chriſto naturam ponunt. Secundò, id itidem lucri reportamus; quod fatetur, ipſum quoque S. Cyrillum duas naturas in Chriſto docuiſſe. Si enim hoc neſciuiſſet; vtique non dixiſſet; *Etiamſi voces illæ ſint ipſius Cyrilli.*

Tertium emolumentum; nobis ab eloquentiſsimo iſto Rhetore allatum, hoc eſt, quòd confitetur, ad enaſcẽtes morbos & hæreſes medicamenta & dogmata præparanda & commutanda eſſe: *Nam ſancti Patres*, inquit Seuerus; *aduerſus Arij hæreſin depugnantes, vnam dicunt in Chriſto naturam. qua euerſa; duas naturas in Chriſto disertè confeſsi ſunt.* Verè, quàm dulcia faucibus meis eloquia iſta, ſuper mel ori meo. Animaduerto enim peccatorem

catorem

τὰ λόγια ὑπὲρ μέλι τῷ στόματί μου. ὁρῶ γάρ, ὅτι ἐν τοῖς λόγοις τῶν χειλέων αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. εἰ γὰρ δι᾽ αὐτὴν νόσον Ἀρείου τὴν κηρύττουσαν, μίαν φύσιν ἐν Χριστῷ τῷ θεῷ ἡμῶν· οἱ ἅγιοι πατέρες ἀνατρέποντες ὡς δυσσεβὲς τὸ τοιοῦτον δόγμα δύο ἐκήρυξαν φύσεις. πολλῷ πλέον νῦν δι᾽ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Πέτρον, καὶ Τιμόθεον, καὶ Θεοδόσιον, καὶ Ἰουλιανόν, καὶ Γαϊανόν, καὶ Βαρσανούφιον, καὶ Ἰάκωβον, καὶ τὸν σεμνόν, καὶ ἔξαρχον τῆς δεκακεράτου ταύτης ὀρχήστρας Σεβῆρον, καὶ τοὺς λοιποὺς αἱρεσιάρχας, τοὺς μίαν φύσιν ἀνθρωπικῶς ἐν Χριστῷ δογματίζοντας, εὔλογον, καὶ εὔκαιρον, καὶ ἁρμόδιον κηρύττειν ἀδιαιρέτως καθ᾽ ὑπόστασιν ἡνωμένας ἐν ἑνὶ προσώπῳ Χριστοῦ τὰς δύο φύσεις.

Γέλως δὲ ὄντως πλατὺς πῶς λέληθεν ὁ ῥήτωρ, δι᾽ ὧν εἴρηκεν ἀπαλλάξας παντὸς ἐγκλήματος τὴν Χαλκηδόνος σύνοδον. πρὸς γὰρ τὰς νόσους, καὶ τὰς ἀνακυπτούσας αἱρέσεις, δεῖ κατασκευάζειν καὶ τὰ φάρμακά φησιν. καὶ πῶς, ὦ σοφώτατε, οὐ ταύτην τὴν ψῆφον φυλάττεις, καὶ ἐπὶ τῶν ἐν Χαλκηδόνι συνεδρευσάντων, ἀλλὰ πικρὸς κατήγορος ὑπάρχεις; τῆς γὰρ νόσου τοῦ Εὐτυχοῦς ἀνακυψάσης, φαντασίαν λέγοντος τὴν σάρκωσιν τοῦ Χριστοῦ. καὶ οὐρανόθεν κατελθὸν τὸ σῶμα αὐτοῦ. καὶ ὡς ἐν σκιᾷ, καὶ δοκήσει ὀφθὲν ἐπὶ τῆς γῆς. καὶ ἑτερούσιον ἡμῖν, μᾶλλον δὲ καὶ ἀνούσιον ὑπάρχον. ποῖον φάρμακον ἦν ἀναιρετικὸν τῆς τοιαύτης νόσου; ἀλλ᾽ ἢ τὸ εἰπεῖν οὐσίαν καθυπόστασιν ἡνωμένην τῷ θεῷ λόγῳ τὴν παναγίαν αὐτοῦ ψυχήν, καὶ τὴν σάρκα, καὶ ὁμολογεῖν αὐτὸν τέλειον, ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, ἐν ἑκατέρᾳ φύσει.

Ἔκστασις δέ με περιέχει, πῶς οὕτως ἀπερυθριασμένῳ προσώπῳ, καὶ γλώττῃ ἀναισχύντῳ οὐκ ἔφριξεν ὅλον τὸ πλῆθος τῶν ἁγίων πατέρων καταδικάσαι ὁ Σεβῆρος; καὶ μηδ᾽ αὐτοῦ τοῦ ἁγίου Κυρίλλου φεισάμενος; ἀλλὰ φάσκων, ὅτι μετὰ τὸν καιρὸν Νεστορίου, οὐκ ἀσφαλεῖς ἐκρίθησαν, ἀλλ᾽ ἐσφαλμέναι πάντως αἱ τῶν ἀρχαίων πατέρων φωναί, αἱ λέγουσαι δύο φύσεις ἐπὶ Χριστοῦ; διὸ καὶ ἀπόφασιν, καὶ ψῆφον ὁ ὄντως δυσσεβὴς ἐκτίθεται, κατὰ

τῶν

catorem in verbis labiorum suorum comprehēsum esse; nam si sancti Patres propter sectam Arij, quæ vnam in Christo, Deo nostro, naturam statuebat, eâ tanquam pietatis plenâ, reiectâ & damnatâ duas naturas prędicarunt & tradiderunt; multò magis hoc tempore propter Eutychen, Dioscorum, Petrū, Timotheum, Theodosium, Iulianum, Gaianum, Barsanuphium, Iacobum, venerandumque Hexarchum Orchestræ istius decem cornibus instructæ Seuerum, & alios Hæresiarchas, qui vnam in Christo naturam communi hominum more constituerunt, rationi consentaneum, opportunum & conueniens est prædicare, palamque annunciare duas in Christo naturas indiuisim secundum hypostasin vnitas in vna persona.

Meritò autem miretur quis non sine risu istum Rhetorē, quomodo per incogitantiam ab omni repræhensione & accusatione Synodū Chalcedonensem liberauerit. *Oportet enim morbis & hæresibus emergentibus idonea medicamenta præparare*; vt ait. Et quo nam pacto; Sapientissime vir, eadem æquitate non vteris, erga Concilij Chalcedonensis Patres; in quos magna verborum acerbitate inueheris? Cum enim Eutychis morbida secta exstitisset; traderetq; Christi incarnationem phantasma esse, corpusque eius de cœlo descendisse; & quasi in vmbra, solaque opinione visum; diuersæque à nobis, vel potius nullius substantiæ esse; quale aliud pharmacum profligandæ huic hæresi excogitandum, inque medium adferendum fuit; quam vt diceretur, sacrosanctam illius animam & carnem esse naturam secundum hypostasin diuino Verbo vnitam; eumque perfectum esse & in diuinitate, perfectumque in humanitate, in qualibet nimirum natura.

Ingens verò me admiratio capit, quomodo Seuerus iste, perfricta facie, & impudente lingua non horruerit vniuersum sanctorum Patrum cœtum condemnare, ita vt neque ipsi sancto Cyrillo parceret; sed diceret; *Post tempora Nestorij, non amplius tutas, sed periculi plenas censeri veterum Patrum voces*, quæ duas in Christo naturas affirmarent. Quocirca aduersus veteres Patres impius iste decretum quasi sancit; sententiamque pro-

O nunciat.

τῶν ἀρχαίων πατέρων φάσκων, ἀργὰς, καὶ ἐσφαλμένας εἶναι τὰς τούτων διδαχάς. κἂν αὐτοῦ Κυρίλλου εἰσὶν αἱ τοιαῦται φωναί. Ὁ μὲν οὖν Χριστὸς διὰ Παύλου φησὶν, ὅτι τέθεικεν ἐν τῇ ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους. Ὁ δὲ Ἀντίχριστος καθαιρεῖ, καὶ ἐκβάλλει, οὓς ὁ θεὸς ἔθετο ἐν τῇ ἐκκλησίᾳ πατέρας, καὶ ποιμένας, ὥσπερ τις διδάσκαλος τῶν διδασκάλων ὢν ὁ ῥήτωρ, Σευῆρος λέγων. ὅτι οὐκέτι ἀσφαλεῖς εἰσιν αἱ τῶν ἁγίων πατέρων φωναί.

Λοιπὸν σιγησάτω ὁ Ἀποστολικὸς Διονύσιος. παυσάσθω Εἰρηναῖος ὁ τῶν αἱρέσεων πέλυξ. μὴ λαλείτω Κλήμης τὸ τοῦ Χριστοῦ κλῆμα. ἠρνήσεν Αὐγουστῖνος, ὁ τῷ οἰκείῳ αἵματι τοῦ μαρτυρίου ἐγγεγράφως γράψας Χριστοῦ τὰς φύσεις. οὐδενὸς γὰρ ἐφείσατο οὗτος ὁ πολύσοφος τῶν διδασκάλων ἀντίδικος. οὐκ ᾐσχύνθη τὴν ἄθλησιν Εὐσταθίου. οὐκ ἠδέσθη τὸν θαυματοποιὸν Γρηγόριον, οὐκ ἔφριξε τοὺς Ἀθανασίου ἀγῶνας, οὐ Βασιλείου τὴν πολιτείαν διετράπη, ἣν καὶ δαίμονες ἔφριξαν. οὐ Γρηγορίους ἐτίμησεν, οὓς ᾐσχύνθησαν Ἕλληνες. οὐκ Ἐπιφανίῳ τιμὴν ἀπένειμεν, ἐξ οὗ ἐπτοήθησαν πνεύματα. οὐκ Ἰωάννην ηὐλαβήθη, ὃν καὶ βασιλεῖς ἔφριξαν. οὐκ Ἀμφιλοχίου, οὐκ Ἀμβροσίου, οὐκ Ἐφραὶμ τοῦ πανάρετου. οὐ Πρόκλου, οὐκ αὐτοῦ Κυρίλλου τῆς σφραγῖδος τῶν πατέρων ἐφείσατο. οὐδ' ἄλλου τινὸς πατρὸς, ὧν ἐμνήσθημεν, καὶ ὧν οὐκ ἐμνήσθημεν. Ἀλλὰ τὴν πάντων ἐκβολὴν ἐποιήσατο φάσκων, ὅτι ἕως μὲν τοῦ καιροῦ Νεστορίου ἐν δύο φύσεσι ὁ Χριστὸς ἐγνωρίζετο, κατὰ τὰς τῶν ἁγίων πατέρων φωνάς. μετὰ δὲ Νεστόριον, μία φύσις γέγονεν ὁ Χριστός. καὶ βλάσφημοί εἰσιν αἱ τῶν ἀρχαίων πατέρων φωναὶ αἱ τὸ περὶ δύο φύσεις εἰποῦσαι Χριστόν. σεληνιακῇ τάξει, καὶ ψήφῳ ὁ σεληνιαζόμενος Σευῆρος ὑποβάλλων τὸν Χριστὸν, ποτὲ μὲν αὐτὸν λειψοφωτοῦντα, ποτὲ δὲ πάλιν πληροσέληνον ὄντα φανταζόμενος, καὶ νῦν μὲν διφυῆ, νῦν δὲ μονοφυῆ γινόμενον, καὶ ἀλλοιούμενον κατὰ τὴν τῶν λαγωῶν τάξιν, ἵνα τι καὶ βλάσφημον εἴπω, ἢ κατὰ τὴν τῶν ἐγκυμονουσῶν γυναικῶν, νῦν μὲν δύο

ψυχὰς

nunciat, doctrinam illorum vanã & periculosam esse; quantumuis licet *eiusmodi voces ipsius sint Cyrilli.* At Christus per Paulum ait; se posuisse in Ecclesia primùm quidem Apostolos, secundò, *Prophetas*; tertio, Doctores. Antichristus autem iste exterminat, deque sede deturbat, quos Deus Ecclesiæ dedit, *Patres* & Pastores; audetque futilis iste Rhetor, tanquam Doctor Doctorum, pronunciare; sanctorum Patrum voces & sententias non esse securas, & periculi expertes. *Ephes. 4*

Sileat in posterum Apostolicus Dionysius. Quiescat hæreticorum omnium securis Irenæus. Nihil loquatur Clemẽs, * palmes Christi. * Facessat iam Augustinus qui suo sanguine in scriptis duas in Christo naturas consignauit. Nulli enim sapientissimus iste Doctorum aduersarius pepercit. Non reueritus est vultum Eustathij. Gregorium miraculorum effectorem floccifecit. Certamina Athanasij susque deq; habuit. Illam Basilij viuendi rationem, quæ & Dæmonibus horrori est; in postremis duxit. Nullum honorem Gregoriis impertiit, quos ipsi Græci à fide nostra alieni suspexerunt ac coluerunt. Epiphanium contempsit, qui spiritus malignos in stuporem rapuit & terrefecit. Neque Ioanni reuerentiam detulit, cuius vocem Imperatores quoq; cohorruerunt; non Amphilochium moratus est; non Ambrosium, non Ephræmum omni virtutum genere excultissimum, non Proclum; nec ab ipso Cyrillo omnium Patrum signaculo sibi temperauit, nec ab aliis, quorum nomina vel expressi, vel subticui linguam abstinuit; sed omnes pariter repudiauit reiecitque quando asseruit: *Vsq; ad Nestorium duas in Christo naturas à sanctis Patribus prædicatas esse; Post Nestorium verò Christum in vnam naturam conflatum fuisse.* Et antiquorum Patrum dicta, quæ antea duas in Christo naturas affirmarunt; iam blasphemiis annumerari debere. Quo fit, vt Lunaticus Seuerus Lunæ vicissitudini, & variationi Christum subiiciat, iam luce destitutum; iam luce plenissimum sibi imaginans; modo duabus naturis, modò vnâ constantem, mutatum & transformatum instar leporum; (vt aliquid quasi blasphemiæ assimile eloquar) vel variatum more prægnantium mulierum; quæ nunc quidem duas ani-

** Alludit ad Græcum κλῆμα.*
** Facit S. Augustinum Martyrem.*

ψυχὰς ἐχούσας. νῦν δὲ πάλιν μετὰ τὸν τόκον ἐν μιᾷ ψυχῇ γνωριζομένων.

Εὔλογον δὲ οἶμαι καὶ ἐν τούτῳ τὸ κακοῦργον, καὶ ψευδὲς διελέγξαι τοῦ ἐξάρχου Σευήρου τῆς δεκακεράτου ὀρχήστρας, καὶ δεῖξαι, ὅτι περ πρὸ Νεστορίου γεγόνασιν οἱ τῆς διαιρέσεως ἀρχηγοὶ, καὶ αἱρεσιάρχαι, οἱ εἰς δύο μερίζοντες τὸν Χριστὸν, καὶ ψιλὸν ἄνθρωπον αὐτὸν λέγοντες. ὧν ῥίζα μὲν, καὶ κεφαλὴ τυγχάνει ὁ Ἀρτέμων. ὡς ἔξεστι γνῶναι ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐσεβίου τοῦ Παμφίλου πρὸ τῆς συνόδου τῆς ἁγίας τῆς ἐν Νικαίᾳ γενομένης. εἶτα μετὰ τὸν Ἀρτέμωνα, Παῦλος ὁ Σαμοσατεὺς, καὶ Διόδωρος δὲ, καὶ Θεόδωρος ὁ Ἀντιοχεὺς, γεγόνασι κατὰ τοὺς χρόνους τῶν Ἀρειανῶν, σύγχρονοι τῶν μακαρίων Γρηγορίων καὶ Ἀθανασίου, καὶ Βασιλείου τυγχάνοντες. καὶ τὸν Χριστὸν κακῶς εἰς δύο μερίζοντες. ἐξ ὧν τὰ μυρία δόγματα τῆς διαιρέσεως ἤντλησε Νεστόριος, καθὰ μαρτυρεῖ καὶ ὁ ἅγιος Πρόκλος, καὶ ὁ μακάριος Κύριλλος.

Σχόλιον. Ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Ἐφέσῳ τὸ πρότερον εὑρήσεις ὁ φιλομαθὴς, ὅτι παρέστησεν ἡ σύνοδος σύμφωνα τὰ δόγματα Νεστορίου, καὶ τὰ τοῦ Σαμωσατέως Παύλου, πρὸ ρξ. ἐτῶν γενομένου, καὶ διαιροῦντος τὸν Χριστὸν κακῶς.

Λεγέτω μοι λοιπὸν ὁ φιλόσοφος Σευῆρος πῶς οἱ μακάριοι πατέρες σύγχρονοι Θεοδώρου καὶ Διοδώρου ὄντες τῶν αἱρεσιαρχῶν, δύο φύσεις ἐπὶ Χριστοῦ τοῦ Θεοῦ εἰρήκασιν. καὶ γὰρ ὁ Σαμωσατεὺς, καὶ οἱ περὶ Θεόδωρον, καὶ Διόδωρον, δύο πρόσωπα, καὶ ὑποστάσεις, καὶ ψιλὸν ἄνθρωπον πρὸ Νεστορίου τὸν Χριστὸν ἐβλασφήμησαν. ὥστε οὐ πρὸς τοὺς καιροὺς σεληνιακῶς τὰ περὶ τοῦ Χριστοῦ οἱ πατέρες ἐδογμάτισαν. ἵνα μὴ δίκην χαμαιλέοντος διαφόρους ἰδέας, καὶ μορφὰς, καὶ σχήματα αὐτὸν ἀνταλλάττοντα φανταστικῶς εἴπωσιν· ἤκουσαν γὰρ αὐτοῦ λέγοντος· ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. Ἀλλ' ὁ σεμνὸς οὗτος δέκαρχος Σευῆρος ταῦτα οὐ συνῆκεν. διό φησιν. ὅτι κατὰ τὸν καιρὸν Νεστορίου αἱ τῶν ἁγίων ἀρχαίων πατέρων φωναὶ ἀπεδοκιμάσθησαν, καὶ ἀπεβλήθησαν. τίνος ταύτας ἀποδοκιμάσαντος, καὶ παραλογισαμένου, εἰπέ μοι ὦ σοφώτατε; οὔτε γάρ τι τοιοῦτον ὁ θεῖος Κύριλλος ἔφησεν. Ἀλλὰ καὶ πατέρας ἑαυτοῦ τούτους ἀναγορεύει, καὶ ταῖς αὐτῶν διδασκαλίαις ἀκολουθεῖν ὁμολογεῖ.

mas habent, nunc rursus post partum vna duntaxat prædi-tæ sunt.

Cæterùm non abs re existimo redarguere improbitatem & mentiendi libidinem Seueri orchestræ illius decem cornibus *instructæ* Hexarchi, & ostendere, etiam ante Nestorium *extitisse* diuisionis illius auctores & hæresiarchas; qui Christum in duos diuiderent; nudumq; hominem assererent; quorum origo & caput est Artemon, vt cognoscere licet ex Ecclesiastica historia Eusebij Pamphili; qui ante Nicænam Synodũ floruit. Post Artemonem, exorti sunt, temporibus Arianorum, Paulus Samosatensis, Diodorus, & Theodorus Antiochenus; vtriusq; Gregorij, & Athanasij, & Basilij æquales, qui Christum improbè in duos partiebantur; à quibus infinita de diuisione dogmata Nestorius hausit, vt testantur S. Proclus, & B. Cyrillus.

Scholion. In sacra Ephesina Synodo demonstratum est, dogmata Nestorij consonare cum doctrina Pauli Samosatensis, qui C L X. annis prius vixerat, quod studiosus lector in dicta Synodo reperiet.

Explicet igitur mihi Philosophus Seuerus; quomodo *sancti isti* Patres, Theodoro & Diodoro hæresiarchis tempore pares duas naturas in Christo affirmarint. Etenim Samosatẽsis, Theodorus & Diodorus duas personas, & duas hypostases ante Nestorium in Christo posuerunt; eumq; nudum hominem esse blasphemarunt. Itaque sancti Patres doctrinam de Christo non tradiderunt tempori seruientes, lunaticorum more; ne Christum Chamæleontis instar, in varias formas figurasq; phantasticè sese induentem introducerent; Audiuerant enim dicentem; *Videte, videte, quia ego sum, & non mutor.* Sed grauis iste decurio Seuerus hæc non intellexit: ideo ait: *Tempore Nestorij veterum Patrum loquendi modos reprobatos & reiectos esse;* At dic, ô sapientissime, quis reprobauit, quis reiecit? Non enim hoc fecit diuinus Cyrillus; qui istos vocare solet suos Patres, eorumq; doctrinam se amplecti profitetur, & in ipsa sacrosancta aduersus Nestorium Synodo testimonia Patrum protulit; quæ disertè duas naturas in Christo prædicabant; ex

γει. καὶ ἐν αὐτῇ τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ Νεστορίου χρήσεις πατέρων παρήγαγε. δύο φύσεις ἐν ἑνὶ προσώπῳ τὸν χριστὸν κηρυττούσας. ἐξ ὧν ἐστι καὶ ἡ τοῦ μεγάλου Ἀμβροσίου ἡ λέγουσα. ὅτι ἑκατέρα φύσις ἐστὶν ἐν χριστῷ. οὐ μόνον δὲ, ἀλλὰ μεγάλως ἐπαινεῖ Πρόκλον τὸν σύγχρονον αὐτοῦ. λέγει γὰρ ἐν τῇ ἑρμηνείᾳ τοῦ συμβόλου οὕτως. ταῦτα φρονεῖ μεθ' ἡμῶν ὁ φιλόχριστος τῶν ἁγίων πατέρων χορός. καὶ αὐτὸς δὲ ὁ νυνὶ τὸν τῆς ἁγίας Κωνσταντινουπολιτῶν κοσμήσας θρόνον, ὁσιώτατος, καὶ θεοσεβέστατος ἀδελφὸς συνεπίσκοπος Πρόκλος. ταῦτα μὲν ὁ θεῖος Κύριλλός φησιν.

Ἐγὼ δὲ πρὸς αὐτὸν ὑπὲρ Σευήρου βοήσας ἐρῶ. τί ποιεῖς ὦ Μακάριε Κύριλλε ἐπαινῶν Πρόκλον μετὰ τὸν καιρὸν Νεστορίου λέγοντα περὶ χριστοῦ. ὡς ἐκεῖνος ἀφθάρτως ἐγεννήθη. ὁ καὶ θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσελθών. οὗτος συζυγίαν τῶν φύσεων ὁ Θωμᾶς ἑωρακὼς ἐκέκραγε λέγων. ὁ κύριός μου, καὶ ὁ θεός μου. καὶ πάλιν ὁ αὐτός. εἰς τὸ παιδίον ἐγεννήθη ἡμῖν, οὕτω φησίν. καὶ τὰς φύσεις τῷ λόγῳ διέλε, καὶ τὴν ἕνωσιν τοῦ μυστηρίου θεολόγησον. τοῦ αὐτοῦ Πρόκλου. καὶ ἐστιν εἷς υἱός. οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑπόστασιν ἑνωσάσης. ταῦτα Πρόκλου κατὰ τὸν καιρὸν τοῦ Νεστορίου διδάσκοντος ὁ θεῖος Κύριλλος σύμφρονα, καὶ ἁγιώτατον αὐτὸν, καὶ ὅσιον εἶναι ὁμολογεῖ. καὶ ἐπαινεῖ δύο φύσεις προφανῶς ἐπὶ χριστοῦ λέγοντα.

* Sch. Schotti δεῖξαι.

Λοιπὸν παρακαλούμενος ὁ νομοθέτης Σευῆρος * δείξει ἡμῖν τίς ὁ ἀποδοκιμάσας τὰς τῶν ἁγίων πατέρων περὶ δύο φύσεων φωνὰς, καὶ τίς τῶν πατέρων ἐδίδαξεν αὐτὸν λέγειν. ὅτι πρὸς τὰς νόσους, καὶ τὰς ἀνακυπτούσας τῶν αἱρέσεων δεῖ παραλλάττειν καὶ τὰ τοῦ χριστοῦ δόγματα; καὶ νῦν μὲν * αὐτοφυῆ, νῦν δὲ μονοφυῆ. εἶτα ἄλλης αἱρέσεως ὀφθείσης, φθαρτὸν τὸν χριστὸν χρὴ λέγειν. εἶτα πάλιν ἄφθαρτον. εἶτα μονοπρόσωπον. εἶτα διπρόσωπον. εἶτα μονογλυφῆ. εἶτα διγλυφῆ. καὶ οὕτως, ἕως τῆς συντελείας τοῦ αἰῶνος. φέρειν, καὶ μεταφέρειν τὸν χριστὸν, ὥσπερ τινα σφαῖραν ὑπὸ παίδων σφαιριζομένην, καὶ ῥαπιζομένην.

* Sch. διφυῆ.

Καὶ οὐκ αἰσχύνεται ὁ ῥήτωρ οὗτος ταῦτα νομοθετῶν, ἀλλὰ καὶ λογισμοὺς, καὶ ὑποδείγματα ἐκτίθεται ἐν τοῖς ἑξῆς τοῦ αὐτοῦ λόγου φάσκων οὕτως. οὐδὲ γὰρ εἴ τις ἄριστος ἰατρός φησιν λοιμώδους ἀσθενείας καταλαβούσης

quibus etiam est testimonium sancti Ambrosij profitentis vtramque naturam in Christo esse. Neque hoc tantum; sed & magnis laudibus effert Cyrillus Proclum sibi contemporaneum; Nam in explicatione Symboli ita scribit. Hæc nobiscum sentit Christi amantissimus sanctorum Patrum chorus: Et ille ipse; qui nunc sanctæ Constantinopolitanæ Ecclesiæ thronum tenet sanctissimus & religiosissimus frater, & Coëpiscopus Proclus. Hæc diuinus Cyrillus.

Ego verò Seueri loco his eum compellabo vocibus. Quid agis, B. Cyrille, cum laudas post tempora Nestorij Proclum; qui de Christo scripsit, *eum sine corruptione natum; sine obstaculo per clausas ianuas ingressum, in quo naturarum coniunctionem Thomas contemplatus, exclamauit: Dominus meus, & Deus meus.* Rursus idem Ioan. 20. Proclus in illud: *Puer natus est nobis*: sic scribit. *Ratione naturas seiunge; vnionemq; mysterij Theologicè tracta.* Idem Proclus. *Vnus filius est, non naturis in duas hypostases diuisis; sed tremendâ illâ œconomiâ duas naturas in vnam hypostasin vniente.* Proclum ipsa Nestorij ætate hæc docentem, duasque naturas expresse in Christo statuentem, appellat diuinus Cyrillus eiusdem secum sententiæ; & *sanctissimi* appellatione cohonestat.

Aduocetur ergo iam legislator Seuerus, nobisque exponat, quis nam sit qui repudiet dicta sanctorũ Patrum de duabus naturis; & à quo Patrum edoctus, asserat; pro ægritudinum hæreseumq; exorientium conditione, mutanda itidem esse dogmata de Christo, ita vt modò dicendus sit ex duabus naturis compositus modò ex vna? Deinde alia hæresi nata, corruptibilis; postea rursus incorruptibilis; Deinde vnius personæ; postea duarum personarum. Iam vnigenitus: mox bis genitus: vt hoc pacto vsque ad consummationem sæculi Christus versetur & reuersetur instar pilę à pueris hinc inde agitatæ, percussæque & repercussæ.

Et non erubescit Rhetor iste cum hæc talia tradit, & quasi lege sancit; sed & insuper his tam absurdis confirmandis rationes, & exempla adducit his verbis; *Non enim, si quis præstans Medicus, graui lue ciuitatem quempiam occupante, potum aquæ vetaret; iure quis in medium progressus obiectare posset; atqui Patrum nostrorum*

λαβούσης πάλιν ἵνα, τὴν τοῦ ὕδατος πόσιν μὴ ἀπαγορεύσειεν δυνατῶς τις παρελθὼν εἰς μέσον λέγειν αὐτῷ. καὶ μὴν οἱ τῶν πατέρων ἡμῶν ἰατροὶ τὸ ὕδωρ πίνειν ἐπέτρεπον. Ὃ δὲ λέγει ἐνταῦθα ὁ Σευῆρος τοιοῦτόν ἐστιν· ὡς τῆς νόσου Νεστορίου καταλαβούσης. ἐγὼ ὁ ἄριστος, καὶ μόνος σοφὸς ἰατρὸς ἐπιτρέπω μηκέτι πίνειν ὑμᾶς τὸ ὕδωρ τῆς ζωῆς τῆς τῶν πατέρων διδασκαλίας τῆς λεγούσης, ἐν χριστῷ τὰς δύο φύσεις. κἂν οἱ τῶν ἁγίων πατέρων ἰατροὶ, ἐπιτρέπωσιν ἡμῖν τῷ τοιούτῳ ζωοποιῷ χρήσασθαι ὕδατι. Πρὸς ὃν, ὡσανεὶ παρόντα εἴποιμι ἄν. καὶ μὲν, ὦ ἄνθρωπε αὐτὸς ὁ μακάριος Κύριλλος ἀπεδέξατο τοὺς ἁγίους πατέρας, τοὺς δύο εἰρηκότας ἐν χριστῷ φύσεις, ὡς πρὸ βραχέως ἀπέδειξα. καὶ μάλιστα Παῦλον τὸν Ἐμέσης ἐλθόντα ἐν Ἀλεξανδρείᾳ, ἐκ προσώπου πασῶν τῶν ἀνατολικῶν ἐκκλησιῶν, καὶ ἐπισκόπων. ὅθεν καὶ ἐπ' ἄμβωνος ἀνελθόντος ἐν τῇ Ἀλεξανδρέων ἐκκλησίᾳ, καὶ κηρύξαντος ἐπὶ χριστοῦ δύο ἡνωμένας φύσεις ἐν μιᾷ ὑποστάσει, ὑπερηυφράνθη ὁ μακάριος Κύριλλος, καὶ φησίν. Εὐφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. ἰδοὺ ἠντλήσαμεν ὕδωρ ζωῆς, ἐξ ἁγίας πηγῆς τοῦ ὁσίου πατρὸς Παύλου. ὃς διεσάφησεν ἡμῖν τὸ μέγα τῆς ἀληθείας μυστήριον. ἰδοὺ ὕδωρ ζωῆς ὀνομάζει ὁ θεῖος Κύριλλος τὴν τῶν δύο φύσεων φωνὴν, ἐξ οὗ ἡμᾶς κωλύει πίνειν ὁ σοφιστὴς ἰατρὸς Σευῆρος.

Σχόλιον. Εὑρήσεις τὰ ἀκόλουθα τῆς χρήσεως Σευήρου, καὶ τὴν ἀνατροπὴν αὐτῆς εἰς τὸ κεφάλαιον τοῦ τετραδίου, ὅπου ὁ ἀστερίσκος.

Ταῦτα μου εἰρηκότος, παρελθὼν εἰς μέσον ὁ Σευῆρος φησίν. Ἀλλὰ διὰ τοῦτο σὺν τοῖς λοιποῖς πατράσι, καὶ τὰς Κυρίλλου ἀπέρριψα διδαχὰς, εἰπὼν ἀπροσδέκτους ταύτας εἶναι μετὰ Νεστόριον. κἂν αὐτοῦ Κυρίλλου τυγχάνωσι φωναὶ, ὑπ' αὐτοῦ τοῦ στόματος εἰρημέναι. καὶ ποίῳ λοιπὸν προσώπῳ, ἢ παῤῥησίᾳ δύναται κεχρῆσθαι ὡς νομίζει καθ' ἡμῶν ταῖς τοῦ ἁγίου Κυρίλλου φωναῖς, περιφέρων ἡμῖν ἄνω, καὶ κάτω, καὶ κάτω, καὶ ἄνω τὴν ὑπ' αὐτοῦ εἰρημένην χρῆσιν, τῆς μιᾶς τοῦ θεοῦ λόγου φύσεως σεσαρκωμένης; Ἀλλ' οὐ ταύτην τὴν φωνὴν, φησὶν ὁ Σευῆρος, ἀπεβαλόμην. ἀλλὰ τὰς ἄλλας τὰς λεγούσας δύο φύσεις ἐπὶ χριστοῦ. Καλῶς ἐμαθήτευσε τοῖς Ἰουδαίων, καὶ Ἑλλήνων, καὶ Ἀράβων διδασκάλοις ὁ Σευῆρος, ἐκ μέρους τὰς γραφὰς

διχό-

medici aquæ potum permiserunt. Porrò, quod hic Seuerus dicit, id eiusmodi est; Morbo Nestorij iam ingruente, & grassante, ego præclarissimus & solus sapientissimus Medicus non sino amplius bib*atis* aquam vitæ, patrum vestrorum; doctrinam, inquam, quæ duas in Christo naturas docet; Etiamsi sancti Patres, eximij medici, permittant; vt huiusmodi viuifica aqua vtamini. Cui ego, tanquam præsenti, hoc responsum dederim. Atqui, ô homo, ipse beatus Cyrillus probauit, & admisit sanctos Patres, qui duas in Christo naturas prædicant, sicut paulò antè ostendi; maximè Paulum Emesenum, qui Alexandriam venit nomine omnium orientalium Ecclesiarum & Episcoporum. Vnde, ipso etiam in ambonem, seu suggestum in Alexandrina Ecclesia adscendente; duasque naturas in vna hypostasi vnitas in Christo prædicante, ingenti gaudio affectus est beatus Cyrillus; inque hæc verba prorupit. *Lætentur cœli, & exultet terra. Ecce aquam vitæ hausimus ex sacro fonte sancti Patris Pauli; qui explanauit nobis magnum veritatis mysterium.* Ecce aquam vitæ nominat diuinus Cyrillus duarum naturarum in Christo assertionem, ex qua nos bibere vetat veterator iste medicus Seuerus.

Scholium. Reliqua orationis Seueri, eiusque refutationem inuenies in capite tetradij seu quaternionis, vbi asterisci signum. *In Schedis Schotti deest hoc Scholium.*

Hæc me locuto progressus in medium Seuerus ait: *Atquì cum reliquis Patribus, etiam Cyrilli doctrinam repudiaui, vtpote post Nestorium minimè recipi aut approbari dignam; licet ipsius sint Cyrilli pronunciata, licet ore illius prolata.* Et qua fronte, arbitraris; producet aduersus nos in posterum Cyrilli auctoritatem, adferens illud, sursumq; & deorsum, & vice versa, deorsum, & sursum versans, quod alicubi ait, *vnã in diuino Verbo naturam incarnatam esse. At non reieci istam assertionẽ,* inquit Seuerus, *sed aliam qua duas naturas in Christo statuit.* Egregiam profectò operam dedit Seuerus Iudæis, Græcis, & Arabicis doctoribus; qui sacras litte-

διχόμενος, μέρος δὲ τούτων ἀποβαλλόμενος, καθὰ ποιοῦσι καὶ οἱ Μανιχαίων παῖδες.

Πλὴν εἰ κατὰ τὰς νόσους τῶν γινομένων αἱρέσεων δεῖ παραλλάττειν τὰ δόγματα τοῦ Χριστοῦ, καὶ τῆς ἀληθείας. καὶ ἀπόβλητος γέγονε διὰ Νεστόριον ἡ φωνή, ἡ φάσκουσα, μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην. διὰ τὰς δέκα αἱρέσεις τοῦ δεκακεράτου τοῦ προειρημένου σύγχυσιν, καὶ φαντασίαν, καὶ ἄρνησιν τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κηρύττοντος.

Λοιπὸν τί πάθω, ἢ τί πράξω, οἴμοι, οὐ γινώσκω· διὰ γὰρ τὴν Νεστορίου νόσον φησίν, ἀπεδοκιμάσθησαν, καὶ ἀπόβλητοι γεγόνασιν αἱ δύο φύσεις Χριστοῦ. πάλιν τε, δι' Εὐτυχέα, καὶ Διόσκορον, καὶ Θεοδόσιον ἀποδοκιμασθήσεται ἡ φωνὴ ἡ μίαν φύσιν φάσκουσα τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος αὐτοῦ. καὶ ἔσται λοιπὸν κενὸν τὸ κήρυγμα, καὶ ματαία ἡ πίστις, καὶ οἰχήσεται ἡ εὐσέβεια, γινομένη παντάπωλεια.

Ἐπεὶ οὖν νέος νῦν τις λέγων, ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, ἀντίχριστος ἀνεδείχθη ὁ Σευῆρος, καὶ καθαίρεσιν ἐποιήσατο τῶν ἁγίων πατέρων, φέρε, ἐκ προφητικῆς, καὶ εὐαγγελικῆς γραφῆς τὸ δεκακέρατον αὐτοῦ συντρίψωμεν· παριστῶντες ὅτι ἕτερόν τί ἐστι φύσις καὶ ἕτερον, τὸ πρόσωπον.

ΚΕΦΑΔΑΙΟΝ ὈΓΔΟΟΝ.

Ἀπόδειξις ἐκ παλαιᾶς, καὶ καινῆς διαθήκης, ὅτι οὐ ταυτὸν φύσις, καὶ πρόσωπον.

Προκαθημένου τοῦ βασιλέως Χριστοῦ τοῦ θεοῦ ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου, ἐν τῇ ἁγίᾳ καθολικῇ, καὶ ἀποστολικῇ ὀρθοδόξῳ ἡμῶν ἐκκλησίᾳ, καὶ παρεστώτων αὐτῷ τῶν ἀνωτάτων πασῶν ἀγγελικῶν δυνάμεων· συμπαρόντων τε τῶν ἐξ αἰῶνος ἁγίων πατριαρχῶν, καὶ προφητῶν, καὶ εὐαγγελιστῶν, καὶ ἀποστόλων, μετὰ χεῖρας τὰς ἱερὰς, καὶ θείας τῆς παλαιᾶς,

ras ex parte recipit & ex parte reiicit: quod & Manichæi faciunt.

Cæterùm, si ad morbos & hæreses mutare, & attemperare oportet dogmata Christi & veritatis; eaque vox, quæ duas naturas profitetur, repudianda est propter Nestorium, necesse erit, vt inanis prorsus & otiosa sit sententia, quæ vnam verbi diuini naturam incarnatam, annunciat; propter decem hæreses factionis illius, de qua antea dictum, decem cornibus instructæ: quæ confusionem, phantasiam imo & inficiationem humanæ naturæ in Christo introducit.

Quid igitur de cætero faciã; quo me vertam? *Propter Nestorij sectam*, inquit, *repudiatæ & reiectæ sunt duæ Christi naturæ*: Rursus propter Eutychen, Dioscorum & Theodosium omnino reiicietur vox illa, quæ vnam in Christo diuinitatis & humanitatis naturam esse affirmat; & sic *inanis* erit posthac *prædicatio*, vana etiam fides. Peribit religio; & ad internecionem vsque delebitur.

Postquam ergo nouitius iste Seuerus, qui gloriatur sibi omnem potestatem in cœlo & in terra datam; Antichristus esse; omnesque Patres repudiare conuictus est, agedum decicorne eius sodalitium ex Propheticis & Euangelicis scripturis conteramus; demonstrantes aliud esse naturam; & aliud personam.

CAPVT OCTAVVM.

Demonstratur ex veteri & nouo Testamento; naturam & personam distingui.

PRAESIDENTE Rege Christo Deo in sublimi & excelso throno, in sancta, Catholica, Apostolica & orthodoxa Ecclesia nostra; eique adsistentibus cunctis supernarum virtutum Angelicis potestatibus; præsentibusque; qui à sæculo fuerunt, Sanctis, Patriarchis, Prophetis, Euangelistis & Apostolis; manibusq; sa-

παλαιᾶς, καὶ καινῆς διαθήκης βίβλων ἐπιφερομένων, πρῶτος ὡς πρῶτον τὸ πρῶτον τοῦ νόμου βιβλίον Μωσῆς εἰς μέσον παρελθὼν, καὶ ἀναπτύξας, τὴν ἁγίαν ἐκκλησίαν, οὐκ Ἀριστοτελικῶς, ἀλλὰ θεολογικῶς, τὰ περὶ γένους, ἤγουν φύσεως ἐκδιδάσκει λέγων. καὶ εἶπεν ὁ θεὸς, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα. καὶ πάλιν μετὰ βραχέα. καὶ εἶπεν ὁ θεός. ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν κατὰ γένος. καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα, κατὰ γένη αὐτῶν. καὶ πᾶν πετεινὸν πτερωτὸν, κατὰ γένος. καὶ αὖθις. καὶ εἶπεν ὁ θεὸς, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα, ἑρπετὰ, καὶ θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτως. καὶ τὰ κτήνη κατὰ γένος, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν.

Ἰδοὺ δεσποτικαὶ, καὶ θεῖαι φωναὶ, τὰς διαφόρους τῶν πραγμάτων ὑπάρξεις, τῶν τε ἐμψύχων, τῶν τε ἀψύχων, τῶν τε πτηνῶν, τῶν τε νηκτῶν, τῶν τε ἑρπετῶν διάφορα γένη, ἤτοι φύσεις προσηγόρευσε θεολογικῶς. Ἀλλ' οὐ διάφορα πρόσωπα Ἀριστοτελικῶς, καὶ Ὁμηρικῶς· ὡσανεὶ διδάσκων ἡμᾶς ὁ τῶν ὅλων δημιουργός. ὅτι ἄλλο γένος, ἤτοι φύσις τῶν ἑρπετῶν, καὶ ἄλλο γένος, καὶ φύσις τῶν θηρίων, καὶ ἄλλο γένος ἤτοι φύσις ἀνθρώπων. καὶ ἕτερον γένος, ἤτοι φύσις δαιμόνων. καθά φησιν ὁ χριστὸς περὶ αὐτῶν. ὅτι τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ, καὶ νηστείᾳ. ὅθεν καὶ ὁ Παῦλος τὸ ὁμοούσιον ἡμῶν, καὶ χριστοῦ τὸ κατὰ σάρκα διδάσκων τῶν Ἀθηνῶν φιλοσόφους φησίν. τοῦ γὰρ καὶ γένος ἐσμέν. Ἀλλ' ἴσως καὶ πρὸς Μωσέα, καὶ Παῦλον ἀναιδεύει Σευῆρος, μὴ καταδεχόμενος, γένος λέγειν τὴν φύσιν. οὐκ οὖν δυσωπεῖ αὐτὸν δι' ἡμῶν ὁ τοῦ θεοῦ ἀδελφὸς Ἰάκωβος ἐν τῇ καθολικῇ αὐτοῦ ἐπιστολῇ, ὡς τοῦ θεοῦ ἀδελφὸς, ἀδελφά, καὶ σύμφρονα τοῦ θεοῦ φθεγγόμενος. ἅπερ γὰρ ὁ θεὸς διὰ Μωσέως γένη ὠνόμασεν, ταῦτα καὶ Ἰάκωβος φύσεις προσηγόρευσε λέγων. Πᾶσα φύσις θηρίων τε, καὶ πετεινῶν, ἑρπετῶν τε, καὶ ἐναλίων δεδάμασται, καὶ δαμάζεται τῇ ἀνθρωπίνῃ φύσει. Ἰδοὺ σαφῶς ὁ τοῦ χριστοῦ ἀδελφὸς τὰ διάφορα γένη, διαφόρους φύσεις προσηγόρευσεν. ὅθεν καὶ πᾶς ὁ τῶν

ἁγίων

cros & diuinos veteris & noui Testamenti libros gestantibus, primus vt primus primum legis volumen Moyses aperuit, & inde Ecclesiam non Aristotelicè, sed Theologicè quid sit genus siue natura docet his verbis. *Et dixit Deus : Germinet terra herbam fœni, seminans semen secundum genus & similitudinem.* Et post pauca. *Et dixit Deus. Producant aquæ reptilia animæ viuentis secundum genus, & volatilia volantia super terram sub firmamento cœli. Et fecit Deus cete grandia: & omnem animam viuentem reptilium, quæ produxerant aquæ secundum genus suum. Et omne volatile secundum genus suum.* Rursus. *Dixit Deus. Producat terra animam viuentem in genere suo, quadrupedia & reptilia; & bestias terræ secundũ genus; factumq; est ita; Et omnia reptilia secundum genus ipsorum.* *Gen.1.*

Ecce dominicas diuinasque voces; quæ diuersas rerum essentias, seu substantias animatorum animaque carentium, volatilium, & aquatilium, & reptilium Theologicè appellant diuersa genera siue naturas : nequaquam personas diuersas, iuxta Aristotelis aut Homeri disciplinam. Nimirum docuit nos omnium rerum conditor aliud esse genus (seu naturam) reptilium ; aliud bestiarum : aliud genus hominum ; aliud Dæmonum. Sicut & Christus de illis testatur. *Genus hoc* (Dæmoniorum) *non exit nisi in oratione & ieiunio.* Hinc & Paulus cum Atheniensibus Philosophis demonstraret nos & Christum secundum carnem eiusdem substantiæ esse : dixit. *Ipsius enim & genus sumus.* At fortè Seuerus tam Moysen, quàm Paulum repudians, abnuet naturam appellari genus. Sed refutat illum per nos Dei frater Iacobus in Catholica sua epistola; qui, vt Dei frater, Deo consona, & consentanea loquitur. Nam quæ Deus ore Moysis appellauit *genera*; Ea nominat Iacobus naturas : *Omnis*, inquiens, *natura bestiarum & volucrum, & serpentium, & aquatilium domita sunt, & domantur ab humana natura.* Ecce disertè domini frater diuersa genera nominat diuersas naturas : Quare cunctus etiam sanctorum Patrum cœtus ea quæ sunt diuersæ substantiæ & naturæ vocauit diuer- *Marc.9.* *Act.17.* *Iacob.3.*

ἁγίων πατέρων χορὸς τὰ ἐπρεύσια, καὶ ἐπρεφυῆ, ἐπρογλυπῆ οἶδεν ὀνομάζειν. οὐκοῦν οἱ μίαν φύσιν μετὰ τὴν ἕνωσιν λέγοντες εἶναι τὸν χριστὸν, ἤγουν ἓν γένος ἐκ παντὸς τρόπου, ἢ τὴν θεότητα συγχυθῆ τῆς σαρκὸς λέγουσι τραπεῖσαν εἰς κτίσμα. ἢ τὴν σάρκα πάλιν συγχυθῆ, καὶ ὁμοούσιον γενομένην τῆς ἁγίας τριάδος. ὅπερ τῶν ἀμηχανῶν, καὶ ἀδυνάτων ἐστίν. εἰ δὲ οὐχ ὁμοούσιον τῷ σώματος λόγῳ, ἑτέρα πάντως, καὶ ἑτέρα φύσις ἐν χριστῷ, καθὰ ὁ πάνσοφος Κύριλλος ἀπολογούμενος ὑπὲρ τῶν ἀνατολικῶν πρὸς Εὐλόγιον ἐσήμανεν ἐν Κωνσταντινουπόλει ὄντα.

Σχόλιον. Κύριλλος ἐν τῷ θησαυρῷ, τὰ ἐπρεγλυπῆ λέγει εἶναι. καὶ Γρηγόριος ἐν τῷ λόγῳ τῶν θεοφανίων. εἰς τὸ πάλιν Ἰησοῦς ὁ ἐμὸς συγγένειαν * μεμαρτορυμένην εἶπεν τὸ ἅγιον πνεῦμα, καὶ τὸν θεὸν λόγον, ὥσπερ καὶ ὁ Γαβριὴλ φησὶ πρὸς τὴν θεοτόκον. καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου. Ἀλλὰ μὴν μὲν τὸ πέρυσι ἐχέτω ἐνθάδε. λοιπὸν δὲ ἐπὶ τὰ ἑξῆς ἰτέον.

* Schol. μαρτυρουμένην.

Μετὰ γὰρ Μωσέα εἰς μέσον παρελθὼν τοῦ θεάτρου, καὶ δεσποτικοῦ * ἀκροατηρίου τῆς τῶν ἁγίων προφητῶν, καὶ ἀποστόλων πανηγύρεως Σολομῶν, ὁ πάνσοφος, πρῶτος καὶ αὐτὸς τηλαυγῶς ἡμῖν ἐν τῇ παλαιᾷ διαθήκῃ τὸν περὶ φύσεως ἐκτίθεται λόγον, ἐν τῇ παρ' αὐτοῦ ἐκτεθείσῃ Σοφίᾳ φάσκων. μάταιοι πάντες ἄνθρωποι φύσει, οἱ ἔχοντες ἀγνωσίαν θεοῦ. τί ἐστι φύσει; τοῦτ' ἐστιν, ἐν ἀληθείᾳ. φύσις γάρ ἐστιν, ὡς αἱ θεόπνευστοι διαγγέλλουσι γραφαὶ, ἡ τῶν πραγμάτων ἀλήθεια. Ἀντιστρέφω διὰ σοῦ ἄφρονας τὸν λόγον τοῦ Σολομῶντος, καὶ λέγω. μάταιοι πάντες ἄνθρωποι προσώπῳ οἱ ἔχοντες ἀγνωσίαν θεοῦ. ἀλλ' οὐχ ἁρμόζει ὅλως, τὸ λέγειν, μάταιοι προσώπῳ· ἀλλὰ μάταιοι, φύσει. ὥστε οὐκ ἔστι ταὐτὸν, φύσις, καὶ πρόσωπον. καὶ εἴρηται μὲν ἡμῖν περὶ τούτου καὶ ἐν τῷ τόμῳ τῷ Ἀπολογητικῷ πρὸς τὸν λαὸν καὶ οὐκ ἐπελαθόμην. ἀλλ' ἐπειδὴ περὶ ἕλκους, καὶ σηπεδόνος χρονίας λαλῶ, καὶ σύριγγος, νομὴν, καὶ δυσωδίαν ποιήσαντος, καὶ μάλιστα ἐν τοῖς ὑπονόμοις, καὶ διώρυξιν τῆς ἄμμου, καὶ κονιορτοῦ τοῦ ἐμπεπλησμένων τῶν * Θελονάμων, καὶ Αἰγυπτιακῶν † χώρων, οὐκ ὀκνητέον πάλιν περὶ τῶν αὐτῶν εἰπεῖν, καὶ μάλιστα ἵνα τὰς ἀντιστροφὰς τῶν λέξεων ποιήσαντες ἐκ τῆς ἱερᾶς γραφῆς τοὺς ἄφρονας πείσωμεν, ὅτι οὐκ ἔστι ταὐτὸν, φύσις καὶ πρόσωπον. οὐκοῦν ἀναλάβωμεν πάλιν τὴν τοῦ μακαρίου Ἰακώβου φωνὴν

* C. A. ἀκροατηρίου.

† Sch. χωρῶν.

* Sch. θολαγνόμων. Videtur nomẽ propriũ regionis, vel populi.

uersorum generum. Igitur qui vnam in Christo naturam post vnionem ponunt; eos necesse est affirmare, aut diuinitatem versam in creaturam congenerem esse carni; aut carnem consubstantialem factam esse sanctissimæ Trinitati: quod ex eorum numero est; quæ fieri nulla potestate valent. Si verò corpus non est Verbo consubstantiale; oportet; vt alia & alia sit in Christo natura: quemadmodum ostendit sapientissimus Cyrillus in Apologia pro Orientalibus ad Eulogium Constantinopoli degentem.

Scholium. Cyrillus in Thesauro vocat heterogenea, hoc est, diuersi generis ea, quæ sunt diuersæ naturæ seu essentiæ. Et Gregorius orat. in Epiphaniam, cuius exordium: *Rursus Iesus meus*, vocat Spiritum sanctum Verbumque diuinum testatam cognationem, quemadmodum & Gabriel ad Deiparam dixit: *Et ecce Elisabeth cognata tua.* Verum hæc hactenus. *Luc.1.* Pergamus ad alia.

Post Moysen in medium procedat ex diuino Prophetarum & Apostolorum choro, sapientissimus Salomon, qui ipse etiam primus naturæ rationem exposuit disertè in libro; qui *Sapientia* inscribitur. *Vani sunt omnes homines natura, in quibus non subest scientia Dei.* Quid est naturâ? Hoc est, in veritate. Natura enim est, vt diuinitus inspiratæ litteræ tradunt, ipsa rerum veritas. Inuertamus propter insipientes orationem Salomonis, dicamusque: *Vani sunt omnes homines* προσώπῳ, personâ; *in quibus non subest scientia Dei.* Sed inconueniens ineptumque erit dicere: *vani personâ*; conueniet igitur alterum; *vani naturâ*; Non igitur idem natura & persona: de qua re etiam à nobis dictum est in Tomo apologetico ad populum, neque id memoria excidit. Sed quia agitur de vlcere & putredine diuturna, & contumaci, & quæ omnia depascitur, & fœtorem, fistulæ instar, exhalat, maximè in specubus & cauernis fuscarum Aegyptiacarumque regionum, arena & puluere semper oppletarum, ideo rursus de eodem argumento disputare oportet; præsertim, vt si sacræ Scripturæ verba inuerterimus, imperitis fidem faciamus, *naturam & personam* vnum & idem non esse: Repetamus igitur beati Iacobi di-

ctum,

Sed cuius? Nihil vspiam reperi. Quo fit, vt credā legendū, δολωμένων, prout etiam in versione Latina expressi. quia facilis mendo occasio fuit ἐκ δολωμένων, in δολανόμων. Hac tamen valeāt eo vsq; dū δολανόμων regio ab aliquo peritiore inveniatur.

διὰ τὴν ἀντιστροφὴν τῆς λέξεως. πᾶσα φύσις θηρίων τε, καὶ πετεινῶν, ἑρπετῶν τε, καὶ ἐναλίων δεδάμασται, καὶ δαμάζεται τῇ ἀνθρωπίνῃ φύσει· οὐκ εἶπεν, τῷ ἀνθρωπίνῳ προσώπῳ. οὐδὲ γὰρ ἓν πρόσωπόν ἐστιν ἡ ἀνθρωπότης, ἀλλὰ μυρία πρόσωπα. φύσις δὲ μία. καὶ διὰ τοῦτο φησί, τῇ ἀνθρωπίνῃ φύσει.

Ταῦτα μὲν λέγοντος, ὁ θεῖος ῥήτωρ τῆς οἰκουμένης, Παῦλος τὴν πρὸς Ῥωμαίους φέρων ἐπιστολὴν εἰς μέσον ἦλθεν, ἐν ᾗ ἡμᾶς διδάσκει λέγων· ὅτ' ἂν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶσι. τί ἐστι φύσει, εἰ μὴ ἐν ἀληθείᾳ. Ἀντιστρέψωμεν τὴν φωνήν, καὶ εἴπωμεν ὅτ' ἂν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, προσώπῳ τὰ τοῦ νόμου ποιῶσιν. ἀλλ' οὐδαμῶς οὐδ' ὅλως ἁρμόζει τὸ λεγόμενον, ὥστε οὐκ ἔστιν ἡ φύσις πρόσωπον. πάλιν γὰρ λέγει. ὅτι κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα, τουτέστιν ἡ τῶν ἐθνῶν ἀκροβυστία ἐν ἀληθείᾳ τὸν νόμον τελοῦσα, κατακρινεῖ σὲ τὸν διὰ περιτομῆς παραβάτην τοῦ νόμου.

Σχόλιον. Οὐδεὶς ἐκ φύσεως τὸν νόμον τοῦ θεοῦ ποιεῖ, ἀλλ' ἐκ προαιρέσεως· ἐπεὶ εἰ ἐκ φύσεως ἦν ἡ ποίησις τῶν τοῦ θεοῦ ἐντολῶν, πάντες ἐδικαιοῦντο. ὥστε καὶ ἐν ταῦτα τὸ φύσει, ἀντὶ τοῦ ἐν ἀληθείᾳ εἴρηται.

Καὶ πάλιν· εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, τουτέστι τῶν κατὰ ἀλήθειαν συνουσωμένων ἐν τῇ ῥίζῃ, οὐδέ σου φείσεται τοῦ ἀρνουμένου τὴν ἀλήθειαν. Ἀντιστρέψωμεν πάλιν τὴν λέξιν διὰ τοὺς στρεβλοὺς, καὶ εἴπωμεν. εἰ γὰρ ὁ θεὸς τῶν κατὰ πρόσωπον κλάδων οὐκ ἐφείσατο, ποῖον πρόσωπον εἰπέ μοι, ἢ ποῦ ὅλως ἔχει λόγον, ἢ ἀκολουθίαν τὸ λεγόμενον. οὐκοῦν οὐκ ἔστιν ἡ φύσις πρόσωπον. εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἀγριελαίου, τουτέστιν ἐκ τῆς κατὰ ἀλήθειαν ἀπιστίας ἐξεκόπης. καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον. πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ; ἀγριέλαιον τὴν ἀπιστίαν εἶπεν. οὐδεὶς δὲ κατὰ φύσιν ἐστὶν ἄπιστος, ἀλλὰ κατὰ προαίρεσιν. ὥστε καὶ ἐνταῦθα, ἀντὶ ἀληθείας κεῖται, τὸ, φύσει.

Ταῦτα

ctum, nomenque *naturæ* mutemus in nomen *personæ*. *Omnis naturæ bestiarum, & volucrum, & serpentium domita sunt, & domantur ab humana natura.* Non dixit: ab humana *persona*; neque enim natura humana est vna persona: sed sunt personæ infinitæ; natura verò vna; propterea dicit ab humana natura. Iacob. 3.

Hæc cùm dissererem; Ecce ingreditur diuinus ille vniuersi orbis doctor & orator Paulus, manibus suis epistolā ad Romanos ferens; in qua ista tradit: *Gentes, quæ legem non habent; naturâ* (seu naturaliter) *ea quæ legis sunt faciunt.* Quid est naturâ, nisi in veritate? Inuertamus hanc vocem, dicamusque, *Gentes quæ legem non habent*, personâ ea quæ legis sunt, faciunt. At oratio hæc nullo modo conueniens est & apta. Sequitur ergo naturam & personam non esse idem. Iterum idem ait: *Et iudicabit id, quod ex natura est præputium, legem consummans*, hoc est, gentium præputium in veritate legem consummans condemnat te qui per circumcisionem transgressor es legis. Rom. 2. Rom. 2.

Scholium. Nullus naturâ legem Dei facit; sed ex proposito & electione; quia si diuinorum præceptorum impletio & executio à natura esset; omnes iustificati fuissent. Itaque & hoc loco nomen illud naturâ, accipitur pro eo quod est, in veritate.

Rursus. *Si enim Deus ramis naturâ*, (naturalibus) non pepercit; hoc est; ramis qui secundum veritatem radici vniti & insiti fuerant; neque tibi veritatem neganti parcet. Mutemus iterum dictionē propter peruicaces, & tortuosos; dicamusque: si enim Deus ramis personâ non pepercit. Qualemnam *personā*; dic obsecro, intelligit; Aut quænam tandem huius orationis est ratio & connexio? Ergo natura non est persona. nam si tu ex naturali excisus es oleastro (ex oleastro, qui naturâ talis est) hoc est; si exemptus es ab ea; quæ secundum rei veritatem erat infidelitas, & contra naturam insertus es in bonam oliuam; quanto magis ij qui secundum naturam, inserentur suæ oliuæ. Per oleastrum infidelitatē intelligit. Nullus enim naturâ est infidelis, sed ex electione. Itaq; & hoc loco ponitur vox naturâ, pro veritate. Rom. 2.

Q Cum

Ταῦτά μου εἰρηκότος, καὶ προσάδοντος ἐφ' ἑτέρας ἀποδείξεις. πρὸς τὸ γραφικῶς παραστῆσαι, ὅτι οὐκ ἔστι ταυτὸν φύσις, καὶ πρόσωπον, κατέσχε μου τῆς χειρὸς πάλιν ὁ ἱερὸς ἀπόστολος τὴν πρὸς Κορινθίους πρώτην ἐπιστολὴν αὐτοῦ ἐπιδούς. ἐν ᾗ πάλιν σαφῶς ἡμᾶς διδάσκει, ὅτι οὐδὲν ἕτερον σημαίνει ἡ φύσις, εἰ μὴ αὐτὴν τὴν τῶν πραγμάτων ἀλήθειαν. ἐν οἷς ἐγκαλῶν ταῖς γυναιξὶν ἀκατακαλύπτῳ τῇ κεφαλῇ προσευχομέναις φησίν. ἐν ὑμῖν αὐτοῖς κρίνατε. πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι; οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς, τοῦτ' ἔστιν, οὐδὲ αὐτὸ τὸ πρᾶγμα. Ἄρα ἐὰν ἀντιστρέψωμεν, καὶ εἴπωμεν ἀντὶ τῆς φύσεως ὅτι οὐδὲ αὐτὴ ἡ ὑπόστασις διδάσκει ὑμᾶς, ἔχει ὅλως νόσον, ἢ ἀκολουθίαν τὸ λεγόμενον; οὐδαμῶς. ὥστε οὐκ ἔστι ταυτὸν, φύσις, καὶ πρόσωπον, καὶ ὑπόστασις.

Ἀλλ' οἱ ἔξαρχοι τοῦ διεκακεράτου ῥήτορες ταῦτα οὐδαμῶς διενοήθησαν, οὐ Μωσέως, οὐ Σολομῶντος, οὐ τοῦ χριστοῦ, οὐκ Ἰακώβου, οὐ Παύλου εἰς τῶν περὶ φύσεως, καὶ ὑποστάσεως, καὶ προσώπου λόγους μνείαν ἐποιήσαντο. εἰ γὰρ ταῦτα ἀναγνόντες ἔγνωσαν, οὐκ ἂν τὸν τῆς δόξης κύριον ἐβλασφήμησαν, φάσκοντες οὐκ ἔστι φύσις ἀπρόσωπος. Ἀλλὰ ταυτόν ἐστιν ἡ φύσις, καὶ τὸ πρόσωπον.

Λοιπὸν ἡ σύνοδος χαλκηδόνος, μᾶλλον δὲ καὶ οἱ ἅγιοι πατέρες, δύο φύσεις ἀδιαιρέτους εἰπόντες ἐν χριστῷ. δύο πάντως, καὶ πρόσωπα ἐπ' αὐτοῦ κατὰ Νεστόριον εὑρίσκονται λέγοντες· καὶ τούτου χάριν Σευῆρος ὁ δίκαιος κριτὴς τὴν αὐτῶν καθαίρεσιν ἐποιήσατο. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ φύσις πρόσωπον ἱκανῶς ὁ λόγος ἐκ παλαιᾶς τε, καὶ καινῆς διαθήκης ἀπέδειξε λοιπὸν ἀκόλουθον ἀντιστρέψαι τὴν τάξιν. καὶ ἐκ τῆς αὐτῆς ἱερᾶς καὶ θείας γραφῆς παραστῆσαι, ὅτι οὐδὲ τὸ πρόσωπον δυνατόν ἐστι φύσιν προσαγορεύεσθαι. λοιπὸν ἔστε ἄφρονες ταυτὸν λέγετε τὴν φύσιν, καὶ τὸ πρόσωπον, τῶν λεγομένων συνεχῶς ἀκούσατε.

Κατ'

Cum his finitis ad aliam demonstrationem properarem, vt ex Scripturæ testimoniis planum facerem; naturam & personam vnum & idem non esse: manum meam apprehendit Apostolus: offerens mihi primam suam ad Corinthios epistolam: in qua rursus perspicuè nos docet, naturam aliud non significare; quàm ipsam rerum veritatem. Vbi enim mulieres quasdam capite non velato orantes reprehendit; sic loquitur. *Vos ipsi iudicate, decet mulierem non velatam orare Deum? Nec ipsa natura docet vos*: hoc est, neque ipsa res. An igitur si loco vocabuli *naturæ* substituamus aliud; orationemque hunc in modum conformemus: *Nec ipsa hypostasis seu persona docet vos?* eandem gratiam & connexionem seruabit oratio? Nequaquam. Non est igitur idem persona seu hypostasis & natura. 1. Cor. 11.

Sed Exarchi & præsides decicornis illius sodalitij hæc non perpenderunt, neque Moysis, aut Salomonis, aut Christi, aut Iacobi, aut Pauli rationem habuerunt; quod attinet ad ea quæ de natura & persona tradiderunt. Si enim hæc ex lectione cognouissent, vtique dominum gloriæ non blasphemassent, dicendo naturam non esse sine persona; sed vnum idemque reputari debere naturam & personam.

Ex quo sequitur Synodum Chalcedonensem, vel potius sanctos Patres, qui duas indiuisas in Christo affirmarunt naturas; duas item personas ex Nestorij persuasione in Christo statuisse, eamque ob caussam Seuerus, æquissimus ille iudex eos de solio deposuit. Quod igitur natura & hypostasis non sint vnum & idem satis superq; ex veteri nouoque Testamento demonstratum est. Sequitur, vt ex eadem sacra Scriptura planum faciamus, personam ne posse quidem naturæ appellationem suscipere. Nec aliud superest, quàm vt qui ex imperitia personam & naturam vnum idemq; esse contendunt; animum ad ea, quæ dicentur, diligenter aduertant.

Κατ' ἐρώτησιν δὲ, καὶ ἀπόκρισιν ἀναγνωστέον τὰ ἀκόλουθα.

ΚΑταρασάμενος ὁ θεὸς τὸν Κάϊν, πᾶσαν τὴν φύσιν τῶν ἀνθρώπων κατηράσατο, ἢ ἓν πρόσωπον, καὶ μίαν ὑπόστασιν; Πρόδηλον, ὅτι μόνον τὸ τοῦ ἡμαρτηκότος πρόσωπον. ὥστε οὐ ταυτὸν, πρόσωπον, καὶ φύσις.

Εἰπὼν ὁ Νῶε πρὸς τὸν υἱὸν αὐτοῦ τὸν στηλιτεύσαντα αὐτοῦ τὴν γύμνωσιν. ὅτι ἐπικατάρατος, καὶ παῖς οἰκέτης ἔσται Χαναάν. πότερον τὴν κοινὴν φύσιν τῶν τριῶν υἱῶν κατηράσατο, ἢ ἓν ἐκ τῶν τριῶν προσώπων; εὔδηλον ὅτι μόνον τὸ τοῦ Χὰμ πρόσωπον. ὥστε οὐ ταυτὸν, φύσις καὶ πρόσωπον.

Μετενεχθέντος τοῦ Ἐνὼχ ὑπὸ τοῦ θεοῦ, πᾶσα ἡ φύσις τῶν ἀνθρώπων μετηνέχθη, ἢ ἓν, καὶ μόνον πρόσωπον; Δῆλον, ὅτι μόνον τὸ τοῦ Ἐνὼχ πρόσωπον. ὥστε οὐκ ἔστιν ἡ φύσις πρόσωπον.

Ὁμοίως καὶ ὁ Χριστὸς καταρασάμενος τὸν Ἰούδαν, οὐ πᾶσαν τὴν φύσιν τῶν Ἀποστόλων κατηράσατο, ἀλλ' ἓν πρόσωπον. καὶ ὅπερ μὴ δόξωμεν μύθους διηγεῖσθαι τοῖς ἀντιδίκοις, φέρε δὴ ἐπ' αὐτὴν τὴν κυρίως προσωπολεξίαν, τὴν ἐν τῇ θείᾳ γραφῇ τυγχάνουσαν, περὶ θεοῦ, χωρήσωμεν.

Γέγραπται γὰρ, ὅτι μετὰ τὴν παράδοξον ἐκείνην παλαίστραν, φησὶν ὁ θεσπέσιος Ἰακώβ, ἐκάλεσε τὸν τόπον ἐκεῖνον, εἶδος θεοῦ. εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον. καὶ ἐσώθη μου ἡ ψυχή. λεγέτω μοι νῦν ὁ φιλόσοφος Σευῆρος, ὁ ταυτὸν λέγων εἶναι, τὴν φύσιν, καὶ τὸ πρόσωπον. ἆρα δυνατὸν ἦν τῷ Ἰακὼβ ἀντὶ τοῦ, εἶδον θεὸν, πρόσωπον πρὸς πρόσωπον, εἰπεῖν, εἶδον θεὸν, φύσιν πρὸς φύσιν, καὶ ἐσώθη μου ἡ ψυχή; οὐδαμῶς. ὥστε οὐ ταυτὸν, φύσις, καὶ πρόσωπον.

Δέχου ὁ Ἰακωβίτης καὶ ἕτερον παρὰ Ἰακὼβ λίθον σφενδονίτην. εἶπε γὰρ πρὸς Ἠσαῦ τὸν ἀδελφὸν αὐτοῦ. ὅτι εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον θεοῦ. ἰδοὺ πάλιν πρόσωπον εἶπεν. ἀδύνατον γὰρ ἦν αὐτὸν εἰπεῖν. ὅτι εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι φύσιν θεοῦ. ὥστε οὐ ταυτὸν, φύσις, καὶ πρόσωπον.

Εἴρηται

Quæ sequuntur legenda sunt formâ interrogationis & responsionis.

CVM Deus Cain maledixit, vniuersæné humanæ naturæ maledixit; an vni personæ seu hypostasi? Clarum, quòd tantummodo eius qui deliquerat, personæ. Itaque persona & natura non sunt idem. Gen. 4.

Cùm Noë filium suum, à quo nuditas eius patefacta & irrisa fuerat, sic compellauit; *Maledictus Chanaan, seruus seruorū erit fratribus suis*; num communē trium filiorum naturam diris deuouit, an vnam ex tribus illis personam? Perspicuum, quòd solum Chami personam. Ergo idem non est persona & natura. Gen. 10.

Num translato Enoch à Deo, tota hominū natura translata est, an vnica duntaxat persona? Clarum, quòd sola persona Enoch. Non est ergo idem persona, & natura. Gen. 5.

Pari modo Christus cùm execratus est Iudam; non execratus est vniuersam Apostolorum naturam; sed vnam personam. Et ne videamur aduersariis narrare fabulas, agedū conferamus nos ad ea sacræ Scripturæ loca, in quibus propriè fit mentio personæ, cum de Deo sermo est. Matth. 26.

Proditum legimus, Patriarcham Iacob, post admirandam illam luctam, nominasse locum illum Phanuel: id est, visionem Dei; dixit enim; *Vidi Deum* πρόσωπον πρὸς πρόσωπον; *facie ad faciem*; quasi dicas, *personâ ad personam. Et salua facta est anima mea.* Dicat mihi Seuerus, magnus ille Philosophus; qui naturam, & personam idem esse contendit; num fieri potuerit, vt Iacob loco huius; *Vidi Deum*, πρόσωπον πρὸς πρόσωπον, diceret; Vidi Deum *naturâ ad naturam, & salua facta est anima mea?* Nequaquam. Non ergo idem est natura, & persona. Gen. 32. *Argumentum hoc nō est valde efficax, quia* πρόσωπον *plura significat, quàm personā.*

Accipe Iacobita alium à Iacobo, quasi funda missum lapidem. Dixit enim ad Esau fratrem suum: *Vidi* πρόσωπόν σου, *faciem tuam (personam tuam)* quasi viderim πρόσωπον, *vultum* Dei. En rursus dixit πρόσωπον. Fieri enim non poterat, vt diceret: Vidi πρόσωπόν σου, quasi quis videret, naturam Dei. Ergo idem non est persona, & natura. Gen. 33.

Εἴρηται πάλιν ἐν τῇ ἐξόδῳ. ὅτι εἶδον οἱ υἱοὶ Ἰσραὴλ τὸ πρόσωπον Μωσέως, ὅτι δεδόξασται. καὶ περιέθηκαν αὐτῷ κάλυμμα. καλύψαντες οὖν τὸ πρόσωπον Μωσέως, ἆρα τὴν φύσιν πᾶσαν αὐτοῦ ἐκάλυψαν, ἤγουν ὅλον τὸ γένος τοῦ Ἰσραήλ; οὐδαμῶς. ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον.

Καὶ πάλιν, ὅτι λέγει ἐπὶ τῆς βάτου. ὅτι καὶ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ Μωσῆς. ηὐλαβεῖτο γάρ. ἀδύνατον γὰρ εἰπεῖν. ὅτι καὶ ἀπέστρεψε Μωσῆς τὴν φύσιν αὐτοῦ. ὥστε οὐκέτι ταυτὸν, ἡ φύσις καὶ τὸ πρόσωπον.

Καὶ ὅτ' αὖ λέγει ὁ προφήτης πρὸς θεόν. ἐπίφανον τὸ πρόσωπόν σου. καὶ σωθησόμεθα. οὐ δύναται εἰπεῖν, ἐπίφανον τὴν φύσιν σου, καὶ σωθησόμεθα. ὥστε οὐ ταυτὸν ἡ φύσις, καὶ τὸ πρόσωπον.

Ἀλλὰ μὴν οὔτε πάλιν προσευχόμενος, καὶ φάσκων τῷ κυρίῳ ὅτι ἐξεζήτησέ σε τὸ πρόσωπόν μου. ἠδύνατο εἰπεῖν, ὅτι ἐξεζήτησέ σε ἡ φύσις μου. οὔτε γὰρ ἡ φύσις τῶν ἀνθρώπων τότε ἐξεζήτει τὸν θεόν. ἀλλ' ὁ Δαυίδ. ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον.

Καὶ πάλιν λέγων πρὸς θεὸν, ὅτι ἐγὼ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου. οὐκ ἠδύνατο ἀνταλλάξαι τὴν φωνὴν, καὶ εἰπεῖν. ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῇ φύσει σου. ἀδύνατον γὰρ τοῦτο. οὐκοῦν οὐ ταυτὸν, φύσις, καὶ πρόσωπον.

Καὶ Ἡσαΐας δὲ λέγων. ὅτι τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. οὐκ ἠδύνατο εἰπεῖν, ὅτι τὴν φύσιν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὥστε οὐ ταυτὸν, φύσις, καὶ πρόσωπον. Ἀλλ' οὐδὲ ὅτ' αὖ λέγει ὅτι ἔστησα τὸ πρόσωπόν μου ὥσπερ πέτραν στερεὰν, ἠδύνατο εἰπεῖν τὴν φύσιν μου. ὥστε οὐκέτι ταυτὸν φύσις, καὶ πρόσωπον, ὡς Σευῆρος ληρωδεῖ.

Ταῦτα λέγων, οὐ τὴν φύσιν μὲν τοῦ θεοῦ λέγω ἀόρατον, τὸ δὲ πρόσωπον αὐτοῦ ὁρατόν. ἄπαγε τῆς ἀτοπίας. ἀλλὰ μόνον βούλομαι δεῖξαι τοῖς αἱρετικοῖς τὴν διαφορὰν τῆς φωνῆς. καὶ ὅτι, οὐ πάντως ἔνθα ὀνομάζεται φύσις, δύναται καὶ πρόσωπον ὀνομάζεσθαι. οὔτε πάλιν, ἔνθα πρόσωπον λέγεται, δύναται τὸ αὐτὸ ἐκ παντὸς τρόπου καὶ φύσις προσαγορεύεσθαι. καὶ τοῦτο εὐθέως, καὶ ἐξ εὐαγγελικῆς, καὶ ἀποστολικῆς, ἀλλ' οὐχ ἑλληνικῆς παραδόσεως ἀποδεῖξαι πειράσομαι.

Φησὶ

In Exodo ſcriptum eſt : Iſraëlitas vidiſſe πρόσωπον, *faciem* Moyſis, glorificatam ; & poſuiſſe velamen ſuper faciem Moyſis. Cùm ergo πρόσωπον faciem Moyſis velaſſent; num ideo totam naturam eius velarunt ? vel totum genus Iſraëliticum? Nequaquam. Igitur idem non eſt natura & perſona. *Exod.34.*

* Et rurſus cùm de Moyſe ad rubum dicit : *Auertit* τὸ πρόσωπον *faciem ſuam Moyſes. Timebat enim* : fieri non potuit, vt diceret : auertit Moyſes *naturam ſuam* ; non eſt ergo idem natura, & πρόσωπον (perſona.) *Exod.3.* ** Omnia iſta procedunt ex homonymia vocis προσώπου. Quapropter infirma ſunt.*

Et quando Propheta ait ad Dominum. *Oſtende* (πρόσωπον) *faciem tuam, & ſalui erimus* ; non quiuit dicere ; *oſtende naturam tuam , & ſalui erimus* : igitur φύσις & πρόσωπον minimè idem erunt. *Pſal.79.*

Neq; cùm preces ad Dominũ fundens aiebat. *Exquiſiuit te* πρόσωπόν μου, *facies mea,* dicere potuit : *quæſiuit te,* φύσις, *natura mea.* Neq; enim hominum natura tunc quærebat Deum , ſed Dauid. Igitur idem non eſt natura & πρόσωπον. *Pſal.26.*

Rurſus alloquens Dominum. *In iuſtitia apparebo conſpectui* (προσώπῳ) *tuo* : non potuit mutata voce dicere : *Ego verò in iuſtitia apparebo* τῇ φύσει σου. *natura tua* : non eſt igitur idem φύσις & πρόσωπον. *Pſal.16.*

Sic Iſaias cùm dixit : *faciem meam non auerti ab increpantibus & conſpuentibus in me* : dicere non potuit, auerti φύσιν, *naturã meam à ſputorum opprobrio.* Itaque φύσις & πρόσωπον non ſunt idem. Sed neque cùm dixit ; *poſui faciem meam* (πρόσωπόν μου) *quaſi petram firmam* ; dicere potuit , naturam meam. Non ergo idem φύσις & πρόσωπον, vt Seuerus delirat. *Iſaia 50.* *Ibidem.*

Hæc cùm aſſero, minimè aſſero. naturam quidem Dei eſſe inaſpectabilem ; πρόσωπον verò aſpectabile ; apage hanc abſurditatem , ſed tantum volo , hæreticis diſcrimen vocis demonſtrare, quodque non poſſit planè fieri, vt vbi nominatur φύσις, *natura,* ibi etiam nominetur πρόσωπον , vel vice verſa, vbi προσώπου nomen ponitur ; ibi etiam omni modo ponatur nomen φύσεως, *naturæ.* Et hoc ſtatim ex Euangelica, & Apoſtolica, non ex Græcanica traditione demonſtrare conabor.

Dicit

Φησὶ γὰρ ὁ υἱὸς τοῦ θεοῦ πρός τινας. ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν ἐλαχίστων τούτων. λέγω γὰρ ὑμῖν. ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου ἐν οὐρανοῖς. εἰ δὲ ταὐτὸν φύσις, καὶ πρόσωπον, ἀντιστρέψω τὴν φωνὴν, καὶ λέγω. ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὴν φύσιν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ἀλλὰ μὴν ἀδύνατον τοῦτο, καὶ παντελῶς ἀμήχανον, καθὼς αὐτὸς ὁ θεὸς λόγος διδάσκει ἡμᾶς λέγων. ὅτι τὸν θεὸν οὐδεὶς ἑώρακε πώποτε. ὁ μονογενὴς υἱὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. εἰπὼν δὲ ὅτι οὐδεὶς θεὸν ἑώρακεν, οὐ περὶ ἀνθρώπων μόνον τοῦτο εἴρηκεν, ἀλλὰ καὶ περὶ τῶν ἀγγέλων. λοιπὸν λεγέτω Ἀκέφαλος, πῶς τὸ πρόσωπον τοῦ πατρὸς οἱ ἄγγελοι βλέποντες τὴν φύσιν οὐ βλέπουσιν; εἰ ἄρα ταὐτόν ἐστι, καθὰ φάσκετε, ἡ φύσις, καὶ τὸ πρόσωπον;

Ἄκουσον πάλιν καὶ Παύλου τοῦτο σαφῶς διδάσκοντος, καὶ ἀπόθου τὸ πολυθρύλλητόν σου ληρῴδημα, τὸ φάσκον ταὐτὸν ὑπάρχειν τὴν φύσιν, καὶ τὸ πρόσωπον. λέγει γοῦν πρὸς Κορινθίους περὶ τῶν καθαρῶν τῇ καρδίᾳ. ὅτι νῦν μὲν ὁρῶσι τὸν θεὸν ὡς ἐσόπτρῳ, καὶ αἰνίγματι. ἐν δὲ τῷ μέλλοντι αἰῶνι πρόσωπον πρὸς πρόσωπον. εἰπέ μοι λοιπὸν νῦν, ὁ λέγων, ταὐτὸν εἶναι τὴν φύσιν, καὶ τὸ πρόσωπον. ἆρα δυνατόν ἐστιν ἀντιστρέψαι τὴν φωνὴν, καὶ εἰπεῖν τότε δὲ φύσιν, πρὸς φύσιν ὄψονται οἱ δίκαιοι τὸν θεόν; Ἄπαγε. Αὐτὸς γὰρ Παῦλος ὁ θεῖος προσμαρτυρεῖ περὶ θεοῦ λέγων. ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὔτε ἰδεῖν δύναται. ὥστε οὐ ταὐτὸν φύσις, καὶ πρόσωπον. καὶ ἄλλας δὲ μυρίας τοιαύτας παραστάσεις ἐστιν εὑρεῖν ἐν τῇ θείᾳ γραφῇ. προσωπολογησάσας μὲν ὡς ἐν εἰκόνι τινὶ, καὶ ὀπτασίᾳ τὸν θεὸν, οὐδαμοῦ δὲ αὐτὸν φυσιολογησάσας. οὔτε γὰρ εὑρήσεις ἐν πάσῃ τῇ παλαιᾷ, καὶ καινῇ διαθήκῃ, φύσιν, ἢ οὐσίαν θεοῦ δηλωθεῖσαν, ἢ λεγομένην. ἀλλὰ πάντες οἱ ὀπτασίαν θεοῦ τοῦ ἀοράτου τυπικῶς, καὶ σκιωδῶς θεωρήσαντες, προσωπικὴν θέαν, ἀλλ' οὐ φυσικὴν οὐσίαν θεοῦ ἑωράκασιν. ὥσπερ ὁ Δανιὴλ, παλαιὸν ἡμερῶν πρόσωπον. καὶ ὡς υἱὸν ἀνθρώπου ἕτερον πρόσωπον ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Καὶ Ἡσαΐας ἐν εἴδει, καὶ σχήματι τυπικῷ ἀνθρωπίνου προσώπου ὀπτασίαν

εἶδεν.

Dicit enim filius Dei ad quosdam. *Videte, ne contemnatis vnum ex paruulis istis; dico enim vobis, quia Angeli eorum semper vident (τὸ πρόσωπον) faciem Patris mei in cœlis.* Caterùm hoc absolutè, & simpliciter est impossibile (si intelligatur de natura) sicuti ipsum Dei verbum nos docet his verbis. *Deum nemo vidit vnquam: vnigenitus, qui est in sinu Patris, ipse enarrauit.* Quod verò ait: *Deum nemo vidit vnquam:* id non solùm de hominibus pronunciauit; sed & de Angelis. De cætero explicet Acephalus, quomodo Angeli, qui πρόσωπον, *faciem*, patris vident, non videant naturam, si, vt contendunt, idem est natura, & πρόσωπον. Matth. 18

Audi & Paulum hæc tibi dilucidè exponentem, tandemque depone decantatam illam næniam; idem esse naturam, & πρόσωπον. Dicit igitur ad Corinthios de mundis corde; eos nunc quidem videre Deum, tanquam in speculo & ænigmate, in futura verò vita πρόσωπον πρὸς πρόσωπον, *facie ad faciem.* Cedo igitur tu, qui naturam, & πρόσωπον idem arbitraris, an inuertere liceat orationem, & dicere: Tunc *natura ad naturam* videbunt iusti Deum. Apage. Ipse enim Paulus testatur de Deo; *Quem nullus hominum vidit, sed nec videre potest.* Itaque idem non est φύσις & πρόσωπον. Huius generis innumera alia testimonia in scriptura inuenire licet, quæ Deum tanquam in imagine, & visione secundum πρόσωπον nobis repræsentēt; nulla autem, quæ secundum φύσιν seu naturam. neq; enim in veteri, aut nouo Testamento vsquam inuenies naturam Dei manifestatam, aut nominatam; sed omnes, qui inuisibilis Dei typica, & vmbratili visione dignati sunt, ij viderunt προσωπικὴν θέαν, quasi dicas, personalem seu facialem visionem, & non physicam, seu naturalem Dei substantiam. Sic Daniel vidit antiquum dierum πρόσωπον, & tanquam filium hominis, & alterum πρόσωπον *veniens cum nubibus cœli.* Et Isaias vidit in typica specie humanæ personæ, per visionem, *Dominum sedentem, super thronum excelsum & eleuatum & ea, quæ*

1. Cor. 13.

1. Tim. 6.

Dan. 7.

Isa. 6.

εἶδεν, τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου· οὐ τὴν θείαν φύσιν ὁρῶντες, ἀλλ' ὡς ἐν εἴδει τινὶ καθ' ὃ ἠδύναντο βλέπειν. καὶ καθ' ὃ ἐχώρουν ἐπιφαινομένου αὐτῆς ἐν ἀνθρωπίνῳ σχήματι τοῦ ἀοράτου, καὶ ἀσχηματίστου θεοῦ. εἰ δὲ ταυτὸν φύσις, καὶ πρόσωπον, πῶς οὐκ εἶπεν πρὸς θεὸν ὁ προφήτης. μὴ ἀποστρέψῃς τὴν φύσιν σου ἀπ' ἐμοῦ. ἀλλά, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. καὶ πάλιν· τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου. καὶ πάλιν· μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου. καὶ πάλιν· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς, τοῦ προσώπου σου κύριε. καὶ ἁπλῶς ἐν μυρίοις τόποις ἡ θεία γραφὴ πρόσωπον θεοῦ ὀνομάζουσα. οὐδαμοῦ φύσιν θεοῦ προσηγόρευσεν. ὥστε πρόδηλον, ὅτι οὐκ ἐστι ταυτὸν φύσις, καὶ πρόσωπον.

Ἀλλὰ καταχρηστικῶς φησὶ, καὶ καθ' ὃ δυνάμεθα ἀκοῦσαι, ἡ θεία γραφὴ πρόσωπον ἐπὶ θεοῦ προσηγόρευσεν. ὥσπερ καὶ χεῖρας, καὶ πόδας, καὶ ὦτα, καὶ πτέρυγας. καὶ ὀφθαλμοὺς. καὶ στόμα. καὶ τὰ λοιπὰ μέλη. ἐπεὶ ἀσώματον τὸ θεῖον, καὶ ἀπρόσωπον, καὶ ἀσχημάτιστον. ταῦτα τοῦ αἱρετικοῦ ἀντιλέγοντος συντίθημι τῷ λόγῳ. Ἀλλ' ἐκεῖνο πάλιν ἀντερωτῶ. ὅτι καὶ πῶς ἐν μυρίοις τόποις ἡ θεία γραφὴ καταχρηστικῶς, καὶ ἀλληγορικῶς εἰποῦσα πρόσωπον ἐπὶ θεοῦ. φύσιν, ἢ οὐσίαν οὐδαμῶς ἐπ' αὐτοῦ εἴρηκεν, οὐδὲ καταχρηστικῶς, οὔτε ἀλληγορικῶς, οὐδὲ συμβολικῶς. εἰ ἄρα, ὡς φατὲ ταυτὸν φύσις, καὶ πρόσωπον. ὥστε παντί που δῆλον. ὅτι οὐκ ἐστι ταυτὸν φύσις. καὶ πρόσωπον. καθὰ διὰ πλάτους ἐκ τῆς ἱερᾶς γραφῆς, παλαιᾶς τε, καὶ καινῆς ἀπεδείξαμεν.

Εἰ δὲ καὶ ζητεῖς λέγων, καὶ τίνος χάριν οἱ μακάριοι Προφῆται διὰ πάσης τῆς θείας γραφῆς προσώπου θεοῦ ἐπιφάνειαν, καὶ παρουσίαν ἐπεζήτουν; καὶ ηὔχοντο, καὶ προσεδόκουν, οὐ φύσεως; ἄκουσον περὶ τούτου λόγον πατρικὸν ὁμοῦ τε, καὶ πιστόν· καὶ μὴ ἀντείπῃς. γνόντες γὰρ δι' ἐνεργείας πνεύματος ἁγίου οἱ μακάριοι Προφῆται, καὶ Πατριάρχαι. ὅτι οὐ τὸ κοινὸν τῆς φύσεως τῆς ἁγίας τριάδος τὸ ὁλοτελὲς πλήρωμα, τῶν τριῶν προσώπων, πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος ἐπὶ γῆς ἐπιφαίνεσθαι, καὶ σαρκοῦσθαι μέλλει ἐπ' ἐσχάτων τῶν χρόνων. ἀλλὰ τὸ ἓν πρόσωπον, τοῦτ' ἐστιν ὁ θεὸς λόγος. τούτου

χάριν

sub ipso erant, replebant templum. Seraphim stabant super illud: sex alæ vni, & sex alæ alteri; qui quidem diuinam naturam non videbant in se, sed adumbratam in specie, cuius beneficio videre poterant, quantum quidem capaces erant Dei, alioquin ab omni aspectu & figura remoti. qui tunc sese humana specie conspiciendum exhibebat. Quod si natura, & πρόσωπον idem sunt, qui factum est, vt Propheta non diceret ad Deum: Ne auertas naturam tuam à me? Cur dixit? *Ne auertas* Psal.50.
faciem (πρόσωπον) tuam à me. Et rursus. τὸ πρόσωπον, *faciem tuam illumina super seruum tuum.* Iterum. *Ne proiicias me à facie (προσώ-* Psal.118.
πυ) tua. Rursus. *Signatum est super nos lumen vultus (προσώπυ)* Psal.4.
tui Domine; & vt paucis omnia complectar, scriptura diuina infinitis locis πρόσωπον Dei nominatim exprimens, nusquam id naturã Dei appellauit. Quare non idem natura cũ persona.

At sacra Scriptura per abusionem, vtque nostro intelligendi modo sese accommodaret, πρόσωπον Deo tribuit, sicut manus, pedes, aures, alas, oculos, os, & reliqua membra, cùm tamen Deus sit corporis figuræque expers, & ἀπρόσωπος. Equidem hæc hæretico opponenti, non inuitus assentior: sed quæro cur, & quomodo diuina Scriptura sexcentis locis abusiuè & allegoricè Deo πρόσωπον tribuerit, de eodem φύσιν seu ἰσίαν nunquam prædicarit neque abusiuè, neq; allegoricè, neque Symbolicè, si, vt vobis placet, idem est natura, & πρόσωπον? Itaq; cunctis manifestus est non esse idem naturam & πρόσωπον, quemadmodum copiosè ex sacra Scriptura, antiqua & noua, demonstrauimus.

Si quæras, quamobrem beatissimi Prophetæ in omnibus diuinarũ litterarum locis diuini προσώπυ apparitionem, præsentiamque quæsierint, expetierint, atque exspectarint, non naturæ: audi quid Patres hac de re rectè & fideliter tradiderint; nam cùm Prophetæ & Patriarchæ, Spiritus sancti instinctu, cognouissent, non communem sanctissimæ Trinitatis naturam, complementum illud, & plenitudinem trium personarum, Patris, & Filij, & Spiritus sancti, vltimis temporibus in terra apparituram, carnemque assumpturam; sed vnam duntaxat personam, hoc est, Dei verbum; ideo

χάριν, οὐ τὴν τριαδικὴν οὐσίαν θεοῦ ἐπιδημῆσαι ἔλεγον, ἀλλὰ προσώπου θεοῦ ἐπιφάνειαν ἐκήρυττον, καὶ προσηύχοντο ὡσανεὶ σαφῶς, καὶ ἀριδήλως τὸ πρόσωπον τοῦ θεοῦ λόγου, καὶ τὴν αὐτοῦ ἐπὶ γῆς παρουσίαν ἐπιζητοῦντες, καὶ πρὸς αὐτὸν λέγοντες· ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. καὶ, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου κύριε ζητήσω. καὶ, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς ὁ θεὸς, καὶ ἐλέησαι ἡμᾶς. καὶ πάλιν· τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, τουτέστιν, ἐπὶ τὸν ἄνθρωπον, ὃν ἔπλασας. ἰδικοῦ προσώπου θεοῦ, ἤγουν τοῦ ἑνὸς τῆς ἁγίας τριάδος παρουσίαν οἱ προφῆται κηρύττοντες, τουτέστι τοῦ θεοῦ λόγου, καὶ οὐ φύσεως κοινῆς. καὶ εἰ δεῖ σαφέστερον εἰπεῖν. ἐνουσίου προσώπου θεοῦ παρουσίαν καταγγέλλουσι· καὶ οὐ τρισυποστάτου τριάδος ὁλικὴν τριπρόσωπον σάρκωσιν. ὥστε οὐ ταυτὸν ἡ φύσις, καὶ τὸ πρόσωπον, ὡς μυριάκις εἶπον.

Ταῦτα δέ μου ἐκ τῆς θείας γραφῆς, καὶ τῶν προφητῶν λέγοντος, φοβοῦμαι, καὶ ἀγωνιῶ, καὶ τρέμω, μή πως διελεγχθεὶς ὑπὸ τῶν τοιούτων ἐλέγχων ὁ Σευῆρος, τῆς σοροῦ ἐκ νεκρῶν ἀναπηδήσας, καὶ τὸ δεκακέρατον αὐτοῦ συγκαλέσας, καὶ σύνοδον ποιησάμενος, τὴν ἐκβολὴν, καὶ ἀποστροφὴν Χριστοῦ τε, καὶ Μωσέως, καὶ Παύλου, καὶ τῶν προφητῶν, καὶ εὐαγγελιστῶν ποιήσεται, καθάπερ καὶ ἐπὶ τῶν διδασκάλων πεποίηκε, καὶ νομοθετήσει λέγων· ὅτι ἕως μὲν τῶν καιρῶν Νεστορίου πισταὶ, καὶ βέβαιαι ὑπῆρχον αἱ τοῦ Χριστοῦ, καὶ τῶν Προφητῶν, καὶ Αποστόλων φωναί. ἀπὸ δὲ τῶν καιρῶν Νεστορίου ἀπεδοκιμάσθησαν. καὶ οὐκ ἔτι ἀσφαλής ἐστιν ἡ παλαιὰ, καὶ καινὴ διαθήκη· μὴ λέγουσα ταυτὸν τὴν φύσιν, καὶ τὸ πρόσωπον. πρὸς γὰρ τὰς ἀνακυπτούσας αἱρέσεις χρὴ παραλλάττειν καὶ μεταστρέφειν τὰς θείας γραφάς. καὶ, τοὺς πατέρας. καὶ νῦν μὲν δέχεσθαι, νῦν δὲ ἀπορρίπτειν αὐτάς.

Ταῦτα δὲ ποιεῖ ὁ Σευῆρος στενωθεὶς, καὶ ἀπορήσας δι' οἰκ προσώπου ἀκυρῶσαι τὰς τῶν ἁγίων πατέρων περὶ τῶν δύο φύσεων Χριστοῦ φωνάς. λοιπὸν δὲ μήτε νοῶν ἀποστολικῶς, ἀλλὰ ἑλληνικῶς τὴν φύσιν. εἰ γὰρ ἠκολούθησε Παύλῳ, καθάπερ ἡ ἁγία ἐκκλησία,

οὐδὲν

non naturam illam Dei tribus personis communem nobiscum conuersaturam, vel conuersatam esse prædicarunt, sed vnam personam diuinam apparuisse annunciarunt & vt appareret, exoptarunt; tanquam apertè, & absque velamentis personam diuini verbi, eiusque in terra præsentiam inquirentes, eique acclamantes: *Ostende* (πρόσωπον) *faciem tuam, & salui erimus.* Et, *exquisiuit te* (πρόσωπον) *facies mea: vultum tuum domine requiram.* Et, *Illuminet* (πρόσωπον) *vultum suum super nos, & misereatur nostri.* Iterum: *Faciem* (πρόσωπον) *tuam, illustra super seruum tuum*, hoc est, super hominem, quem finxisti. Designatæ personæ diuinæ, siue vnius ex sancta Trinitate, aduentum Prophetæ annunciarunt, non communis naturæ. Et si clarius hoc dicere oportet, vnius personæ diuinæ in essentia diuina subsistentis aduentum annuntiant, non totius Trinitatis in tribus personis subsistentis incarnationem; vt proinde idem non sit natura, & persona, quemadmodum iam sæpius dictum.

Psal. 79. *Psal. 26.* *Psal. 66.* *Psal. 30.*

His ex diuinis litteris, Prophetisque allatis, etiam atque etiam metuo, anxieque sollicitor, ne huiusmodi refutationibus exstimulatus Seuerus, ex tumulo exiliens, suumque decicornem cœtum conuocans, collecta Synodo; Christum, Moysen, Paulum, Prophetas, & Euangelistas repudiet, proculque à se amandet; eo modo, quo cum Ecclesiæ doctoribus egit; & quasi lege lata edicat: vsque ad Nestorij ætatem dicta Christi, Prophetarum, & Apostolorum substitisse, omnemque fidem meruisse; sed à Nestorij tempore repudiari debere; neque periculo vacare vetus & nouum Testamentum, quod non asserat naturam, & personam, vnum & idem esse; Nam ad exsistentes hæreses, variandas esse, & inuertendas diuinas litteras, sanctorumq; Patrum assertiones, easq; modo recipi modò repudiari debere.

Hæc molitur Seuerus in angustias redactus, mentisque dubius, quà tandem quasi persona sanctorum Patrum de duabus in Christo naturis dicta reddat irrita. Et tandem non Apostolorum, sed Græcorum more naturam accipit. Si enim vestigia Pauli sibi sequenda duxisset, sicut fecit Ecclesia,

οὐδὲν ἕτερον εἶχεν εἰπεῖν τὴν φύσιν εἶναι; εἰ μὴ τὴν τοῦ πράγματος ἀλήθειαν. ἐπεὶ πῶς νοήσωμεν τὸ λεγόμενον τῷ Ἀποστόλῳ; ὅτι καὶ ἦμεν ποτὲ τέκνα φύσει ὀργῆς. τί ἐστι φύσει ὀργῆς, εἰ μὴ ἐν ἀληθείᾳ ὀργῆς; Καὶ ἠδυνάμην περὶ τούτου, καὶ ἐκ τῶν ἁγίων πατέρων πιστῶσαι τὴν φωνὴν, ὅτι οὐδὲν ἕτερον σημαίνει ἡ φύσις, ἢ μὴ τὴν ἀλήθειαν. Ἀλλὰ φοβοῦμαι, μὴ εἴπῃ μοι Σευῆρος, ὅτι ἐπὶ Νεστορίου ἀποδοκιμάσθη καὶ αὐτὴ ἡ φωνή. πλὴν φέρε ἐπ' αὐτοῦ τοῦ χρόνου, καὶ τοῦ βράσματος τοῦ δυσσεβοῦς Νεστορίου παραστήσωμεν αὐτὸν τὸν φωστῆρα, καὶ τοῦ χοροῦ τῶν πατέρων ἀοίδιμον τὸν μακάριον Κύριλλον, τὴν φύσιν, ἀλήθειαν εἶναι διδάσκοντα ἀποστολικῶς. ὅτι καὶ φαίνεται ἐν διαφόροις τόποις εἰρηκὼς φυσικὴν γέννησιν ἐπὶ Χριστοῦ· καὶ φυσικὴν ἕνωσιν, ἐν οἷς ἐπιλαβομένου Θεοδωρήτου τῶν τοιούτων φωνῶν, ἑρμηνεύει ἑαυτὸν ὁ θεόφρων Κύριλλος ἐν ταῖς ἀπολογίαις τῶν δώδεκα ἀναθεματισμῶν, φάσκων. ὅτι φυσικὸν τὸ ἀληθινὸν εἶναι εἴρηκεν ἀποστολικῶς. καὶ πᾶσα δὲ ἡ Αἰγυπτίων, καὶ Ἀλεξανδρέων μάλιστα συνήθεια, φυσικὰ τὰ ἀληθῆ τῶν πραγμάτων ὀνομάζει. ὅτι καὶ ἀληθεύων ἕτερος πρὸς τὸν ἕτερον ἐν ταῖς διαλέξεσι φησὶν, ὅτι φυσικά σοι λέγω, τοῦτ' ἐστιν, ἀληθινά. Ἄρα δυνάμεθα ἀντιστρέψαι τὴν τοιαύτην φωνὴν, καὶ εἰπεῖν, ὅτι προσωπικά σοι λέγω; οὐδαμῶς. οὔτε γὰρ ἔχει ὅλως ἀκολουθίαν τὸ ῥῆμα. ὥστε οὐ ταυτὸν φύσις, καὶ τὸ πρόσωπον. καὶ μὴ γελάσῃς τὰ λεγόμενα. ἐξ Ἀποστολικῆς γὰρ παραδόσεως ἀλήθειαν εἶναι τὴν φύσιν παρέλαβον ὀνομάζειν. καὶ οὐ ταυτὸν εἶναι τὴν φύσιν, καὶ τὸ πρόσωπον. ἐπεὶ εἰπέ μοι σύ.

Ἰδοὺ κατηράσατο ὁ μακάριος Πέτρος ὁ μάρτυς ἐν Ἀλεξανδρείᾳ, τὸν μιαρὸν Ἄρειον λέγων. Ἄρειος, καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι κεχωρισμένος ἔσται τοῦ υἱοῦ τοῦ θεοῦ. Λοιπὸν ἡ κατάρα αὕτη εἰπέ μοι, εἰς ἓν πρόσωπον συντείνει, ἢ εἰς τὸ κοινὸν τῆς φύσεως; πρόδηλον, ὅτι εἰς τὸ τοῦ Ἀρείου, καὶ μόνον πρόσωπον. ὄντως κοινωνοὶ τῆς τοιαύτης κατάρας τυγχάνετε ὁμοίως, καὶ πάσης ἑτέρας κατάρας δοθείσης προσώπῳ ἑλληνικῷ, ἢ αἱρετικῷ.

Ἀλλ'

vtique naturam nihil aliud esse dixisset, quàm rei veritatem: Quomodo enim aliter accipiam illud Apostoli: dicentis: *eramus aliquando filij iræ naturâ.* Quid est *naturâ iræ*, nisi in veritate iræ? Possem & ex sanctis Patribus multa testimonia adducere, quibus planum facerem, naturam nihil aliud significare, quàm veritatem; sed metuo, ne dicat mihi Seuerus, hanc vocem, Nestorio exorto, reiectam & reprobatam esse. Adducam tamen eum ipsum, qui cum Nestorij impietas ebulliit, florebat, sanctum Cyrillum, lumen illud Patrum celeberrimum, & beatissimum, qui Apostolos secutus docet naturam esse veritatem. Quare multis quoque operum suorum locis nominat in Christo naturalem natiuitatem, & naturalem vnionem: quas voces cùm Theodoretus reprehendisset, explicat seipsum diuinus Cyrillus in Apologiis, quas pro duodecim anathematismis scripsit; dicens, se physicum, seu naturale accepisse, Apostolorum more pro vero: cui Aegyptiorum & Alexandrinorum consuetudo maximè consentit, quæ naturalia vocare consueuit, *vera rerum*. Hinc cùm alter alteri vera loquitur, dicere solet in colloquiis; Physica, (naturalia) tibi dico, hoc est, *vera*. Num immutare licebit hanc vocem, eiusque loco dicere; *προσωπικά, personalia tibi dico?* Nequaquam. Neque enim eandem vim & ordinem habet hoc vocabulum. Itaque natura, & persona non sunt idem. Neque est quod dicta rideas, Ex Apostolica enim traditione manauit, vt *natura* vocaretur *veritas*; Vnde etiam accepimus naturam & personam distingui. Ephes. 2.

Ecce beatus Petrus Martyr Alexandrinus execrationi deuouit Arium his verbis vsus. *Arius & in præsenti, & in futuro sæculo separatus sit à filio Dei.* Dic mihi, num hæc execratio, seu maledictio tendit in vnam personam, an in communem hominum naturam? Clarum, quòd in solam Arij personam. Verè participes estis huius, & cuiusuis alterius execrationis, siue in Græcanicam, siue in hæreticam personam pronunciatæ. At non ita se veritatis ratio habet:

Ἀλλ' οὐχ οὕτως ἔχει ὁ λόγος ἐν ἀληθείᾳ. οὔτε γὰρ ἐὰν λεπρωθῇ ἓν πρόσωπον ἀνθρώπου, δύναται λέγειν, ὅτι ἡ φύσις τῶν ἀνθρώπων ἐλεπρώθη. οὔτε πάλιν. ὅτι κατεκλύσθη ἐπὶ τοῦ κατακλυσμοῦ τὸ κοινὸν τῆς φύσεως τῶν ἀνθρώπων δυνατὸν εἰπεῖν, ὅτι πρόσωπον τοῦ δεῖνος τοῦ ἀνθρώπου κατεκλύσθη. οὔτε πάλιν ἐὰν ἐρημωθῇ οὐσία κτήτορος, δύναται εἰπεῖν, ὅτι τὸ πρόσωπον, ὡς πολλάκις εἶπον, τὸ ἰδικὸν σημαίνει. ἡ δὲ φύσις τὸ καθολικὸν, καὶ τὴν τοῦ πράγματος ἀλήθειαν, καθ' ὡς παρεστήσαμεν, ἐκ νομικῆς, καὶ προφητικῆς, καὶ δεσποτικῆς, καὶ εὐαγγελικῆς, καὶ ἀποστολικῆς, καὶ διδασκαλικῆς, καὶ δημιουργικῆς παραδόσεως. καὶ τούτῳ τῷ κανόνι ἡ καθολικὴ ἐκκλησία στοιχοῦσα λέγει, ἐν χριστῷ τῷ θεῷ δύο ἡνωμένας καθ' ὑπόστασιν φύσεις, ἤγουν δύο ἀληθῆ πράγματα θεότητα λέγω, καὶ ἀνθρωπότητα ἀσυγχύτως, καὶ ἀδιαιρέτως.

Εἰ οὖν καθὼς ὁ λόγος πολυτρόπως, καὶ πολυμερῶς ἀπέδειξεν, ἡ φύσις ἀλήθειά ἐστιν, μανθανέτωσαν πάντες οἱ μὴ λέγοντες, φύσιν τὴν ἀνθρωπότητα τοῦ χριστοῦ, ὥσπερ καὶ τὴν θεότητα αὐτοῦ· ὅτι περ οὐ λέγουσιν ἀλήθειαν τὴν σάρκα τοῦ χριστοῦ, καὶ τὴν ψυχήν. εἰ δὲ ἀλήθειά ἐστι, πρόδηλον, ὅτι φύσις ἐστιν. εἰ δὲ οὐκ ἔστι φύσις, οὐκ ἔστιν ἀλήθεια. εἰ δὲ ἐν ἀληθείᾳ ἄνθρωπος γέγονε, φύσει ἄνθρωπός ἐστι, καὶ μετὰ τὴν ἕνωσιν ὁ χριστὸς, καὶ φύσει θεὸς, φύσει ἄκτιστος, καὶ φύσει κτιστὸς ὁ αὐτὸς, τοῦτ' ἔστιν ἐν ἀληθείᾳ, καὶ ἀληθείᾳ. μὴ ἀρνήσῃ τὴν φύσιν τῆς σαρκὸς ὦ αἱρετικέ. ἐπεὶ τὴν ἀλήθειαν ἠρνήσω. ἡ ἀλήθεια γάρ ἐστιν ἡ φύσις· ἐὰν μονότροπον ἔχῃ τὴν φύσιν ὁ χριστὸς, μονοτρόπως ἐστὶν ἀληθής· καὶ καθ' ἕτερον τρόπον ψευδής. εἰ δὲ ἐν θεότητι, καὶ ἀνθρωπότητι ἀληθής ἐστι, πρόδηλον ὅτι τὰς δύο ἔχει ἀληθεῖς φύσεις. ὅτι ἡ φύσις ἡ ἀλήθειά ἐστιν.

Ὅπερ δὲ πεπόνθασιν οἱ μιαροὶ, Ἄρειος λέγω, καὶ Σαβέλλιος ἐπὶ τοῦ τριαδικοῦ λόγου· ταυτὸν καὶ Νεστόριος, καὶ Σευῆρος ἐπὶ τοῦ τῆς οἰκονομίας λόγου πεπόνθασι. Σαβέλλιος μὲν γὰρ σύγχυσιν φανταζόμενος ἐπὶ τῆς θεότητος, μίαν ὑπόστασιν πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἔλεγεν. Ἄρειος δὲ πάλιν ὁ

μιαρὸς

habet : neque enim si vna hominis persona sit infecta lepra, ideo dicere licet, naturam humanam à lepra correptam esse. Neque rursus, in diluuio submersam esse communem homi- Gen. 8. num naturam; ideo dicere poteris, eò quòd hæc vel illa persona cuiusdam hominis fuerit submersa. neque si οὐσία (substantia pro facultatibus) destituatur possessore, substituere poteris πρόσωπον in locum vsiæ seu substantiæ. Nam, vt sæpius dictum, πρόσωπον proprium significat, natura verò id, quod cõmune est, ipsamque rei veritatem, vt ostendimus ex traditione Legis, Prophetarum, Christi, & Euangelij, Apostolorum, Doctorum, ipsiusque conditoris; Et hunc canonẽ sequẽs Catholica Ecclesia, duas in vna hypostasi vnitas naturas, siue, duas res veras, diuinitatem, inquam, & humanitatem, inconfusè & indiuisè in Christo profitetur.

Si igitur, vt multis argumentis hactenus fusè demonstrauimus, natura veritas est; restat, vt omnes, qui humanitatem Christi naturam appellare abnuunt; quemadmodum & diuinitatem illius, intelligant; se carnis & animæ Christi veritatem negare. *Si verò veritas est, clarè* liquet naturam quoque esse. *Et si non est natura, non est* veritas. Si autem in veritate homo *factus est*, Christus naturâ homo erit etiam post vnionem; naturâ Deus; naturâ increatus; naturâ creatus, hoc est, in veritate & veritate. Ne inficieris, ô hæretice, naturam carnis, quia veritatem negasti. nam veritas est natura. Si vniformem Christus naturam habet, vniformiter verus est : & alio modo falsus : si verò in diuinitate & humanitate veritas est, liquet eum duas veras possidere naturas, quia natura veritas est.

Porrò quod execrando Ario & Sabellio euenit in mysterio Trinitatis; hoc accidit Nestorio & Seuero in diuini Verbi incarnatione. Sabellius enim confusionem in diuinitate per phantasiam suam architectatus, vnam hypostasin Patris, & Filij, & Spiritus sancti constituit. Scelestus autem Arius bellum, quasi contra Sabellium gerere volens, tres substantias

μιαρὸς πολεμεῖν Σαβελλίῳ δοκῶν τρεῖς οὐσίας ἐπρεσβευεῖς ἐπὶ τῆς ὁμουσίου τριάδος ἔφασκεν. ἡ δὲ ἁγία ἐκκλησία τὴν βασιλικὴν τοῦ θεοῦ ὁδὸν ἐκλεξαμένη, ἀπεβάλετο τὴν Σαβελλίου σύγχυσιν, καὶ Ἀρείου διαίρεσιν. τρία μὲν τὰ πρόσωπα, καὶ οὐχ ἓν πρόσωπον τὴν ἁγίαν τριάδα λέγουσα, μίαν δὲ τὴν οὐσίαν αὐτῶν, καὶ οὐ τρεῖς οὐσίας εὐσεβῶς ὁρίζουσα. οὕτω πάλιν καὶ Νεστορίου τοῦ δυσσεβοῦς δύο πρόσωπα ἐπὶ χριστοῦ δογματίζοντος, Σευήρου δὲ δυστυχοῦς μίαν φύσιν τὸν χριστὸν φάσκοντος ἡ ἁγία ἐκκλησία ὁμοίως ἀπεβάλετο, καὶ τὴν Νεστορίου διαίρεσιν ἓν πρόσωπον τὸν χριστὸν κηρύττουσα. ὡσαύτως, καὶ τὴν Σευήρου σύγχυσιν, δύο ἡνωμένας καθ' ὑπόστασιν φύσεις, ἀσυγχύτως, καὶ ἀδιαιρέτως τὸν ἕνα καὶ μόνον χριστὸν, υἱὸν, κύριον, Ἰησοῦν ἐκδιδάσκουσα· μυσαττομένη ἐπ' ἴσης καὶ τὴν Σευήρου σύγχυσιν, καὶ τὴν Νεστορίου τοῦ ἀσεβοῦς διαίρεσιν.

Ἡ μὲν οὖν καθολικὴ ἐκκλησία τοῦ θεοῦ, οὐκ Ἀριστοτελικῶς, καὶ ἑλληνικῶς τὸν χριστὸν δογματίζει. ἀλλ', ὡς πολλάκις εἶπον, εὐαγγελικῶς, καὶ ἀποστολικῶς, οὐκ ἐν πειθοῖς* πυθαγορικῆς σοφίας λόγοις, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ χριστοῦ. Ὁ μὲν γὰρ Ἀριστοτέλης φύσιν εἶναι λέγει, ἀρχὴν κινήσεως, καὶ ἠρεμίας. ἡ δὲ εὐσεβὴς τῶν Ἀποστόλων παράδοσις, οὔτε ἀρχὴν κινήσεως, οὔτε ἠρεμίαν, ἤγουν τέλος ὁμολογεῖ ἐπὶ τῆς θείας φύσεως. διὸ φύσιν λέγει ἡ εὐαγγελικὴ φύσις, αὐτὸ τὸ πρᾶγμα τὸ πεφυκὸς, καὶ ὑπάρχον ἐν ἀληθείᾳ. τὸ γὰρ μὴ ὂν ἐν ἀληθείᾳ, καὶ οὐσίᾳ, εὔδηλον ὅτι ἐν δοκήσει, καὶ φαντασίᾳ λέγεται μὲν, οὐχ ὑπάρχει δέ. καὶ ἤδη μὲν περὶ τούτου ἀπεδείξαμεν κατὰ τὸ ἡμῖν ἐφικτὸν, ἔκ τε γραφικῶν, καὶ φυσικῶν, καὶ πραγματικῶν παραστάσεων· ὅτι ἕτερόν ἐστιν ἡ φύσις, καὶ ἕτερον ἡ ὑπόστασις, ἤτοι πρόσωπον. ἀλλ' ἀντιλέξει πάντως ταῖς ἡμετέραις γνώμαις, καὶ τοῖς παραδείγμασιν ὁ δι' ἐναντίας νομίσας ἡμᾶς ἀπορεῖν διδασκαλικῶν περὶ τούτου παραστάσεων. καὶ τούτου χάριν οἰκείοις λογισμοῖς λοιπὸν ἐξ ἀπορίας χρησαμένοις. οὐκ οὖν ἵνα μὴ καὶ ἡμεῖς τὴν αὐτὴν ὁδὸν Σευήρου βαδίσωμεν, τὸν χορὸν τῶν ἁγίων πατέρων, καὶ τὰς τούτων φωνὰς ἀπωθούμενοι, καὶ ἀνατρέποντες, φέρε καὶ πατρικῶς, ὁμοῦ τε καὶ συνοδικῶς ἀποδείξωμεν ὅτι ἕτερον μέν ἐστι τὸ κοινὸν τῆς φύσεως ἑκάστης τῶν ὄντων ὑπάρξεως

* Ita Sch.

ἐν

diſsimiles in conſubſtantiali Trinitate confinxit. At Eccleſia ſancta regiam viam ingreſſa repudiauit tam Sabellij confuſionem, quàm Arij diuiſionem; tres enim perſonas, non vnam duntaxat in ſancta Trinitate, vnamque illarum ſubſtiarum, non tres ſubſtantias piè profitetur. Sic impio Neſtorio duas in Chriſto perſonas conſtituente, miſerrimo autem Seuero, vnam in Chriſto naturam profitente; Sancta Eccleſia tam Neſtorij diuiſionem reprobauit, vnam in Chriſto perſonam prædicans; quàm Seueri confuſionem reiecit, docens vnum & ſolum Chriſtum Dominum noſtrum eſſe duas in hypoſtaſi inconfusè & indiuisè vnitas naturas; pariterque deteſtans Seueri confuſionem, & impij Neſtorij diuiſionem.

Catholica igitur Dei Eccleſia doctrinam de Chriſto non Ariſtotelis, aut Græcorum more tradit; ſed, vt iam ſæpè diximus, Euangelicè & Apoſtolicè, non in *perſuaſibilibus Pythagoricæ ſapientiæ verbis; vt non euacuetur crux Chriſti.* * Ariſtoteles enim dicit naturam eſſe principium motus & quietis. At pia & ab Apoſtolis profecta traditio, neque principium motus, neque quietem ſiue finem in diuina natura ſtatuit. Quare Euangelica natura definit naturam eſſe ipſam rem aptam natam, & in veritate ſubſiſtentem. Nam quod non eſt in veritate & ſubſtantia, id in exiſtimatione & phantaſia dicitur quidem, ſed non ſubſiſtit. De qua re jam pro viribus diſputauimus probationibus ex ſcriptura, naturâ, & ex rebus ipſis allatis, quibus planum fecimus, aliud eſſe naturam; aliud hypoſtaſin ſeu perſonam. Sed omnibus hiſce argumentis, & exemplis refragabitur aduerſarius, ratus nos deſtitui probationibus ex patribus ſeu doctoribus, eiuſque gratia nos propriis cogitationibus ex penuria ſolidiorum argumentorum vſos eſſe. Igitur ne & ipſi videamur viâ Seueri incedere, ſanctorumque Patrum cœtum; eorumque dicta vilipendere & auerſari, agedum ex Patribus quoque atque ex Synodis demonſtremus, aliud eſſe id quod commune eſt cuiuis naturæ in hac rerum vniuerſitate exiſtenti, ſiue in cœlo,

* *Hac natura definitio, nihil officit doctrina Euangelica & Apoſtolica de Deo.*

ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς. ἕτερον δὲ πάλιν τὸ ἰδικὸν τῆς προσωπικῆς ὑποστάσεως. ποιήσομαι δὲ τὴν τοιαύτην παράστασιν οὐκ ἐξ ἑνός τινος ἁγίου στόματος, οὔτε ἐξ ἑκατὸν, ἀλλ' ἐκ τριακοσίων, δέκα καὶ ὀκτὼ πατέρων. ἐν οἷς πλεῖστοι μὲν γεγόνασι Χριστοῦ μάρτυρες, πλεῖστοι δὲ σημειοφόροι. ἴσως τὸ τοσοῦτον πλῆθος αἰδεσθεὶς ὁ Σευῆρος, καὶ οἱ σὺν αὐτῷ παύσονται λοιδοροῦντες ἡμᾶς.

ΚΕΦΑΛΑΙΟΝ ἘΝΝΑΤΟΝ.

Περὶ φύσεως, καὶ ὑποστάσεως ἐκ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ.

ΑΝέφυ ποτὲ δυάς τις πονηρὰ ζιζανιόσπορος αἱρεσιαρχῶν, ὥσπερ τις Ἄννας, καὶ Καϊάφας, ἢ Πιλάτος καὶ Ἡρώδης εἰς θεὸν βλασφημούντων, Ἄρειος λέγω, καὶ Σαβέλλιος, οἱ Σευήρου διδάσκαλοι, ταυτὸν λέγοντες καὶ αὐτοὶ τὴν φύσιν, καὶ τὸ πρόσωπον. ὁ μὲν Σαβέλλιος ἓν πρόσωπον, καὶ μίαν οὐσίαν λέγων ἐπὶ τῆς ἁγίας τριάδος. ὁ δὲ Ἄρειος τρία πρόσωπα, καὶ τρεῖς οὐσίας. ἀμφότεροι ταυτὸν λέγοντες εἶναι τὴν φύσιν, καὶ τὸ πρόσωπον. ὧν τὴν ἀσέβειαν καὶ τὸ τοιοῦτον φρόνημα ἀνατρέπουσα ἡ ἁγία, καὶ μακαρία πρωτότοκος τοῦ ἁγίου πνεύματος οἰκουμενικὴ σύνοδος τῶν ἐν Νικαίᾳ τιη. πατέρων τῶν ἀοιδίμων, διδάσκουσα σαφῶς ἡμᾶς· ὅτι ἕτερόν ἐστιν ἡ οὐσία, ἤτοι ἡ φύσις· καὶ ἕτερον ἡ ὑπόστασις. οὕτω βοᾷ.

Τοὺς δὲ λέγοντας, ἦν ποτε, ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ. καὶ πρὶν γεννηθῆναι, οὐκ ἦν. καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας, φάσκοντας εἶναι τὸν υἱὸν τοῦ θεοῦ· τρεπτὸν, ἢ ἀλλοιωτὸν, τούτους ἀναθεματίζει ἡ ἁγία, καθολικὴ, καὶ ἀποστολικὴ ἐκκλησία.

Παρέστωσαν λοιπὸν κατάκριτοι, ὡς κατάδικοι τῇ ἁγίᾳ, καὶ μακαρίᾳ ταύτῃ συνόδῳ δίκας εἰσπραττόμενοι, καὶ ὅλον τὸ συνέδριον τῆς

δεκα-

fiue in terra: aliud verò id, quod personæ siue hypostasi proprium est; Huius verò rei probationem non instituam ex vnius sancti ore, neque ex centum; sed ex trecentis decem & octo patribus, in quibus plurimi fuerunt Christi Martyres plurimi (miraculorum patratores seu) notas & signa suppliciorum in corpore suo gestantes. Fortè Seuerus & asseclæ eius totam multitudinem reueriti desinent nos calumniis incessere.

CAPVT NONVM.

De natura & hypostasi ex sacrosancta Synodo Nicæna.

EXSTITERVNT olim duo pessimi, & zizaniorum feracissimi hæresiarchæ, tanquam Annas quispiam & Caiphas, vel Pilatus, & Herodes Deum blasphemantes. Arius, inquam, & Sabellius, Magistri Seueri, qui & ipsi affirmabāt idem esse naturam & personam, & Sabellius quidem vnam personam, & vnam substantiam in sanctissima Trinitate constituebat. Arius verò tres personas, & tres substantias seu naturas: docebantque ambo naturam & personam idem esse. Quorum impietatem, peruersamque sententiam euertit & condemnauit sanctissima illa & beatissima, Spiritus sancti quasi vnigenita filia, vniuersalis Synodus Nicæna. CCCXVIII. celeberrimorum Patrum, dilucidè docens, aliud esse essentiam seu naturam, aliud hypostasin; sic enim loquitur.

Eos, qui asserunt; Erat, quando non erat: filius Dei, & antequam gigneretur, non erat, Et ex nō existentibus factus est, vel qui dicunt, ex alia hypostasi, vel substantia filium Dei esse, mutabilem & alterabilem, anathemati subiicit sancta, Catholica, & Apostolica Ecclesia.

Quod reliquum est, adueniant iam damnata illa capita; & tanquam condemnationis sententia iure optim o percussa,

καταισχύνουσιν, ὅτι ἀνατρέψουσι τὸν τοιοῦτον ὅρον, καὶ νόμον. ὥστε ὡς ἐνώπιον θεοῦ ἀπροσωπολήπτως, καὶ ἀπροσωπαθῶς λέγω· ὅτι τοῖς ὀρθῶς νοοῦσι κατὰ Σευήρου, καὶ Διοσκόρου, καὶ πάντων τῶν λεγόντων τὴν φύσιν ὑπόστασιν, καὶ πρόσωπον, εὑρίσκεται γινομένη ἡ ἁγία σύνοδος ἡ ἐν Νικαίᾳ. Οὐ μὴν δὲ, ἀλλὰ καὶ κατὰ Νεστορίου τοῦ δυσσεβοῦς. καὶ αὐτὸς γὰρ ὁμοίως τῷ Σευήρῳ πρόσωπον λέγει τὴν φύσιν. εἰ δὲ ἡ φύσις πρόσωπόν ἐστιν, ἀκαίρως καθεῖλε Σαβέλλιον ἡ ἁγία τῶν ἐν Νικαίᾳ σύνοδος, ἓν πρόσωπον λέγοντα ἐπὶ τῆς μιᾶς οὐσίας τῆς ἁγίας τριάδος. εἰ ἡ φύσις πρόσωπόν ἐστι, καὶ τὸ πρόσωπον φύσις, πῶς ἀνεθεματίσθη Ἄρειος τρεῖς φύσεις λέγων ἐπὶ τῶν τριῶν προσώπων τῆς θεότητος. εἰ ἡ φύσις πρόσωπον δηλοῖ, Εὐαγγελίζομαι Σευῆρον, καὶ Θεοδόσιον χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ αὐτῶν τῷ λέγοντι, ἐκ δύο ὑποστάσεων τὸν χριστόν· εὑρεθήσονται γὰρ πάντως καὶ ἐκ δύο προσώπων λέγοντες αὐτόν· εἴπερ ταυτόν ἐστιν ἡ φύσις, καὶ τὸ πρόσωπον. λοιπὸν πῶς δυνήσονται ἐγκαλεῖν Νεστορίῳ, τὰ αὐτὰ Νεστορίῳ φρονοῦντες; εἰ γὰρ ἐκ δύο προσώπων ἐστὶν ὁ χριστὸς, πρόδηλον, ὅτι προϋπέστη ἐν τῇ μήτρᾳ τὸ τοῦ ἀνθρώπου πρόσωπον. καὶ εἶθ' οὕτως ἡνώθη εἰς αὐτὸ τὸ τῆς θεότητος πρόσωπον τοῦ θεοῦ λόγου. εἰ ἐκ δύο φύσεων προσωπικῶν ὁ χριστὸς, ἰδοὺ τὸ ἓν πρόσωπον θεὸς λόγος προσαγορεύεται.

Λεγέτωσαν ἡμῖν λοιπὸν οἱ ταυτὸν λέγοντες τὴν φύσιν, καὶ τὸ πρόσωπον. τὴν προσηγορίαν, καὶ τὸ ὄνομα τοῦ ἄλλου προσώπου τοῦ χριστοῦ. οὐ γάρ ἐστιν ἀνώνυμον πώποτε πρόσωπον. εἰ εἰλικρινῶς, καὶ ἀπροσπαθῶς ταυτὸν φάσκετε φύσιν, καὶ πρόσωπον. καταδέξασθε λέγειν ἓν πρόσωπον ἐπὶ τῆς μιᾶς οὐσίας τῆς θεότητος, καὶ τῆς μάχης παυσώμεθα. εἰ κατὰ τὸν ἀριθμὸν τῶν φύσεων εἰσὶ καὶ τὰ πρόσωπα. εἴπατε τρεῖς φύσεις ἐπὶ τῶν τριῶν τῆς τριάδος προσώπων. καὶ οὐκ ἔστιν ὑμῖν διοχλήσομεν. λέγοντες ὁμοούσιον τῷ πατρὶ τὸν χριστὸν κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, εἰ ταυτόν ἐστιν ἡ οὐσία, καὶ τὸ πρόσωπον, εἴπατε αὐτὸν ὁμο-

προσω-

quam hanc definitionem & legem euertere poterunt. Quocirca absq; vlla personarũ acceptione, aut sinistri affectus præoccupatione in conspectu Dei sanctè affirmo, Synodum Nicænam videri rectè sentientibus cõtra Seuerum, Dioscorum, omnesque, qui naturam & personã confundunt, celebratam esse; neque hoc tantum, sed & cõtra impium Nestorium; nam & ipse, Seueri instar, personam vocat naturam. Si verò natura est persona, immeritò damnauit Nicęna Synodus Sabellium, qui vnam personam in vna natura sanctissimæ Trinitatis statuit. Si natura est persona, & persona natura, quomodo Arius anathemati subiectus est; qui tres naturas in tribus diuinis personis posuit? Si natura significat personam, tum Seuero & Theodosio diras ingentes denuncio, quæ obuenient omnibus eorum sectatoribus, asserentibus Christum ex duabus hypostasibus constare: hinc enim conficietur eundem Christum etiam ex duabus personis constare, si natura & persona vnum idemque significant. Quo igitur ore, poterunt posthac Nestorium reprehendere, quando eadem cum Nestorio sentiunt? Si enim Christus constat ex duabus personis, manifestè sequitur, personam humanam prius in vtero materno extitisse; sicque postea ei vnitam esse diuini Verbi personam. Si Christus ex duabus naturis personalibus, hoc est, quæ simul sint personæ, constat, oportet, vt altera persona sit & vocetur persona Verbi diuini.

Explicet igitur nobis illi, qui naturam & personam idem esse dicunt; qua nã appellatione afficienda sit illa altera Christi persona? Neq; enim vnquam contingit, vt persona quæpiã nomine prorsus careat. Si candidè & absque sinistro affectu asseueratis naturas & personam idem esse, agedum vnam personam in vna diuina natura profiteamini; & à pugna desistemus. Si secundum naturarum numerum multiplicantur personæ, dicite tres esse naturas in tribus sanctissimæ Trinitatis personis: nec vobis amplius molesti erimus. Asseritis Christũ secundum diuinitatem esse cõsubstantialem Patri; secundum humanitatem verò consubstantialem nobis. Si substantia seu natura & persona idem sunt, dicite Christum secundum diui-

πρόσωπον τοῦ πατρὸς κατὰ τὴν θεότητα, καὶ ὁμοπρόσωπον ἡμῶν κατὰ τὴν ἀνθρωπότητα. καὶ τὸν πόλεμον παύσομεν. εἰ ταυτὸν ἡ φύσις, καὶ τὸ πρόσωπον, πολλὰ δὲ, καὶ ἀναρίθμητα τὰ τῶν ἀνθρώπων πρόσωπα, εἴπατε πολλὰς, καὶ τὰς φύσεις ἡμῶν, καὶ σιγῶμεν τοῦ μάχεσθαι. στῆθι μοι μικρὸν, ὦ αἱρετικὲ, καὶ δέχου ὡς ὁ Γολιὰθ Δαυιδικὰς λιθοβολίστρας. ἐκ δύο ὑποστάσεων, ἤτοι προσώπων ὁμολογῶν τὸν χριστὸν Σευῆρος. πρόδηλον, ὅτι ἐκ θεότητος, καὶ ἐξ ἀνθρωπότητος αὐτὸν συντεθέντα λέγει. αὗται γάρ εἰσιν, ἃς προσαγορεύεις ὑποστάσεις, τοῦτ' ἔστιν, ἡ θεότης, καὶ ἡ ἀνθρωπότης. ὅτ' ἂν οὖν λέγῃς αὐτὸν τοῦτ' ἔστι τὸν χριστὸν, τέλειον εἶναι μετὰ τὴν ἕνωσιν ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι. πρόδηλον, ὅτι ἐν δύο ὑποστάσεσιν, ἤγουν προσώποις ἐλέγχῃ ὁμολογῶν αὐτόν. εἴγε ἡ φύσις, καὶ ἡ ὑπόστασις, καὶ τὸ πρόσωπον, ἕν τι ὑπάρχουσιν ὡς νομοθετεῖς.

Ἀπόφθεγμα ὀρθοδόξου πρὸς Θεοδοσιανόν.

Ἀρκεῖ τοῖς εὐφρονοῦσι τὸ εἰπεῖν, χριστὸν τέλειον ἐκ θεότητος, καὶ ἐξ ἀνθρωπότητος; τὰς γὰρ δύο φύσεις σημαίνει τὸ ῥῆμα. τοῦ δὲ αἱρετικοῦ εἰπόντος, ὅτι τὸ μᾶλλον ἐκ δύο φύσεων αὐτὸν εἶναι δηλοῖ τὸ ἐκ θεότητος, καὶ ἐξ ἀνθρωπότητος, μειδιάσας ὁ ὀρθόδοξος εἶπεν. οὐκοῦν, ὦ βέλτιστε, τὸ ἐν θεότητι, καὶ ἐν ἀνθρωπότητι τέλειον αὐτὸν εἶναι, τὸ, ἐν δύο φύσεσιν αὐτοῦ σαφῶς παρίστησι. καὶ ὅπως μὴ δόξωμεν τοῖς ἐναντίοις οἴκοθεν φθέγγεσθαι, τοὺς ἁγίους πατέρας εἰς μέσον καλέσωμεν, ἕτερον λέγοντες τὴν φύσιν, καὶ ἕτερον εἶναι τὸ πρόσωπον. οὐκ οἶδα μὲν πῶς τὴν καθαίρεσιν τὴν παρὰ Σευήρου δειλιάσαντες, οὐκέτι λοιπὸν τὴν τῶν δύο φύσεων φωνὴν προφέρειν τολμήσωσιν. προθήσω δὲ πρῶτον, ὡς πρόκριτον, τὸν θεσπέσιον Κύριλλον. ἐπειδὴ, ὡς οἴονται, ἐξ αὐτοῦ ἡμᾶς πολεμεῖν δοκιμάζουσιν. ἔφη γὰρ πρὸς τοὺς ἀνατολικοὺς τοιάδε σαφῶς. τὰς δὲ εὐαγγελικὰς, καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας, τὰς μὲν κοινοποιοῦντας, ὡς ἐπὶ ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων. Ἰδοὺ σαφῶς ὁ πατὴρ οὐ ταυτὸν λέγει τὴν φύσιν, καὶ τὸ πρόσωπον.

nitatem esse eiusdem personæ cum Patre; & secundum humanitatem esse eiusdem personę nobiscum; & arma deponemus. Si idem est natura & persona, multæ verò & innumerabiles sunt hominum personæ, dicite pariter multas esse hominum naturas, pugnæque finem faciemus. Adesto paulisper hæretice; &, tanquam Goliath, Dauidicos ictus recipe. Cùm Seuerus tradat, Christum constare ex duabus hypostasibus siue personis, liquet, quod Christum ex diuinitate, & ex humanitate cõpositum affirmes; hæ enim duæ naturæ, nempe diuinitas & humanitas, sunt, quas nominas hypostases. Quando igitur dicis, eundem Christum post vnionem perfectum esse in diuinitate, & perfectũ in humanitate, manifestè eum in duabus hypostasibus, seu personis subsistere confiteris, si natura & hypostasis sunt vnum & idem, quemadmodum tu arbitraris.

Dictum Orthodoxi ad Theodosianum.

NVm satis est rectè sentiẽtibus, dicere, Christum ex diuinitate & humanitate perfectè constare? hac enim locutione duæ naturæ indicantur. Hæretico respondente, modum illum loquendi, ex diuinitate & humanitate significare, Christum ex duabus naturis compositum esse; subridens orthodoxus, dixit. Igitur, ô bone, illud; Christum in diuinitate & humanitate perfectum esse; satis perspicuè indicat, eum in duabus naturis subsistere. Et ne videamur aduersariis domi nostræ nata proferre, sanctos Patres aduocabimus, qui aliud naturã, aliud personam esse aiunt. Non video equidem, quomodo depositionem à Seuero metuentes nõ ausuri sint amplius vocabulum duarum naturarum vsurpare. Producam autem ante omnes diuinum Cyrillum, tanquam præcipuum, quandoquidem videri volunt, gratum sibi accidere, si ex hoc Patre testimonia promamus; qui hæc ad Orientales disertè scripsit. *Scimus viros Theologiæ peritos Euangelicarum & Apostolicarum de Christo vocum alias fecisse communes, tanquam in vna persona; alias verò diuisisse, tanquam in duabus naturis.* En perspicuè pater iste naturam à persona segregat.

Σχόλιον. Ἰστέον, ὅτι καὶ ἐν αὐτῇ τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, ὁ ἅγιος Κύριλλος εἶπεν, ἑτέραν, καὶ ἑτέραν φύσιν τῆς θεότητος, καὶ τῆς σαρκὸς τοῦ χριστοῦ.

Ἀλλ' ἀπελογήσατο φησὶ πρὸς Εὐλόγιον ὁ Κύριλλος περὶ τῆς τοιαύτης φωνῆς. τίς ἡ ἀπολογία εἰπέ μοι, ὦ αἱρετικέ; Εἰ μὲν γὰρ ἀπέστη τῆς πρὸς ἀνατολικοὺς κοινωνίας μετὰ τὴν τοιαύτην φωνὴν ὁ θαυμάσιος Κύριλλος, δεῖξον· ἀλλ' οὐ δείξεις τοῦτο. ἐκοινωνοῦν κοινωνικὸς γεγονὼς τῶν ὁμολογούντων ἡνωμένας δύο φύσεις. πρόδηλον, ὅτι τὰ αὐτὰ, καὶ αὐτοῖς ἐφρόνει. πλὴν δεδόσθω, ὅτι ὑπὲρ τῆς ἀνατολικῶν φωνῆς ἀπελογήσατο. μὴ καὶ Πρόκλον ἠρνήσατο τὸ αὐτί τι, καὶ προφανῶς δύο φύσεις κηρύττοντα; μὴ καὶ Ἀμβρόσιον ἐξεώσατο τῆς φωνῆς τῶν δύο φύσεων διδάσκοντα, οὗ καὶ τὰς χρήσεις ἐν τῇ Ἐφεσίων συνόδῳ προήνεγκε; μὴ καὶ Ἰσίδωρον τὸν Πηλουσιώτην ἀπώσατο, περὶ δύο φύσεων πρὸς αὐτὸν ἐπιστείλαντα, ὃν καὶ πατέρα αὐτοῦ ἀναγορεύει ὁ ἱερὸς Κύριλλος. Πλὴν οὐ μόνον ἐν τῇ πρὸς Ἀνατολικοὺς ἐπιστολῇ, ἀλλὰ καὶ ἐν τοῖς πρὸς Ἑρμείαν ἐρωτήσεσι. εἰ ἕτερόν ἐστιν ἡ φύσις, καὶ ἄλλο ἡ ὑπόστασις, οὕτως σαφῶς λέγει ὁ πατήρ. Ναὶ ἕτερον, καὶ πολύγε τὸ διάφορον, καὶ τὸ διὰ μέσου χωροῦν.

Ὡσαύτως καὶ ὁ θεόφρων βασίλειος πρὸς Ἀμφιλόχιον λέγει. ὅτι ταύτην ἔχει τὴν διαφορὰν παρὰ τὴν οὐσίαν ἡ ὑπόστασις, ὅσην ἔχει τὸ ἰδικὸν παρὰ τὸ κοινόν. διόπερ τοῦτο παραλαβὼν ὁ ἱερὸς Ἀμφιλόχιος φησὶ περὶ χριστοῦ. διττὸς τὴν οὐσίαν. οὐ διττὸς τὴν ὑπόστασιν. ταύτην γοῦν τὴν χρῆσιν Ἀμφιλοχίου παρήγαγεν ὁ θεοφάντωρ Κύριλλος ἐν Ἐφέσῳ κατὰ Νεστορίου τοῦ ἀσεβοῦς. ὁμοίως καὶ πρὸς Σέλευκον τὸν υἱὸν Τραϊνοῦ τῇ αὐτῇ φωνῇ Ἀμφιλόχιος κέχρηται λέγων. εἰ ἓν πρόσωπον συμπληροῦσι αἱ διτταὶ φύσεις.

Ἀκούεις συμφωνίας πατέρων, καὶ τοῦ μακαρίου Κυρίλλου ἕτερον λεγόντων τὴν φύσιν, καὶ ἕτερον τὸ πρόσωπον. καὶ πῶς λοιπὸν οὐ παύεσθε τονθορύζοντες μάτην, καὶ λέγοντες, οὐκ ἔστι φύσις ἀπρόσωπος, ἀλλὰ ταυτόν ἐστι φύσις, καὶ πρόσωπον; ἐκ ποίου τῶν πατέρων τοῦτο παρέλαβες, δεῖξον; ἀλλ' οὐκ ἰσχύσεις δεῖξαι, εἰ μὴ Ἀρείου

Scholium. Sciendum, sanctum Cyrillum in epistola ad Eulogium dixisse aliam & aliam naturam diuinitatis & carnis Christi.

Sed obiicit Hæreticus, Cyrillum ob hanc locutionem vsurpatam; sese Apologiâ institutâ ad Eulogium purgasse. Quę verò hæc Apologia? cedo ô hæretice. Si enim admirandus Cyrillus sese à communione Orientalium post hanc prolatam vocem seiunxit; cupio vt id mihi demonstres. At non poteris. Cum igitur perseuerauerit in communione cum illis, qui duas in Christo naturas cōfitebantur, luce clarius liquet, eum eiusdem fuisse sententiæ. Sed esto, instituerit Apologiam pro voce ad Orientales vsurpata. Num ideo & Proclum abnegauit; qui cunctis & luce palam duas naturas annunciat? Num & Ambrosium repudiauit; voce duarum naturarum vtentem, cuius etiam testimonia in Ephesina Synodo protulit? Num Isidorum Pelusiotam reiecit, qui super duabus naturis epistolam ad illum dedit; quem & patrem suum sanctus Cyrillus nominat? Cæterùm non modò in epistola ad Orientales, sed & in iis, quæ scripsit ad Hermiam, percontantem, num aliud sit natura, & aliud hypostasis, sic disertis verbis loquitur sanctus Pater. *Omnino aliud quiddam est; valdeq́; diuersum, perq́; medium peruadens.*

Similia diuinus Basilius ad Amphilochium. *Tantum differunt natura & hypostasis, quantum proprium & commune.* Hoc accipiens sanctus Amphilochius, sic de Christo loquitur. *Duplex erat secundum naturam, non secundum hypostasin.* Hunc Amphilochij loquendi modum produxit diuinus Cyrillus Ephesi cōtra Nestorij impietatem. Eadem voce vsus est Amphilochius, scribens ad Seleucum filium Traini, cùm ait: *Si duæ seu geminæ naturæ vnam personam constituunt.*

Vides consensionem sanctorum Patrum & beati Cyrilli, consono ore affirmantium, aliud esse naturam, aliud personā. Et quomodo tandem à vanis vestris querimoniis næniisque non desistetis; illud vestrum identidem ingerentes: nullam naturam esse absque persona: naturam & personam idem esse: ostende ex quo Patre hoc didiceris? At non poteris vllum

ρειον, καὶ Σαβέλλιον, καὶ Νεστόριον λέγοντας, ταυτόν ἐστι φύσις καὶ πρόσωπον. διόπερ ἀνατρέποντες τὸ τοιοῦτον δόγμα πάντες οἱ μακάριοι πατέρες, καὶ μάλιστα οἱ περὶ Ἀμβρόσιον, καὶ Γρηγόριον, καὶ Ἀθανάσιον, ἐν τρισὶ προσώποις, ἤγουν ὑποστάσεσι, μίαν φύσιν θεοῦ κηρύττουσι, καὶ οὐ τρεῖς οὐσίας, ἀλλὰ μίαν, καθ' ἃ ἐδίδαξεν ἡ μακαρία σύνοδος ἡ ἐν Νικαίᾳ τῶν τιη. πατέρων τῶν θεοφόρων. Ἀλλ' οἱ σοφοὶ οὗτοι, καὶ καινοὶ ῥήτορες ἡρετίσαντο μυρίοις κρημνοῖς, καὶ βλασφημίαις ἑαυτοὺς καταρρίψαι. ὅπως ὡς νομίζουσι, καθυβρίσωσι τὴν ἁγίαν σύνοδον Χαλκηδόνος, καὶ τὴν καθολικὴν τοῦ Χριστοῦ ἐκκλησίαν.

Εἰ δὲ βούλει, ἐρῶ σοι κεφαλαιωδεστέρως, ὅσοι κατὰ τὸν ὅρον τῆς ἑλληνικῆς φιλοσοφίας Ἀριστοτελικῆς λέγουσι τὰς φύσεις ὑποστάσεις, καὶ πρόσωπα, οὐ δύνανται, οὔτε ἐπὶ τῆς ἁγίας τριάδος τρεῖς ὑποστάσεις εἰπεῖν, ἵνα μὴ καὶ τρεῖς φύσεις εὑρεθῶσιν, ὡς ὁ Ἄρειος, λέγοντες. οὔτε μὴν πάλιν δύνανται αὐτοὶ δύο ὁμολογεῖν ἐν Χριστῷ τῷ θεῷ φύσεις, ἵνα μὴ ἀναγκασθῶσι καὶ δύο πρόσωπα, καὶ ὑποστάσεις ὁμολογεῖν Νεστοριανῶς ἐπ' αὐτοῦ. Ἀπὸ γὰρ Ἀριστοτέλους παρέλαβε, καὶ ὁ Νεστόριος λέγειν τὰς φύσεις, ὑποστάσεις· ἡ δὲ ἁγία ἐκκλησία ἀποφυγοῦσα τὰς Ἀριστοτελικὰς, καὶ ἑλληνικὰς ματαιολογίας, εὐαγγελικῶς, καὶ Ἀποστολικῶς, ὡς πρὸ βραχέως εἴρηται, τὰ περὶ Χριστοῦ πιστεύουσα. οὐ λέγει ταυτὸν τὴν φύσιν, καὶ τὴν ὑπόστασιν.

Ἀλλὰ τί πρὸς τοῦτο πάντως οἱ ἀπὸ Σευήρου λέξουσιν; ἴσως γὰρ ἐροῦσιν ὅτι περ ἐπὶ τοῦ τριαδικοῦ λόγου οὐ ταυτὸν φύσις, καὶ ὑπόστασις. ἐπὶ δὲ τῆς σαρκώσεως τοῦ Χριστοῦ, τοῦ ἑνὸς τῆς ἁγίας τριάδος, ταυτὸν ἡ φύσις ἐστι, καὶ τὸ πρόσωπον, ἤγουν ἡ ὑπόστασις. οὐκ ἔνι γὰρ φύσις ἀπρόσωπος. Ταῦτα αὐτῶν λεγόντων, δεχόμεθα προθύμως τὸν λόγον, καὶ ἀσπαζόμεθα ὑπτίαις χερσὶ τὸν τοιοῦτον ὅρον. οὐκ ἀπαρνοῦμαι, ἀλλὰ συγχωρῶ. τί οὖν ἐντεῦθεν αὐτοῖς ἀσεβὲς τίκτεται; καὶ εἰς ποῖα βάραθρα ἀπωλείας, καὶ βλασφημίας περιπίπτουσιν; ἄκουσον ὁ πιστὸς διηγήσεως τινὸς, καὶ δραματουργίας παρ' ἡμῶν πρὸς τὰ τοιαῦτα γινομένης ἐν Ἀλεξανδρείᾳ τοῖς Θεοδοσιανοῖς, καὶ Γαϊανίταις

διαχυ-

proferre, nisi Arium, Sabellium, & Nestorium, qui dicunt, naturam & personam idem esse. Quapropter omnes sancti Patres, præcipuè Ambrosius, Gregorius & Athanasius, hoc impium dogma refutantes, prædicant in tribus diuinis personis vnam diuinam naturam, & non tres naturas; sed vnam, sicuti docuit sancta Synodus Nicæna, CCCXVIII. sanctissimorum Patrum, sed sapientes isti nouique Rhetores in infinita præcipitia, & blasphemias esse coniicere non dubitarunt, dummodo sanctam Chalcedonensem Synodum, & Catholicam Christi Ecclesiam contumeliis, vt ipsi arbitrantur, afficerent.

Quod si placet, in pauciora rem contrahamus. Quicunque ex præscripto Græcanicæ Philosophiæ cum * Aristotele tradunt naturas esse hypostases seu personas, illi nequeunt tres hypostases in sancta Trinitate profiteri, ne & tres naturas cum Ario asserant; neque rursus possunt duas in Christo naturas affirmare, ne & cum Nestorio cogantur in Christo duas personas, siue hypostases admittere. nam vt assereret naturam & hypostasin vnum & idem esse; id nimirum Nestorius ex * Aristotelis disciplina hausit. At sancta Ecclesia fugiens Aristotelicas & Græcanicas vaniloquentias, Euangelicè & Apostolicè, vt paulò antè dictum, ea quæ ad Christum spectant credens atque tractans, nequaquam idem dicit esse * *naturam* & hypostasin.

** Aristoteles rectè intellectus pro orthodoxis est, non pro acephalis.*

** Sed perperam intellectis.*

** Nec Aristoteles hoc dicit.*

Quid verò contra hæc Seueriani hiscent? Fortè dicent, *in Trinitate non esse idem naturam & hypostasin; in mysterio autem Incarnationis Christi, qui vnus est de Trinitate, vnum & idem esse naturam & personam seu hypostasin.* Non enim reperiri náturam personæ expertem. Hæc eorum dicta promptissimè, imò obuiis vlnis acceptamus, neq; vllo modò abiicimus, sed cupidè amplectimur. Quid igitur hinc impietatis enascatur, & in quod perditionis & blasphemiæ barathrum sese præcipitent, iam docebo te, quisquis ex fidelium numero es, Audi igitur narrationem, & specta quasi drama, quod nobis Alexandriæ exhibitum est, Theodosianis & Gaianitis naturam & personam

διαμαχομένοις ἡμῖν ἐκεῖσε, ὅτι ταυτόν ἐστιν ἡ φύσις, καὶ τὸ πρόσωπον ἐπὶ τῆς οἰκονομίας τοῦ χριστοῦ. προσθήσω γὰρ λοιπὸν καὶ τοῦτο, μετὰ τοῦτο προσείδησιν τῶν προειρημένων τῆς εὐσεβοῦς πίστεως τῆς ἁγίας καθολικῆς ἐκκλησίας.

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ.

Ὁ σκοπὸς, ὃν ἐδογματίσαμεν πρὸς τοὺς ἑτεροδόξους ἐν Ἀλεξανδρείᾳ.

Χρήσεις τινὲς ἐμφέρονται ἔν τισι βίβλοις λέγουσαι τὰς φύσεις, ὑποστάσεις, ἐπιγεγραμμέναι εἰς ὄνομα τοῦ ἁγίου Κυρίλλου. εἴτε οὖν κατὰ ἀλήθειαν αὐτοῦ τυγχάνουσιν, εἴτε ἑτέρου τινὸς, μετὰ ταῦτα ζητήσομεν. καὶ γὰρ καὶ ἑτέρας τινὰς δογματικὰς φωνὰς τοῦ αὐτοῦ Κυρίλλου ζητήσαντες, ἐν ταῖς βίβλοις ἐν Ἀλεξανδρείᾳ νενοθευμένας, καὶ διεστραμμένας αὐτὰς εὑρήκαμεν, μάρτυς κύριος ὁ θεός. Ὅμως, ὡς προεῖπον, πάντων τῶν διδασκάλων, ἕτερόν τι λεγόντων εἶναι τὴν φύσιν, καὶ ἕτερον τὴν ὑπόστασιν, φέρονταί τινες βίβλοι τοῦ ἁγίου Κυρίλλου λέγουσαι τὰς φύσεις ὑποστάσεις. Οἱ γοῦν ἀπὸ Σευήρου, καὶ Θεοδοσίου, Γαϊανοῦ τε, καὶ Διοσκόρου, καὶ πάντων τῶν μίαν χριστοῦ φύσιν ὁμολογούντων παρορῶντες, ὅλον τὸ πλῆθος, καὶ πλάτος τῶν ἁγίων πατέρων ἐν ἐκείναις ταῖς χρήσεσιν ἀποκρέμανται ταῖς λεγούσαις, ὡς ἐκ προσώπου τοῦ ἁγίου Κυρίλλου, τὰς φύσεις, ὑποστάσεις, ὅπως δι᾽ αὐτῶν, ὡς νομίζουσιν, ἐλέγχωσιν ἡμᾶς, τοὺς δύο ἐν χριστῷ λέγοντες ἡνωμένας φύσεις, ὡς καὶ δύο ὑποστάσεις ἐν αὐτῷ λέγοντας, ἤτοι πρόσωπα.

Γενόμενος οὖν, ὡς προεῖπον, ἐν Ἀλεξανδρείᾳ, καὶ ἰδὼν τὸν μάταιον αὐτῶν σκοπὸν, ὅτι οὐδὲν κατὰ θεὸν, ἀλλὰ πρὸς ἀντιπάθειαν τῆς ἐκκλησίας ὁρῶ, ἀκούσας προφήτου τινὸς λέγοντος τὸ, μετὰ στρεβλοῦ διαστρέφειν, ἐν ὑποκρίσει τινὸς εὐσεβοῦς πανουργίας, κατ᾽ ἰδίαν λέγω πρὸς τοὺς αἱρετικοὺς, ὡς ἡ ἀλήθεια μαρτυρεῖ, τῶν οὐκ ἐνδεχομένων ἐστιν, οὔτε ἐν οὐρανῷ, οὔτε ἐπὶ γῆς γινωρισθῆναι, ἢ πάλιν ἀνομασθῆναι.

Digitized by Google

nam idem esse in Incarnatione Christi contendentibus. Nam & hoc adiungam postea instruendis iis, qui præsunt fidei, quæ in sancta & Catholica Dei Ecclesia viget.

CAPVT DECIMVM.

Quo fine disputatio instituta sit cum hæreticis Alexandriæ.

CIRCVMFERVNTVR dicta nõnulla in quibusdam libris, quæ *naturas* appellant hypostases, nomen S. Cyrilli præferentia. Cæterùm vtrum verè illius sint, an alterius cuiuspiam, posteà disquiremus. Etenim alia itidem quædam eiusdem Cyrilli dicta ad doctrinam spectantia, cum in exemplaribus Alexandriæ quæreremus, deprauata & corrupta reperimus. Cuius rei Deus testis est. Nihilominus, vt dicebam, cùm omnes doctores asserant, aliud esse naturam, aliud hypostasin, circumferuntur libelli S. Cyrilli nomine, qui tradunt, naturas esse hypostases. Seueriani igitur, Theodosiani, Gaianitæ, Dioscoriani, & vniuersa illa caterua vnam in Christo naturam statuentium, nihili pendẽtes vniuersum illum sanctorum Patrũ cœtum, ab illis duntaxat sententiis pendent, quæ quasi ex Cyrilli persona affirmant, naturas esse hypostases, vt illarum vi, nos, vt arbitrãtur, redarguãt, qui duas in Christo vnitas naturas statuimus, quasi duas itidem hypostases siue personas in illo confiteamur.

Cùm igitur venissem Alexandriã, vidissemq; vanitatem, quam sibi propositã haberẽt, Deo penitus aduersam, & ad solam Ecclesiæ oppugnationẽ & euersionem tendentẽ, memor Prophetæ cuiusdã, qui monet, vt *cum obliquo & peruerso peruertamur* (*hoc est, vt vulgo dicitur, vt cum *vulpe vulpinemur*, & cùm *Crete Cretizemus*) simulatione sanctæ cuiusdam piæq; versutiæ, priuatim, hunc in modum, veritate teste, hæreticos allocutus sum. Fieri non potest, neque in cœlo, neq; in terra, vt sit & nominetur natura personæ expers. Sed quid agas, si in Ecclesiam mos duas in Christo naturas, & vnam personam nominandi irrepsit?

Alludit ad illud Psal. 17. cũ sancto sanctus eris, & cũ peruerso peruerteris.

** Hæc explicationis gratia inseruimus.*

θλῶσαι φύσιν, ἐὰν μὴ πάντως ἔχῃ καὶ πρόσωπον· ἀλλὰ τί ἔχωμεν ποιῆσαι, ὅτι συνήθεια παρέδραμε τῇ ἐκκλησίᾳ, τὸ λέγειν, δύο φύσεις ἐν χριστῷ, ἓν δὲ πρόσωπον; πλὴν ἐὰν μὴ ἀναγκάζετέ με ἀναθεματίσαι ἐπίσκοπον, ἢ σύνοδον, συνυπογράφωμεν κοινῶς. ὁρίζοντες, ὅτι, ἔνθα ὀνομάσθη φύσις, πάντως ὅτι καὶ πρόσωπον σημαίνει· οὐκ ἔστι γὰρ φύσις ἀπρόσωπος. καὶ τούτου ὑπογραφόντων ἡμῶν, κρατεῖτε καὶ ἡμεῖς τὸ ἴσον τοῦ συνοδικοῦ στοιχήματος, καὶ ἴσως γίνεταί τις οἰκονομία, καὶ ἑνοῦνται αἱ ἅγιαι ἐκκλησίαι. ἀγνοήσαντές οὖν τὸ πανοῦργον τοῦ δράματος, μᾶλλον δὲ ὑπὸ θεοῦ τυφλωθέντες, ὑπέγραψαν, ὅτι ἔνθα ὀνομάσθη φύσις ἐν χριστῷ, πάντως ὅτι καὶ πρόσωπον σημαίνει. οὐκ ἔνι γὰρ φύσις ἀπρόσωπος, ἢ ἀνυπόστατος. πρὸ γοῦν τῆς τοιαύτης δραματουργίας, καὶ ὑπογραφῆς, ἤμην προσυλλέξας βίβλους ἐκ διαφόρων προσώπων. τὰς δὲ πλείους ἐξ αὐτῶν τῶν Θεοδοσιανῶν. καὶ παρεξενέγκας τὰς χρήσεις τῶν ἁγίων πατέρων, τὰς ὀνομαζούσας φύσιν τὴν σάρκα τοῦ χριστοῦ. καὶ ταύτας ἐν τόμῳ καθαρογραφήσας, καὶ δὴ μετὰ μίαν ἡμέραν δημοσίως ἐπὶ τῶν πρωτευόντων, καὶ τὴν πόλιν διοικούντων συνηθροίσθημεν, καὶ πολὺς λαὸς τῆς τε καθολικῆς ἐκκλησίας, ὁ κλῆρος, καὶ πάσης ἑτέρας πίστεως, καὶ κοινωνίας, Θεοδοσιανῶν τε, καὶ Γαϊανιτῶν, καὶ σημιδαλιτῶν. εἶτα ὑπαναγινώσκεται τὸ ἔγγραφον τὸ λέγον· ὅτι πᾶσα φύσις ὀνομαζομένη ἐν χριστῷ, πρόσωπον σημαίνει· καὶ ἐξενέγκας τὰς βίβλους αὐτῶν ὑπανέγνων ἐπὶ πάντων τὰς ὑποτεταγμένας χρήσεις· καὶ πρό γε πάντων τὰς τοῦ ἁγίου Κυρίλλου, εἰς ὃν μάλιστα καὶ ἀποκρέμασθαι νομίζουσι.

Τοῦ μακαρίου Κυρίλλου Πάπα Ἀλεξανδρείας ἐκ τῆς ἐπιστολῆς πρὸς τοὺς ἀνατολικοὺς γραφείσης.

Τὰς δὲ εὐαγγελικὰς, καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς, ἴσμεν τοὺς θεολόγους ἄνδρας, τὰς μὲν κοινοποιοῦντας ὡς ἐπὶ ἑνὸς προσώπου. τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων· λέγω εὐθέως πρὸς αὐτούς. ὡς ἐπὶ δύο φύσεων τοῦτ' ἐστι, δύο προσώπων. οὐκ ἔνι γὰρ φύσις μὴ σημαίνουσα πρόσωπον, καθὼς ὑπεγράψαμεν.

irrepsit? Verùm si me non cogatis, vt alicui Episcopo aut Synodo anathema dicam: communi consensu, manusq; nostræ subscriptione confiteamur, necessarium esse, vt vbicunq; nominatur natura, ibi sit & persona, neque enim vllam naturam absq; persona reperiri: factaque hac subscriptione: accipite vos exemplar pacti conuenti; accipiemus & nos alterum; Et hac fortasis ratione concorditer inter se coalescent Ecclesiæ. Cùm artificium hoc, piamq; fraudē isti non intelligerent, peculiari fortè numinis nutu excœcati, manus suæ subscriptione testati sunt; cum in Christo nominatur natura, omni quoque modo nominari personam: non enim vllam naturā personæ aut hypostaseos expertem dari. Ante tamen quàm hanc machinam excogitarem & instruerem, à diuersis, potissimū verò ab ipsis Theodosianis, libros collegeram, & inde sanctorum Patrum sententias, quibus carnem Christi naturam appellant, excerpseram, inque libro pulchrè & mundè descripseram. Postridie magno procerum, eorumque qui vrbi praerant, accursu, conuenimus; non sine grandi Catholicæ Ecclesiæ multitudine, & Clero, variarumq; sectarum asseclis, Theodosianis, Gaianitis, & Semidalitis. Deinceps lectum est chirographum, in quo continebatur; omnem naturā, quæ in Christo nominatur, significare personam. Productisque eorum libris legi coram omnibus subiectas sententias; & primò omnium S. Cyrilli, cuius auctoritate potissimùm se niti arbitrantur.

B. Cyrilli Papæ Alexandrini ex epistola ad Orientales.

EVangelicas & Apostolicas de Domino voces, viri Theologiæ gnari partim communes faciunt, tanquam in vna persona; partim verò diuidunt, tanquam in duabus naturis. Et ego ad aduersarios conuersus, tanquam in duabus naturis, hoc est, tanquam in duabus personis, inquio; non est enim vlla natura, quæ non significet personam, prout propriæ manus subscriptione confessi sumus.

Has Cyrilli & aliorum Patrū sententias ferè etiam alij, qui cōtra Seuerianos scripsère, proferunt: vt Leontius Byzantinus, Damascenus Gelasius, Vigilius, &c.

Y 2 Eius

Τοῦ αὐτοῦ θεοσόφου Κυρίλλου ἐκ τῆς πρὸς Σούκκενσον ἐπιστολῆς.

Οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν, καὶ εἰς αὐτὸ τὸ μόνον ὁρᾶσθαι τοῖς τῆς διανοίας ὀφθαλμοῖς τίνα τρόπον ἐνηνθρώπησεν ὁ Ἐμμανουήλ, δύο τὰς φύσεις εἶναι φαμὲν, ἤγουν, δύο τὰ πρόσωπα Χριστοῦ· οὐκέτι γὰρ φύσις ἀπρόσωπος. ἀλλ᾽ ἔνθα ὀνομάσθη φύσις ἐκ παντὸς τρόπου, ὅτι τὸ πρόσωπον σημαίνει. αὕτη ἡ χρῆσις διεστραμμένως κεῖται ἐν πάσαις ταῖς βίβλοις Ἀλεξανδρείας.

Τοῦ αὐτοῦ ἁγίου θεόφρονος Κυρίλλου πρὸς τὸν αὐτὸν Σούκκενσον.

Ὀρθότατα δὲ, καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον· οὐκ αὐτὸν τὸν μονογενῆ τοῦ θεοῦ λόγον, καθ᾽ ὃ νοεῖται, καὶ ἔστι θεὸς παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος διισχυριζομένην. παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει, τοῦτ᾽ ἔστι τῷ χοϊκῷ αὐτοῦ προσώπῳ. οὐκ ἔστι γὰρ φύσις, μὴ δηλοῦσα πρόσωπον.

Τοῦ αὐτοῦ ὁσίου πατρὸς Κυρίλλου.

Ἐγὼ τὸ συγκεκραμένον ἐπὶ Χριστοῦ, οὐ παραδέχομαι. ἡ γὰρ κρᾶσις ἀφανισμὸν τῶν φύσεων ἐργάζεται, ἤγουν τῶν προσώπων Χριστοῦ. οὐκέτι γὰρ φύσις ἀπρόσωπος.

Τοῦ αὐτοῦ μακαρίου Κυρίλλου.

Οὐ γὰρ δή που ὥσπερ τινὰ ἀνάχυσιν γεγενῆσθαι τὰς φύσεις φαμέν. ἰδοὺ πάλιν φύσεις ὁ πατὴρ λέγει, τοῦτ᾽ ἔστι πρόσωπα, ἐν Χριστῷ, κατὰ τὸν ὅρον, ὃν ὑπεγράψατε.

Τοῦ αὐτοῦ ἀοιδίμου Κυρίλλου ἐκ τῶν Σχολίων.

Ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν, αἱ ὑποστάσεις, τοῦτ᾽ ἔστι, τὰ πρόσωπα Χριστοῦ. ταύτην τὴν χρῆσιν παραγαγὼν, ἠρώτησα Ἀθανάσιον ἐν Βαβυλῶνι λέγων· ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις τίνος; λέγει πρός με· αἱ τοῦ Χριστοῦ. πρὸς ὃν ἐγὼ γελάσας μέγα, καὶ κροτήσας τῇ χειρὶ λέγω. καὶ τί λοιπὸν ἐγκαλεῖτε τῇ συνόδῳ Χαλκηδόνος λεγούσῃ, δύο φύσεις ἡνωμένας ἐν τῷ Χριστῷ. δύο ὑμεῖς ὑποστάσεις λέγοντες ἐν αὐτῷ ὡς Νεστόριος.

Eiusdem diuini Cyrilli, ex epistola ad Successum.

IGitur ex iis, quæ sub intelligentiam solosq; mentis oculos cadunt; quæ Emmanuel homo factus aliquo modo assumpsit, & per Incarnationem vniuit, asserimus esse duas naturas, hoc est, personas Christi, non enim est vlla natura expers personæ, sed vbicunque natura inuenitur, ibi & personam inueniri necesse est. S. Cyrilli sententia corrupta, & deprauata est in omnibus exemplaribus Alexandrinis.

De hoc Cyrilli loco vide Damasc. lib. de composita natura fol. 484. Edit. Billiana.

Eiusdem S. Cyrilli ad eundem Successum.

REctißimè & admodum peritè explicas doctrinam de salutifera passione; nimirum, non ipsum vnigenitum Dei verbum, quatenus Deus est, secundum diuinam naturam passum esse ea, quæ propria sunt corporis; sed potius secundum naturam terrestrem; (hoc est, personam suam terrestrem) Neque enim est natura quæ non indicet personam.

Eiusdem S. Patris Cyrilli.

EGo commixtum in Christo non admitto: nam commixtio efficit interitum naturarum; siue personarum *Christi*; non enim est vlla natura absque persona.

Eiusdem B. Cyrilli.

NEque enim naturas confusas esse docemus. Ecce iterum interpretatur sanctus hic Pater naturas esse personas; ad eum modum, cui manu vestra subscripsistis.

Eiusdem celeberrimi Cyrilli ex Scholiis.

INconfusæ manserunt naturæ, hoc est, hypostases, hoc est, personæ Christi. Hanc sententiam cum produxissem, sciscitatus sum ex Athanasio * Babylonio; Ec cuiusnam naturas siue personas dixerit mansisse inconfusas: Et ille ad me: Christi. Cui ego non sine magno risu, manuumq; complosione: Cur igitur reprehenditis Chalcedonensem Synodum, docentem, esse in Christo duas naturas vnitas, cùm vos cum Nestorio duas in illo hypostases statuatis?

** Vocat Athanasium istum Babylonium seu ἐν βαβυλῶνι, confusaneũ, seu, in cõfusione, quia confundebat duas in Christo naturas.*

Τοῦ αὐτοῦ πανσόφου Κυρίλλου.

Διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεγμέναι φύσεις. εἷς δὲ ἐξ ἀμφοῖν Χριστός· πάλιν φύσεις διαφόρους ὠνόμασεν ὁ διδάσκαλος· δῆλον, ὅτι πρόσωπα ἐν Χριστῷ, διάφορα ἐσήμανεν, ὡς ὑμῖν δοκεῖ.

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Βασιλίδας.

Οὐ διαιρετέον οὖν τὸν ἕνα Χριστὸν, κύριον, Ἰησοῦν, εἰς ἄνθρωπον ἰδικῶς, καὶ εἰς θεὸν ἰδικῶς. ἀλλ' ἕνα, καὶ τὸν αὐτὸν Χριστὸν Ἰησοῦν εἶναί φαμεν, τὴν τῶν φύσεων εἰδότες διαφορὰν, καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Νεστορίου.

Οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν. Ἰδοὺ διὰ πλάτος ὁ πατὴρ φύσεις ὁμολογεῖ ἐν Χριστῷ, τουτ' ἔστι πρόσωπα, ὡς ὑμεῖς φατέ. οὐκ ἔστι γὰρ φύσις ἀπρόσωπος. οὐ μόνος δὲ ὁ ἐν ἁγίοις Κύριλλος, ἀλλὰ δὴ καὶ πάντες οἱ λοιποὶ πατέρες, οἱ λέγοντες ἐν Χριστῷ θεῷ ἡμῶν διαφόρους φύσεις, ἐλέγχονται τὰ Νεστορίου φρονοῦντες κατὰ τὴν καινὴν νομοθεσίαν ὑμῶν, τὴν λέγουσαν, ὅτι ἔνθα φύσεις ὀνομάζονται, ἐκεῖ πάντως καὶ πρόσωπα σημαίνονται. οὐ γάρ ἐστιν, οὐκ ἔστι φύσις ἀπρόσωπος.

Τοῦ ἁγίου Ἀμβροσίου.

Φυλάξωμεν τὴν διαφορὰν θεότητος, καὶ σαρκός. εἷς γὰρ ἐν ἑκατέρᾳ λαλεῖ Χριστός. ἐπειδὴ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ, τουτ' ἔστιν, ἑκάτερον, καὶ διάφοροι πρόσωποι. ἔνθα γὰρ ὀνομάζεται φύσις, πρόσωπον δηλαδή. καὶ τί λοιπὸν, εἰπέ μοι, ταύτην τὴν χρῆσιν παρήγαγεν ὁ ἅγιος Κύριλλος ἐν τῇ κατὰ Νεστορίου τοῦ δυσσεβοῦς συνόδῳ, εἴπερ αἱ διάφοροι φύσεις, διάφορα πρόσωπα δηλοῦσιν. καὶ μετὰ βραχέα ἐν τῇ αὐτῇ χρήσει φησὶν ὁ Ἀμβρόσιος. Ὡς θεὸς, λαλεῖ τὰ θεῖα Χριστός· ἐπειδὴ λόγος ἐστὶν, ὡς ἄνθρωπος, λαλεῖ τὰ ἀνθρώπινα. ἐπειδὴ ἐν τῇ ἐμῇ οὐσίᾳ λαλεῖ, τουτ' ἔστιν ἐν τῷ ἐμῷ τῆς σαρκὸς προσώπῳ· εἴ τι ἡ φύσις πρόσωπον σημαίνει.

Τοῦ

Eiusdem sapientissimi Cyrilli.

D*Iuersæ quidem naturæ ad vnitatem veram assumptæ sunt; ex ambabus verò vnus Christus exstitit.* Rursus diuersas naturas nominauit Doctor; liquet igitur eum duas in Christo personas significasse, vt vobis videtur.

Eiusdem ex libro ad Reginas.

N*On est diuidendus vnus Dominus noster Iesus Christus seorsim in hominem; & seorsim in Deum; sed illum vnum eundemq; Iesum Christum profitemur; probè perspectâ naturarum differentiâ; quas & inuicem inconfusas permanere docemus.*

Eiusdem contra Nestorium.

N*On quasi naturarum differentia per vnionem abolita sit.* En rotundè ac palam profitetur sanctus Pater naturas in Christo; hoc est, personas, vt vos existimatis: nulla enim natura est personæ expers. Neque tantùm sanctus Cyrillus, sed & reliqui Patres, qui duas in Christo naturas confitentur, Nestorianismi accusantur, secundum nouam hanc vestram consuetudinem, quæ dicit, vbi naturæ nominantur, ibi omnino etiam personas significari; neq; enim vllam naturam carere persona.

S. Ambrosij.

S*Eruemus differentiam diuinitatis & carnis. Vnus enim idemq; in vtraque loquitur Christus cum vtraq; natura sit in ipso:* hoc est, vtraque & diuersa persona. Nam vbicunque natura nominatur; personam significat. Et cur cedo, hoc ipsum S. Ambrosij testimonium protulit S. Cyrillus in Ephesina Synodo aduersus impium Nestorium, si diuersæ naturę significant diuersas personas? Et post pauca in eadem sententia dicit Ambrosius. *Tanquam Deus loquitur diuina Christus. Et cum verbum sit, loquitur vt homo humana, quandoquidem in mea substantia seu natura loquitur;* hoc est, in mea carnis persona, si, vt vultis, natura personam significat.

Gre-

Τοῦ ἡδυτάτου φωστῆρος Γρηγορίου Ἐπισκόπου νύσσης ἐκ τῶν κατ' Εὐνομίου.

Ποία φύσις χριστοῦ ἐπὶ τοῦ πάθους ῥαπίζεται; καὶ ποία ἐξ ἀϊδίου δοξάζεται;

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Πῶς οὖν μία αἱ δύο φύσεις εἰσί, τοῦτ' ἐστι, τὰ δύο πρόσωπα. οὐκέτι γὰρ φύσις ἀπρόσωπος.

Τοῦ αὐτοῦ Γρηγορίου Νύσσης.

Ὁ τοίνυν χριστὸς δύο ὑπάρχων φύσεις, καὶ ἐν αὐταῖς τέλειος γνωριζόμενος. Ἰδοὺ πάλιν δυάδα προσώπων διὰ τῶν δύο φύσεων λέγει.

Τοῦ αὐτοῦ ἐκ τοῦ, εἰς τὸ, μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες.

Τεσσαράκοντα γὰρ ἡμέρας ἀπόσιτος ὁ χριστὸς διαμείνας, ὕστερον ἐπείνασεν. ἐδίδου γὰρ τῇ φύσει καιρόν τινα, ὅτι ἠβούλετο ἐνεργῆσαι τὰ ἑαυτῆς. φύσιν δὲ ὀνομάζων τὸ σῶμα καὶ τὴν πρόσωπον σημαίνει. καθὰ πάλιν καὶ ὁ ΘΕΟΛΟΓΟΣ ΓΡΗΓΟΡΙΟΣ δυάδα προσώπων κατὰ τὸν ὑμέτερον ὅρον φαίνεται λέγων ἐν τῷ χριστῷ, ἐν τῷ λέγειν αὐτὸν οὕτως. φύσεις μὲν γὰρ δύο, θεὸς, καὶ ἄνθρωπος. ὁμοίως καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα ὁ Χρυσόστομος ἐν τῷ λόγῳ, τῷ εἰς τὴν ἀνάληψιν φησίν. Πρὸς ποίαν φύσιν εἶπεν ὁ θεὸς, κάθου ἐκ δεξιῶν μου; πρὸς ἐκείνην, τὴν ἀκούουσαν. γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ πρώτῳ βιβλίῳ τῷ εἰς τὸ κατὰ Ματθαῖον. θεὸν λέγει τὸν χριστὸν ἐν ἀνθρωπίνῃ κρυπτόμενον φύσει. εἰπὼν οὖν ὁ πατὴρ φύσιν τὸ τοῦ χριστοῦ σῶμα, ἐν ταῖς δύο χρήσεσι, πάντως, ὅτι καὶ πρόσωπον αὐτὸ εἶπεν. εἴγε οὐκ ἔστι φύσις ἀπρόσωπος.

Ὁμοίως καὶ Πρόκλος ὁ Κωνσταντινουπόλεως ἐν τῷ λόγῳ, τῷ εἰς τὴν θεοτόκον λέγει περὶ χριστοῦ. Ὅτι ἐκεῖνος ἀφθάρτως ἐγεννήθη. ὁ καὶ τῶν θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσελθὼν, οὗ τὴν συζυγίαν

τῶν

Gregorij Nysseni contra Eunomium.

QVæ Christi natura tempore passionis alapis cæditur? Et quæ ab æterno glorificatur?

Eiusdem ex eodem opere.

QVomodo igitur duæ naturæ vna sunt? hoc est, duæ personæ. Neque enim est natura, quæ persona careat.

Eiusdem Gregorij Nysseni.

CHristus igitur ex duabus naturis constans, & in iisdem perfectè subsistens. Ecce rursus duas personas nomine duarum naturarum intelligit.

Eiusdem ex oratione in illud: Beati qui esuriunt & sitiunt, &c.

CVm Christus quadraginta dies ieiunasset, postea esuriit. Tribuit enim naturæ tempus agendi ea, quæ sibi erant consentanea. Vbi cùm corpus naturam nominat, rursùm personam indicat. Sicut & GREGORIVS THEOLOGVS duas in Christo personas, ex vestro decreto, constituit; quando hunc in modum scribit. *Duabus naturis constat Deus & homo.* Sic & Chrysostomus, *corpus & animam* nominat, oratione in *Ascensionem. Ad quam naturam dixit Deus? Sede à dextris meis. Ad illam, quæ audiit: Terra es, & in terram reuerteris.* Idem libro primo in Matthæum nominat Christum, *Deum in humana natura absconditum.* Cùm igitur sanctus hic Pater duabus in sententiis Christi corpus appellauerit *naturam*; omnino idem personam quoque nominauit, quandoquidem nulla natura est personæ expers.

Pari modo Proclus Episcopus Constantinopolitanus oratione in Deiparam dicit de Christo; *illum incorruptè natum esse; qui per clausas fores ingressus sit; in quo naturarum coniun-*

τῶν φύσεων ὁ Θωμᾶς ἑωρακὼς ἐκέκραγε λέγων· ὁ κύριός μου, καὶ ὁ θεός μου. Ἰδοὺ συζυγία φύσεων, τουτέστι τῶν προσώπων. ἐπειδὴ οὐκ ἔνι φύσις ἀπρόσωπος. καὶ ὁ θεοφόρος Ἐφραὶμ, εἰς τὸν λόγον τοῦ μαργαρίτου λέγει. Ὅτι τῶν δύο φύσεων μετέχει ὁ μαργαρίτης ὁ ἀτίμητος, τουτέστιν ὁ χριστός. καὶ πάλιν λέγει. διπλῆν ἔχει τὴν φύσιν, ἵνα μὴ τὰς δύο ἀπολέσῃ· οὔτε γὰρ ἡμίθεος κατῆλθεν ἐπὶ τῆς γῆς· οὔτε ἡμιάνθρωπος ἀνῆλθεν ἐν οὐρανοῖς. Ἰδοὺ φύσεις, ἤτοι πρόσωπα, καὶ ὁ δίκαιος εἴρηκεν Ἐφραὶμ, κατὰ τὴν ἡμετέραν ὑπογραφὴν. ὁμοίως καὶ ὁ μακάριος Ἀμφιλόχιος φησὶ περὶ χριστοῦ ἐν τῷ λόγῳ τῷ πρὸς Σέλευκον ἔγγονον Τραϊανοῦ. Ἐπειδὴ εἰς ἓν πρόσωπον συντρέχουσιν αἱ δύο φύσεις, καὶ ὁ τῶν πηλουσιωτῶν δὲ κατακοσμήσας Ἰσίδωρος ἐκκλησίαν ἐπιστέλλει διδάσκων ὡς πατὴρ υἱὸν τὸν πάνσοφον Κύριλλον, καὶ λέγων. Πάσῃ φυλακῇ τήρει τὴν καρδίαν, μή που μίαν φύσιν μετὰ τὴν σάρκωσιν τοῦ χριστοῦ δέξῃ· ἡ γὰρ εἰς μίαν συγκατάθεσις, ἑκατέρας ἐστὶν ἄρνησις. καὶ μάλιστα ἔχων περὶ τούτου πλείστας ἀποδείξεις, τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀθανασίου ἀνδρὸς ὑπερφυῶς τὰ θεῖα ἐμβατεύσαντος. Ἰδοὺ, καὶ Ἀμφιλόχιος, καὶ Ἰσίδωρος, δύο εἰρηκότες φύσεις, δύο, ὡς ὑμῖν δοκεῖ, ἐδήλωσαν πρόσωπα ἐν χριστῷ. καὶ ὅπως πλατύτερον τὴν Ἀμφιλοχίου πρὸς Σέλευκον εἴπωμεν χρῆσιν, οὕτως ἔχει περὶ χριστοῦ. ἡ ληφθεῖσα πάσχει φύσις. ἡ δὲ λαβοῦσα ἀπαθὴς μένει. οἰκειοῦται δὲ ὁ θεὸς λόγος ἀπαθῶς τὰ τοῦ ἰδίου ναοῦ, σταυρὸν φημὶ, καὶ θάνατον, καὶ τὰ ἄλλα, ὅσα περὶ αὐτὸν οἰκονομεῖται, καὶ θεωρεῖται. οἰκειοῦται δὲ τὰ τοῦ ἰδίου ναοῦ. ἐπειδὴ εἰς ν ἓν πρόσωπον συμπλοῦσιν αἱ διτταὶ φύσεις. ἰδοὺ ἓν πρόσωπον ὁ πατὴρ εἶπεν τὰς δύο φύσεις εὐαγγελικῶς. ὥστε οὐ ταυτὸν φύσις, καὶ πρόσωπον ἑλληνικῶς.

ctionem Thomas *Apostolus contemplatus clamabat : Dominus meus, & Deus meus.* Ecce coniunctio naturarum, hoc est, personarum, cum nulla natura sit personæ expers. Et diuinus Ephræm oratione in margaritam ait : *Duarum naturarum participem esse inæstimabilem margaritam*, hoc est, Christum. Rursus ait : *Duplicem naturam habet, ne duas perdat : Neque enim Semideus descendit in terram, neque semihomo ascendit in cælum.* Ecce naturas, hoc est, personas, etiam iustus ille Ephræm dixit, prout fert vestra subscriptio. Sic & beatus Amphilochius dicit de Christo in oratione ad Seleucum * Nepotem Traini. *Cùm in vnam personam duæ naturæ conuenerint.* Et Isidorus, Ecclesiæ Pelusiotarum ornamentum, ad Cyrillum, tanquam pater ad filium, scribens ait : *Omni custodia custodi cor tuum, ne quando vnam naturam post Incarnationem in Christo admittas, nam approbatio vnius, est negatio alterius* ; Eiusque rei probandæ gratia plurima producit testimonia sancti Patris nostri Athanasij, viri rerum diuinarum peritissimi. Ecce & Amphilochius & Isidorus duas profitentes naturas, duas, vt vobis videtur, personas in Christo constituerunt : Et vt Amphilochij ad Seleucum testimonium fusius explicemus, sic de Christo habet. *Natura assumpta patitur : assumens verò passionis expers manet. Cæterùm diuino verbo impatibiliter tribuuntur, quæ proprij templi propria erant. Crucis videlicet supplicium ac mors, & id genus alia, quæ in ipso dispensatione diuina peracta ac patrata sunt ; quandoquidem in vna persona geminæ personæ subsistunt.* En vnam personam nominauit pater iste duas naturas ex Euangelij doctrina. non igitur vnum idemque est *natura* & *persona*, vt Ethnici volunt.

* *Supra vocauit filium; quamuis & ἔγγονος possit reddi filius. C. A. hic expresse habet* Τεϊνοῦ.

Τοῦ αὐτοῦ Ἀμφιλοχίου ἐκ τοῦ λόγου, ὅτι ὁ πατήρ μου μείζων μού ἐστιν.

Σχόλιον. Ἀρκοῦσι τῇ καθολικῇ ἐκκλησίᾳ οἱ τιη. πατέρες, καὶ οἱ σ. οἱ ἐν Ἐφέσῳ μαρτυροῦντες, ὅτι οὐ ταυτὸν ἡ φύσις, καὶ ἡ ὑπόστασις.

Διάκρινον λοιπὸν τὰς φύσεις, τήν τε τοῦ θεοῦ, τήν τε τοῦ ἀνθρώπου. οὔτε γὰρ κατ' οἰκείωσιν ἐκ θεοῦ γέγονεν ἄνθρωπος. οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου θεός.

Ὅρα πάλιν φύσεις ὁμολογοῦντα τὸν διδάσκαλον ἐν χριστῷ, καὶ οὐ πρόσωπα. εἰ δὲ ταυτὸν φύσις, καὶ πρόσωπον, πῶς παραγαγὼν αὐτοῦ τὴν χρῆσιν ὁ μακάριος Κύριλλος ἐν τῇ Ἐφεσίων συνόδῳ, τὴν δύο φύσεις λέγουσαν, ἓν δὲ πρόσωπον ἐν χριστῷ, ἐπήγαγε λέγων πρὸς τὴν ἁγίαν σύνοδον οὕτως. Ὁρᾶτε τοίνυν πῶς οἱ θεσπέσιοι πατέρες, ὁμοούσιον τὸν χριστὸν εἰρήκασι τῷ πατρὶ κατὰ τὴν θεότητα. καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα. διπλοῦν τὴν οὐσίαν, ἤτοι τὴν φύσιν. οὐ διπλοῦν τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. Ἰδοὺ καὶ ἡ μάχαιρα τοῦ πνεύματος. ἡ τοῦ θεολόγου Κυρίλλου γλῶσσα ἐπὶ συνόδου διακοσίων ἁγίων πατέρων, ἕτερον εἶπεν τὴν φύσιν παρὰ τὸ πρόσωπον.

Σχόλιον. Διὰ τοῦτο ὀκνῶ πιστεῦσαι. ὅτι Κύριλλος ὁ ἐπὶ συνόδου εἰπών, ἄλλο τὴν φύσιν, καὶ ἕτερον τὴν ὑπόστασιν. εἶπεν τὰς φύσεις, ὑποστάσεις, ἵνα μὴ ἑαυτῷ εὑρεθῇ ἐναντιούμενος.

Τοῦ αὐτοῦ εἰς τὸ, λύσατε τὸν ναόν.

Καὶ λέλυται ὁ τοῦ σώματος ναὸς, κατὰ τὸν καιρὸν τοῦ πάθους ἐν τῇ τριημέρῳ ταφῇ, βουλομένου αὐτοῦ. καὶ πάλιν ἀνέστησεν αὐτὸν, καὶ ἡνώθη αὐτῷ ἀρρήτῳ, καὶ ἀφράστῳ λόγῳ. οὐ κεκραμένος ἐν αὐτῷ, οὐ ἀποσεσαρκωμένος, ἀλλ' ἀποσώζων ἐν αὐτῷ τῶν δύο φύσεων τὴν ἑτερουσίαν ἀσύγχυτον τὴν ἰδιότητα.

Eiusdem Amphilochij ex oratione in illud: Pater maior me est.

SCholium. Sufficiunt Catholicæ Ecclesiæ trecenti octodecim Patres, & ducenti Ephesinæ Synodi iisdem suffragantes; nimirum naturam & hypostasin nequaquam vnum & idem esse.

Discerne igitur de cætero, ac distingue naturas, diuinam & humanam, neq; enim secundum inhabitationem, ex Deo factus est homo; neque secundum profectum ex homine Deus.

Vides iterum, quomodo doctor iste in Christo profiteatur naturas, non personas: Si enim idem est natura & persona, quomodo testimonium hoc beatus Cyrillus in Ephesina Synodo adducens, in quo expressè prædicantur duæ naturæ, & vna persona. sic sanctam Synodum allocutus est. *Videtis igitur quomodo sancti Patres Christum eiusdem cum Patre substantiæ secundum diuinitatem prædicarint; eiusdemque substantiæ nobiscum secundum humanitatem; duplicem* videlicet substantiâ *siue naturâ, non hypostasi, siue persona.* En gladius spiritus, diuini Cyrilli lingua, in Synodo ducentorum sanctorum Patrum, docet aliud esse naturam, & aliud hypostasin.

Scholium. Propterea credere abnuo, Cyrillum, qui in Synodo dixit, aliud esse naturam, & aliud hypostasin; naturas appellasse hypostases, ne ipse sibi aduersetur.

* *Eiusdem in illud: Soluite templum hoc.*

* *S. Cyrilli.*

T*Emplum corporis solutum est tempore passionis in triduana sepultura, ipso volente. Et rursus excitauit illud, eique vnitus est ratione ineffabili; non confusionem in ipso, carne abiecta, passus; sed seruatâ absque confusione vtriusq; naturæ secundum proprietatem differentia.*

Τοῦ αὐτοῦ πρὸς Εὐλόγιον ἀπολογούμενος ὑπὲρ τῶν ἀνατολικῶν εἰπόντων δύο φύσεις ἐν χριστῷ.

Εἰ δὲ οὐχ ὁμοούσιον τὸ σῶμα τῷ λόγῳ, ἑτέρα πάντως, καὶ ἑτέρα φύσις, τοῦτ᾽ ἔστιν καὶ ἕτερον πρόσωπον, ὡς λέγετε. ἀλλ᾽ ἐπιστομίζει ὑμᾶς καὶ ὁ θεῖος Πρόκλος τοιαῦτα γράφων. καὶ ἔστι εἷς υἱὸς, οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διῃρημένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας εἰς μίαν ὑπόστασιν τὰς φύσεις ἑνωσάσης.

Καὶ πάλιν ὁ αὐτὸς εἰς τὸ, ὅτι παιδίον ἐγεννήθη ἡμῖν οὕτως φησίν.

Καὶ τὰς φύσεις τοῦ λόγου διελε. καὶ τὴν ἕνωσιν τοῦ μυστηρίου θεολόγησον. Αντιστρέψατε λοιπὸν ὑμεῖς τὴν τοῦ διδασκάλου φωνὴν καὶ εἴπατε περὶ χριστοῦ. καὶ τὰ πρόσωπα τοῦ λόγου διελε. καὶ τὴν ἕνωσιν θεολόγησον.

Τοῦ ἁγίου εἰρηναίου ἐκ λόγου τοῦ κατὰ Οὐαλεντίνων.

Ὥσπερ ἡ κιβωτὸς κεχρυσωμένη ἔσωθεν, καὶ ἔξωθεν χρυσίῳ καθαρῷ ἦν. οὕτως καὶ τὸ χριστοῦ σῶμα καθαρὸν ἦν, καὶ διαυγὲς ἔσωθεν μὲν τῷ λόγῳ κοσμούμενον. ἔξωθεν δὲ τῷ πνεύματι φρουρούμενον. ἵνα ἐξ ἀμφοτέρων τὸ περιφανὲς τῶν φύσεων δειχθῇ.

Αντιόχου ἐπισκόπου Πτολεμαΐδος εἰς τὴν χριστοῦ γέννησιν.

Μὴ συγχύσῃς τὰς φύσεις, καὶ οὐ ναρκήσῃς περὶ τὴν οἰκονομίαν. Ἰδοὺ κατὰ τὸν ὑμέτερον ὅρον, καὶ νόμον, καὶ ὁ θεῖος εἰρηναῖος, καὶ Αντίοχος διάφορα πρόσωπα, ἤτοι φύσεις ἐν χριστῷ ἐδογμάτισαν. εἴγε οὐκ ἔστι φύσις ἀπρόσωπος.

Σχόλιον. Ἐπειδὴ δὲ φιλόψογον τὸ τῶν αἱρετικῶν γένος, ἰστέον ὅτι ἐν ἐρήμῳ καθήμενοι ἡμεῖς, καὶ ἀποροῦντες τῶν διδασκαλικῶν βίβλων, ἀπὸ στήθους τὰς χρήσεις ἐγράψαμεν. καὶ παρακαλοῦμεν τοὺς εὐποροῦντας ἀνοθεύτους τὰς πατρικὰς βίβλους, εἴ τι περιττὸν ἐν παρέκειται ἐν ταῖς παρούσαις χρήσεσι, τοῦτο ἐπιδιορθώσασθαι. οὐ γὰρ ἑκούσιόν τινα προσθήκην, ἢ ὑφαίρεσιν πεποιήμεθα. μάρτυρ κύριος.

Ταύτας

*Eiusdem * ad Eulogium, ex Apologia pro Orientalibus, qui duas naturas in Christo asseuerabant.* * S. Cyrilli.

S*I corpus non est eiusdem substantiæ cum verbo; alia igitur atque alia est natura*, hoc est, alia & alia persona, vt tu dicis; Sed os vobis obturat diuinus Proclus, dum ita scribit; *Vnus est filius non naturis in duas hypostases diuisis, sed per tremendam illam dispensationem duabus naturis in vnam hypostasin vnitis.*

** Idem in illud: Puer natus est nobis.* * Est hoc testimonium Procli Constantinop.

N*Aturas ratione distingue, & vnionem mysterij Theologicè concipe.* Inuertite vos doctoris huius sententiam, & de Christo dicite: *Personas ratione distingue: & vnionem Theologicè concipe.*

*Sancti Irenæi ex libro contra * Valentinianos.* * Alij, contra Valentinum. Citat hoc testimonium Leontius lib. 1. cõtra Entychianos.

Q*Vemadmodum arca inaurata erat intus & foris auro puro; ita Christi corpus purum erat ac splendidum; intus quidem verbo ornatum: foris autem spiritu custoditum; vt ex vtrisq; naturarum splendor demonstraretur.*

Antiochi Episcopi Ptolemaidis in natalem Christi.

N*E confundas naturas, circaq; Incarnationem graui quasi veterno non obrueris.* En ex vestro placito, & decreto diuinus Irenæus & Antiochus diuersas in Christo personas statuerunt, dum diuersas in eo naturas agnoscunt, quandoquidem nulla natura expers est personæ.

Scholium. Quia verò hæreticorum natio ad reprehensionem procliuis est, scire oportet, nos, cum in Eremo versaremur, neq; sanctorum Patrum libri in promptu essent, sententias istas ex memoria citasse ac scripsisse: rogamusq; & obsecramus eos, quibus libri sanctorum Patrum sinceri, & incorrupti suppetunt, vt emẽdent, si quid prædictis testimoniis appositum deprehenderint. Neq; enim sponte nostra aliquid aut adiecimus, aut detraximus. Testis Dominus.

Cùm

Ταύτας δὴ, καὶ ἑτέρους πλείους φωνὰς τῶν ἁγίων πατέρων κατὰ τὸν γραφέντα τύπον παραγαγόντων ἡμῶν, καὶ ἑρμηνευόντων. ὅτι ἡ φύσις, πρόσωπόν ἐστι, καὶ λοιπὸν κατὰ τοῦ τύπου ὑμῶν τὸν νόμον ἅπαντες οἱ μακάριοι πατέρες τὰ Νεστορίου φρονοῦντες ἐλέγχονται· ὡς δύο πρόσωπα ἐν Χριστῷ φάσκοντες. ἔμειναν ἅπαντες οἱ δὲ ἐναντίας ἐνεοὶ, ἐσίγησαν, ἐφιμώθησαν, ἐξέστησαν, κατεπλάγησαν, ἠπόρησαν. οὐ γὰρ ἐλάλησαν, ἠλλοιώθησαν, ὅτι ἡσύχασαν. παντὸς τοῦ λαοῦ τῆς ἐκκλησίας οἱονεὶ κροτοῦντος, καὶ πρὸς ἅπαντας αὐτοὺς λέγοντος: εἰ ἡ φύσις πρόσωπόν ἐστιν, ἆρον, καῦσον τοὺς ἁγίους πατέρας, δύο φύσεις εἰρηκότας ἐν τῷ Χριστῷ. Εἰ δὲ οὐκ ἔστιν ἡ φύσις πρόσωπον, ἀνέγκλητός ἐστιν ἡ σύνοδος Χαλκηδόνος, δύο εἰποῦσα ἡνωμένας φύσεις ἐν μιᾷ ὑποστάσει Χριστοῦ. καὶ πάλιν, τὴν αὐτὴν φωνὴν, ὁ ὄχλος ἀναλαμβάνων τῇ Ἀλεξανδρέων ἰδιωτικῇ διαλέκτῳ ἐπιχωριάζων ἔκραξεν. εἰ ἡ φύσις πρόσωπον δηλοῖ, ἆρον, καῦσον πρὸ πάντων τὸν ἅγιον Κύριλλον, τὸν λέγοντα. ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ φύσεις. εἰ δὲ οὐκ ἔστιν ἡ φύσις πρόσωπον, μάτην φλυαρεῖτε κατὰ τῆς ἐκκλησίας φάσκοντες τὴν φύσιν πρόσωπον. Ταῦτα βοῶντες ἐπὶ ὥρας ἱκανὰς, καὶ * περιλόγιν ἀξιάκουστον ἐτύπωσαν οἱ αὐτόθι λέγοντες. δὸς τῷ Θεοδοσιανῷ, καὶ Γαϊανίτῃ εἴ τι ζητεῖ, καὶ εὐθέως ἀπόλλυται, τοῦτ᾽ ἔστι, καταθοῦ αὐτῷ, ὅτι ἡ φύσις πρόσωπον σημαίνει. καὶ διὰ ταύτης τῆς φωνῆς, καταισχύνεται ἀναγκαζόμενος ἢ τοὺς ἁγίους πατέρας Νεστοριανοὺς ἀποδεῖξαι, ἢ τὴν σύνοδον Χαλκηδόνος ἀνέγκλητον ὁμολογῆσαι, κηρύξασαν δύο φύσεις καθ᾽ ὑπόστασιν ἡνωμένας ἐν Χριστῷ.

*Sic C. A. Sed quid hoc nomini? Num scribendum, περίλογον?

Ἑτέρα διάλεξις.

Μέχρι τούτων ταύτης διαλέξεως, πλὴν πάλιν τὴν ἑαυτῶν γνώμην συνιστᾷν βουλόμενοι καθ᾽ ἑτέραν κάθοδον συνήχθησαν εἰς διάλεξιν ὁμοίως ἐν τῇ † Φαυρικῇ τῇ δημοσίᾳ ἐν ᾧ συλλόγῳ συνῆλθον καὶ ὁ πολὺς αὐτῶν, καὶ μέγας, ὥσπερ τις λεγόμενος τῶν * διανᾶ πρόμαχος Ἰωάννης ὁ μοναχὸς, ὁ λεγόμενος τοῦ ζυγᾶ, ὁ τοῦ * ὀκτὼ καὶ δεκάτου, παρῆν δὲ σὺν αὐτῷ καὶ Γρηγόριος ὁ νυστάζων, ὁ Συραιγύπτιος τὸν νοῦν. εἶτα καὶ ὁ δῆμος σὺν τῷ κλήρῳ. ἦν γὰρ ἀπὸ συνταγῆς, καὶ προ-

*Lego διανᾶν.
* ὀκτωκαιδεκάτου, coniunctim.
† Nomen est loci publici. Quod indicat Epitheton. Sed quale Graecum an Latinum, coniiciat forte...

Cùm hæc & plura sanctorum Patrum dicta ad præscriptum modum protulissemus, & demonstrassemus, naturam esse personam, & per consequens, ex illorum lege & persuasione, omnes sanctos Patres Nestorianismo infectos esse; quippe qui duas personas in Christo constituant; obmutuerunt omnes aduersarij; conticuerunt, vox faucibus hæsit; obstupuerunt; nec quo se verterent, perspexerunt. neque enim verbum prolocuti sunt. Immutati sunt, quoniam conquieuerunt. Vniuerso Ecclesiæ cœtu applaudente, hostibusque acclamante: *Si natura est persona, tolle, exure sanctos Patres, duas in Christo naturas professos. Si verò natura non est persona, reprehensione igitur vacat Synodus Chalcedonensis, quæ dixit, in vna Christi hypostasi duas naturas esse vnitas.* Rursus iisdem vocibus repetitis, vernacula Alexandrinorum dialecto acclamabat turba: *Si natura significat personam, tolle, vre ante omnes sanctum Cyrillum, qui ait, naturas in Christo inconfusas permansisse. Si verò natura non est persona, frustra nugaris & vociferaris contra Ecclesiam, naturam esse personam.* Hæc sat longo tempore ingeminantes, aliquid auditu dignum ibidem adiecerunt. *Des Theodosiano & Gaianitæ, si quid petat: & è vestigio disperibit;* hoc est, reduc illi in memoriam; naturam idem esse quod personam; & hac ipsa voce rubore suffundetur, coactus, vel sanctos Patres in Nestorianorum classem coniicere: vel Synodum Chalcedonensem ab omni culpa liberare, cum duas Christi naturas in eadem hypostasi vnitas pronunciauit.

Alia disceptatio.

HActenus de disputatione. Cæterùm rursus dogmata & placitá sua comprobare volentes; alia vice nobiscum in publicum certamen descenderunt ἐν τῇ φανερᾷ τῇ δημοσίᾳ. In quo congressu aderat excellens ille apud Hæreticos magnusque, & quasi Danaûm quidam propugnator Ioannes Monachus: cui cognomen Zygæ, qui vnus erat ex octodecim. Aderat quoque cum illo Gregorius Dormitantius, mente Syrægyptius. Deinde populus cum Clero. Erat enim iste con-

προδηλώματος τὸ τοιοῦτον συνέδριον. εἶτα τὰ ἀπὸ τύχης αὐτοῦ πρὸς ἡμᾶς ἄπειρα· ἵνα μὴ λέγω ἄκυρα, καὶ ψυχρὰ προβλήματα. ὡς οὐκ ἔστι φύσις ἀνυπόστατος, οὐδὲ ἀπρόσωπος. ἰδοὺ γὰρ ὁ μακάριος Κύριλλος φάσκει ἐν διαφόροις τόποις, τὰς φύσεις ὑποστάσεις εἶναι. διόπερ ἐλέγχεται ἡ σύνοδος Χαλκηδόνος δύο ὑποστάσεις, καὶ πρόσωπα εἰποῦσα ἐν τῷ ἑνὶ Χριστῷ, ὁρίσασα, ἐν αὐτῷ λέγειν δύο φύσεις.

Ὀρθόδοξος. πρὸς δὴ ταῦτα πάλιν ἡμεῖς ἐν πανουργίας τρόπῳ πρὸς αὐτοὺς ἀνακελευθέντες εἰρήκαμεν. ἡμῖν φοβερὸν καθέστηκε πιστεύειν, ὅτιπερ ὁ τρισμακάριος, καὶ ὄντως θεοφόρος Κύριλλος ἐκήρυξε τὰς φύσεις, ὑποστάσεις εἶναι ἐν Χριστῷ τῷ θεῷ. πρῶτον μὲν τῇ τάξει· ὅτι ἐναντία ἐστὶν ἡ τοιαύτη φωνὴ τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Νικαίᾳ, ἕτερόν τι λεγούσῃ τὴν φύσιν, καὶ ἕτερον τὴν ὑπόστασιν. δεύτερον δὲ, ὅτι πῶς ἐπὶ τὸν καιρὸν Νεστορίου, ὁ τούτου τὴν καθαίρεσιν ποιήσας Κύριλλος, διὰ τὸ λέγειν αὐτὸν, δύο ἐν Χριστῷ ὑποστάσεις, αὐτὸς κἂν ἐν ὀνείροις, ὑποστάσεις ἐν Χριστῷ εἶχεν κηρύξαι; τρίτον, ὅτι τὰς χρήσεις, ἃς παρήγαγεν ὁ αὐτὸς ἅγιος Κύριλλος ἐν τῇ Ἐφεσίων συνόδῳ, ἐκ διαφόρων πατέρων, δι' οὐδὲν ἕτερον αὐτὰς προσήνεγκεν, εἰ μὴ διὰ τὸ λέγειν αὐτὰς μίαν Χριστοῦ τὴν ὑπόστασιν.

Τέταρτον, ὅτι μίαν ὑπόστασιν ὁ Θεοδώρητος κηρύττων ἐν τῷ Χριστῷ, πάντως ἐπιλαβέσθαι εἶχε τῆς φωνῆς τῶν ὑποστάσεων ἐν ταῖς κατηγορίαις, αἷς ἐποιήσατο κατὰ τῶν δώδεκα ἀναθεμάτων τοῦ ἁγίου Κυρίλλου. ὡσαύτως καὶ ἐν ταῖς ἀπολογίαις ἑρμηνεῦσαι εἶχεν τὴν τοιαύτην φωνὴν ὁ διδάσκαλος, καὶ εἰπεῖν, ποίῳ σκοπῷ λέγει τὰς ὑποστάσεις. ἀλλ' οὐδενὸς τοιούτου ἐμνημόνευσεν, οὐδὲ εὑρίσκομεν. πέμπτον, ὅτι εἰ κατεδέξατο ὁ ἅγιος Κύριλλος εἰπεῖν ἐπὶ Νεστορίου τὰς φύσεις, ὑποστάσεις, οὐκ ἀπέσχιζε Νεστόριον. ἕκτον. ὅτι καθ' ὃ ἀπέχουσιν ἀνατολαὶ, ἀπὸ δυσμῶν, ἀπέχει ἡ τῶν δύο ὑποστάσεων φωνὴ, τῆς μιᾶς τοῦ θεοῦ λόγου φύσεως τῆς σεσαρκωμένης.

Ἕβδομον. ὅτι ἡ φωνὴ τῶν ὑποστάσεων, ἀνατρέπει τὴν καθ' ὑπόστασιν ἕνωσιν. πῶς γὰρ δυνατὸν, ἐκ δύο ὑποστάσεων γενέσθαι σύνδρομον καθ' ὑπόστασιν οὐσιῶν ἕνωσιν, ὄγδοον. ὅτι οὔτι εἰρήκασιν οἱ ἅγιοι πατέρες, ἐκ δύο ὑποστάσεων, ἤγουν προσώπων, εἶναι

τὸν

quàm à Pharo duxisse appellationem, scribendumque: ἐν τῇ φαβρικῇ. At quoniam diuinare liberum est, dicam & ego coniecturam meam. Videtur ipsum nomen latinũ Fabrica, *Graecè φαβρικὴ, vt sensus sit, conuentum hunc in publica fabrica, hoc est, in publico palatio seu publica domo coactum fuisse. Nec mirum videri debet, latinam vocem ab Anastasio vsurpatã, quia iam tum linguae misceri coepta sunt.*

uentus ex compacto, & ex publico indicto. Deinde prolatæ sunt quæstiones inter nos controuersæ ex scripto & præscripta formula: propositaque dubia, ne dicam frigida, omnisq; caloris expertia problemata, nimirum, *non esse naturam absque hypostasi & persona.* Ecce enim diuersis locis dicit beatus Cyrillus, naturas esse hypostases. Ea de caussa repræhenditur Synodus Chalcedonensis, asserens duas hypostases, seu personas in vno Christo, hoc ipso, quòd definiuit in illo duas inesse naturas.

Orthodoxus. Ad hæc nos vicissim cũ vulpibus vulpinantes respondimus: Nobis difficile creditu accidit, beatissimũ, vereq; Deo plenum Cyrillum docuisse naturas in Christo esse hypostases; primùm quidem, quia hæc vox aduersatur Synodo Nicænæ, quæ definit, aliud esse naturam; aliud hypostasin. Secundò, qua ratione, tempore Nestorij, quem Cyrillus ideo de sede sua deturbauit, quòd duas in Christo hypostases prædicaret; ipse, vel somnians, in Christo hypostases prædicare potuit? Tertiò, quia testimonia, quæ idem S. Cyrillus in Ephesina Synodo ex diuersis Patribus produxit, non aliam ob caussam produxit, quàm quòd vnam in Christo hypostasin adstruerent.

Quartò, quia Theodoretus vnam in Christo hypostasin profitens, omnino vocem hypostaseωn carpsisset in Refutatione duodecim Anathematismorũ S. Cyrilli; Et similiter ipse S. Cyrillus defendere sese debuisset in suis Apologiis & explicare, qua notione *hypostases* vsurpasset. Cuius tamẽ rei in S. Cyrillo nullum prorsus exstat indicium: nullumq; argumentũ. Quintò; Si S. Cyrillus cum Nestorio duas in Christo naturas existimasset esse duas hypostases; Nestorium à communione fidelium non segregasset. Sextò, quia quantum distat ortus ab occidente; tantum distat vocabulum duarum hypostaseωn ab vna verbi diuini natura incarnata.

Septimò, quia vox hypostaseωn euertat vnionem secundum hypostasin. Quomodo enim fieri potest, vt ex duabus hypostasibus fiat vnio substantiarum seu naturarum secundum hypostasin? Octauò, quia neque sancti Patres dixerunt

τὸν χριστόν. ἔννατον. ὅτι ἐὰν ἐκ δύο ὑποστάσεων ἐστὶν ὁ χριστὸς, οὐκέτι τρισυπόστατός ἐστιν ἡ ἁγία τριὰς, ἀλλὰ τετραπρόσωπος, ἔχουσα δύο μὲν ὑποστάσεις τὰς τοῦ χριστοῦ. ἑτέρας δὲ δύο, τὴν τοῦ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος.

Δέκατον δὲ τὸ πάντων μεῖζον, δόλον ἔχει· ὅτι αὐτὸς ὁ θεόφρων Κύριλλος, πρόσωπα εἶναι τὰς ὑποστάσεις λέγει ἐπὶ χριστοῦ. φησὶ γὰρ ἐν τῷ τετάρτῳ ἀναθεματισμῷ τῶν δέκα. ὅτι, εἴτις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι διαιρεῖ τὸν χριστὸν, ἀνάθεμα ἔστω. ὁμοίως, καὶ ἐν τῇ συνόδῳ, τῇ ἐν Ἐφέσῳ φησὶν ὁ αὐτός. διπλοῦν εἶναι τὸν χριστὸν τὴν οὐσίαν, οὐ διπλοῦν τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. Ἰδοὺ πρόσωπον νοεῖ τὴν ὑπόστασιν.

Καὶ πῶς λοιπὸν, ὦ ἄνδρες, πρόσωπα λέγων τὰς ὑποστάσεις, ἠδυνάτο λέγειν τὰς φύσεις ὑποστάσεις; καὶ, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις χριστοῦ; καὶ οὐκ εἴρηκεν ἐνταῦθα, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν ὑποστάσεις. οὐκοῦν εἰ ἀσύγχυτοι μεμενήκασι μετὰ τὴν ἕνωσιν αἱ ὑποστάσεις, πάντως ὅτι καὶ ὑπάρχουσιν. εἰ δὲ ὑπάρχουσι, πρόδηλον, ὅτι γνωρίζονται πάντως ὅτι καὶ ἀριθμοῦνται. εἰ δὲ οὐκ ἀριθμοῦνται, δῆλον, ὅτι οὐχ ὑπάρχουσιν. εἰ δὲ οὐχ ὑπάρχουσιν, οὐδὲ ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν ὑποστάσεις. εἰ δὲ μεμενήκασιν, εἰς τὸν αἰῶνα μένουσιν.

Εἰ δὲ λέγετέ μοι οἱ Σευήρου, ὅτι οὐ προσωπικὰς ὑποστάσεις εἶπεν ὁ θεόσοφος Κύριλλος, ἀλλ' ὑπάρξεις νοεῖ τὰς ὑποστάσεις, ἤγουν ὑφιστάμενα, καὶ ἀληθῆ πράγματα, τὴν θεότητα, καὶ τὴν ἀνθρωπότητα λέγων τοῦ χριστοῦ, ἠδυνάμην μὲν πρὸς τοῦτο ἀντιθεῖναι, καὶ εἰπεῖν. ὅτι τοῦ διδασκάλου πρόσωπα λέγοντος τὰς ὑποστάσεις εἶναι, ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῶν δώδεκα, ὡς πρὸ βραχέως εἶπεν ἀκόλουθον μᾶλλον καὶ ἀναγκαιότερον ἦν τῷ ὅρῳ, καὶ τῇ φωνῇ τοῦ διδασκάλου στοιχεῖν ὑπὲρ τὰς ὑμετέρας ἀλληγορίας· πλὴν ἵνα μὴ δόξωμεν τοῦ στύλου τῆς πίστεως, καὶ φωστῆρος κατηγορεῖν. δεδόσθω κατὰ τὸν ὑμέτερον ὅρον, ὅτι ὑπάρξεις τὰς χριστοῦ ὑποστάσεις ὁ πάνσοφος εἴρηκε πατήρ. οὐκοῦν, ὑμῶν μὴ καταδεχομένων μήτε φύσιν, μήτε ὑπόστασιν ὁμολογεῖν τὴν σάρκα τοῦ χριστοῦ. εὔδηλον, ὅτι ἀνύπαρκτον αὐτὴν φάσ-

ex duabus hypoſtaſibus ſiue perſonis conſtare Chriſtum. Nonò, ſi ex duabus hypoſtaſibus Chriſtus conſtat; iam non eſt amplius trium, ſed quatuor perſonarum ſanctiſsima Trinitas; habens duas quidem hypoſtaſes Chriſti, alias verò duas Patris & Spiritus ſancti.

Decimò, quod præ omnibus aliis dolum ac fraudem continet: quia ipſe diuinus Cyrillus dicit perſonas eſſe hypoſtaſes in Chriſto: Ait enim in quarto anathematiſmo. *Si quis duabus perſonis ſiue hypoſtaſibus Chriſtum diuidit, anathema ſit.* Similiter in Synodo Epheſina dicit, Chriſtum ſecundum naturam eſſe duplicem, non duplicem hypoſtaſi aut perſona. En nomine *perſonæ* intelligit hypoſtaſin.

Et quomodo, ô boni, perſonas hypoſtaſes appellans, potuit naturas appellare hypoſtaſes, quodque inconfuſæ permanſerint naturæ ſiue hypoſtaſes Chriſti? Neque hoc loco dixit inconfuſas manſiſſe naturas ſiue hypoſtaſes. Si ergo inconfuſæ manſerunt hypoſtaſes poſt vnionem, ſequitur illas itidem exſiſtere. Si verò exſiſtunt, certum eſt animo ſpectari ac concipi poſſe. Quare & numerari poterunt. Si numerari nequeunt, euidens eſt neque exiſtere. Si non exiſtunt, tum neque inconfuſæ manſerunt naturæ, ſiue hypoſtaſes. Si verò permanſerunt, in æternum permanent.

At ſi vos Seueriani dicatis, diuinum Cyrillum non loqui de perſonalibus hypoſtaſibus, ſed nomine hypoſtaſeωn eum intelligere ſubſiſtentias, ſeu ea, quæ ſubſiſtunt; & res veras; quando Chriſti diuinitatem & humanitatem nominat. Potuiſſem quidem his opponere ac reſpondere: quòd cum in quarto anathematiſmo, vt paulò antea dictum, perſonas dicit eſſe hypoſtaſes; rationi magis conſentaneum; & magis neceſſarium fuerit tanti magiſtri veſtigia, quàm veſtras allegorias ſequi. Verùm ne videamur columnam, & orthodoxæ fidei lucernam reprehendere; ſit ita, vt vultis; ſubſiſtentias Chriſti à ſapientiſsimo Patre nominatas eſſe hypoſtaſes. Ergo cum vos carnem Chriſti neque naturam, neque hypoſtaſin eſſe confiteri velitis, planum eſt; eam à vobis haberi pro re non ſubſiſtēte, omniſq; hypoſtaſeos & eſſentiæ ſeu naturæ experte.

κατε, καὶ ἀνυπόστατον, καὶ ἀνούσιον εἶναι. καὶ ἀποστραφεὶς, καὶ ἀποβλέψας πρὸς Ἰωάννην τὸν μονάζοντα λέγω. τί λέγεις πρὸς ταῦτα, ὦ φιλόσοφε; ἀσύγχυτοι μεμενήκασιν αἱ χριστοῦ ὑποστάσεις, ὁ θεόφρων Κύριλλος βοᾷ, ὡς μαρτυρεῖς. καὶ σὺ οὐδὲ φύσεις καταδέχῃ ἀσυγχύτους μεμενηκέναι ἐν χριστῷ; τὰς ὑποστάσεις δέχῃ, καὶ τὰς φύσεις * ἀρνῆσαι; ὄντως γέλως τὰ καθ' ὑμᾶς, καὶ μῦθος πλατύς. ἐρωτῶμεν ὑμᾶς λέγοντες, ὅτι τίνος ἀσύγχυτοι μεμενήκασιν αἱ ὑποστάσεις; καὶ ἀποκρίνεσθε ἀφόβως λέγοντες αἱ ὑποστάσεις τοῦ χριστοῦ, καὶ ἐπὰν ἡμῶν ἀκούσητε λεγόντων, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις τοῦ χριστοῦ, ἀγανακτεῖτε, βλασφημεῖτε, ἀνακράζετε, ἀποπηδᾶτε, καὶ μυρία κακὰ ποιεῖτε. ὄντως πάλιν λέγω· σκηνῆς ἁπάσης, καὶ ὀρχήστρας, καὶ θυμελικῶν ἐπιτηδείων καταγελαστότερα τὰ καθ' ὑμᾶς. τὰς χριστοῦ ὑποστάσεις ὁμολογεῖτε. τὰς δὲ τούτου φύσεις ἀρνεῖσθε. τὰς ὑποστάσεις προφανῶς κηρύττετε, τὰς δὲ φύσεις δι' ἡμᾶς ἀποκρύπτετε. τὴν ἀδιάβλητον φωνὴν ἀπωθεῖσθε, καὶ τὴν εὐδιάβλητον οἰκειοῦσθε. εἰ γάρ ἐστιν ὅλως δυνατὸν ἀδιαβλήτως εἰπεῖν ἐν χριστῷ δύο ὑποστάσεις, πολλῷ πλέον κουφότερον, καὶ ἀδιαβλητότερόν ἐστι εἰπεῖν, δύο φύσεις. εἰ δὲ οὐκ ἔστιν, ὡς λέγετε, φύσις ἀπρόσωπος, πολλῷ πλέον οὐκ ἔστιν, ὑπόστασις ἀπρόσωπος, ὡς καὶ Κυρίλλῳ δοκεῖ. εἰ δὲ ἀνέγκλητοί ἐστε λέγοντες ἐν χριστῷ ὑποστάσεις, ἐπὶ πλείω ἐσμὲν ἄμεμπτοι οἱ λέγοντες φύσεις. ὑμεῖς μὲν γὰρ ἕνα συνήγορον τῶν ὑποστάσεων ἔχετε. ἡμεῖς τε τοὺς τιη. ἁγίους πατέρας, καὶ πάντας τοὺς λοιποὺς διδασκάλους λέγοντας, ἐν χριστῷ δύο φύσεις, ἀλλ' οὐ δύο ὑποστάσεις. εἰ δὲ τὰ Νεστορίου φρονοῦμεν οἱ λέγοντες ἡνωμένας ἐν χριστῷ δύο φύσεις, πολλῷ πλέον ὑμεῖς οἱ φάσκοντες δύο ὑποστάσεις. εἰ δὲ δυνατόν ἐστιν εὐσεβῶς νοεῖν καὶ ἑρμηνεύειν τὰς ὑποστάσεις, πολλῷ μᾶλλον δυνατὸν ἑρμηνευθῆναι εὐσεβῶς δύο φύσεις. ἐκ μὲν γὰρ δύο φύσεων, δυνατὸν συντεθῆναι μίαν ὑπόστασιν. ὥσπερ σύγκειται ἄνθρωπος. ἐκ δὲ δύο χαρακτηριστικῶν ὑποστάσεων, οὐ δυνατὸν ἕνωσιν καθ' ὑπόστασιν γενέσθαι.

* ἀρνῆ.

Ὥστε, ὡς ἀληθῶς, ἐν τούτῳ ἀποφράττεται τὰ τῶν λοιδορούν-

Conuerſuſque ad Ioannem Monachum aio: Quid ad hæc dicis, ô Philoſophe? Inconfuſæ manſerunt Chriſti hypoſtaſes, vt, te teſte, docet S. Cyrillus. At tu neque naturas inconfuſas in Chriſto perſeueraſſe concedis. Hypoſtaſes admittis, & naturas *inficiaris*. Verè veſtra dogmata prorſus ſunt ridicula; & admodum fabuloſa. Interrogamus vos, cuius hypoſtaſes manſerint inconfuſæ; & intrepidè reſpondetis; Hypoſtaſes Chriſti; Et quando noſtro relatu auditis naturas Chriſti manſiſſe *inconfuſas*, tunc indignamini, blaſphematis, exclamatis & ſubſilitis, & ſexcenta mala facitis. Iterum dico. Veſtra dogmata *magis ſunt ridicula*, quàm quæ in omnibus Scenis, Orcheſtris, & *Thymelicis* ludis aguntur. Chriſti hypoſtaſes confitemini; & eius naturas negatis. Hypoſtaſes palam prædicatis; naturas verò propter nos occulitis. Vocem, quæ omni reprehenſione caret, abiicitis, & illam, quæ reprehenſioni obnoxia eſt, acceptatis; ſi enim fieri poteſt, vt abſque vlla reprehenſione dicamus, duas in Chriſto hypoſtaſes, multò facilius, & ab omni culpa remotius erit dicere, duas naturas. Si verò, vt *tu dicis, non eſt vlla natura* expers perſonæ, multò magis nulla *eſt hypoſtaſis perſonæ* expers, vt & Cyrillo videtur. Et ſi ab omni reprehenſione immunes ſunt, qui ſtatuunt in Chriſto hypoſtaſes; longius multò ab omni culpa diſtabimus; qui in Chriſto naturas profitemur. Vos enim vnum patronum pro hypoſtaſibus habetis: nos trecentos & octodecim ſanctos Patres, omneſque alios doctores, qui duas in Chriſto naturas, non duas hypoſtaſes ponunt. Si verò nos cum Neſtorio ſentimus, qui duas in Chriſto naturas profitemur, multò magis vos huius culpæ affines eritis, qui duas in Chriſto hypoſtaſes ponitis. Quod ſi fieri poteſt, vt duæ hypoſtaſes ad pium commodumque ſenſum trahantur; multò magis duas naturas piè interpretari licebit. Nam ex duabus naturis vna hypoſtaſis componi poteſt; vt patet exemplo hominis: ex duabus verò characteriſticis hypoſtaſibus non eſt poſsibilis vnio ſecundum hypoſtaſin.

Et his verè obſtruitur os calumniantium Synodum Chalcedo-

τῶν τὴν σύνοδον χαλκηδόνος, καὶ ἡμᾶς, ςόματα. ὅτι περ, ὡς ὑμεῖς λέγετε, Ἀθανασίου, καὶ Κυρίλλου λεγόντων, τὰς φύσεις ὑποστάσεις. ἀπέφυγεν ἡ σύνοδος, καὶ ἡμεῖς τὰς δύο εἰπεῖν ὑποστάσεις. εἰ γὰρ φύσεις λεγόντων ἡμῶν ἡνωμένας ἐν χριστῷ καθ' ὑπόστασιν, τοιαῦτα, καὶ τοσαῦτα κακὰ καταχέετε ἡμῶν, ὡς τὰ Νεστορίου φρονούντων. ὁποῖα, καὶ ὅσα κακὰ ἐμέλλετε ποιεῖν, εἰ ἠκούσατε τῆς χαλκηδόνος, ἢ τοῦ Λέοντος, ἢ τινὸς τῆς καθολικῆς ἐκκλησίας ἡμῶν, λέγοντος διαφόρους ὑποστάσεις τὸν χριστόν. καὶ, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ δύο ὑποστάσεις αὐτοῦ;

Ταῦτά μου, καὶ ἕτερα πλείονα εἰπόντος ἐν τῷ συνεδρίῳ, ἀποκριθεὶς ὁ τοῦ Ζυγᾶ Ἰωάννης ὁ μοναχὸς εἶπεν. ὁ αἱρετικός. Οὐ λέγομεν, ἀσύγχυτοι μεμενήκασιν αἱ δύο ὑποστάσεις, οὔτε σημαίνομεν τῆς δυάδος τὸν ἀριθμόν. ἀλλὰ ἀδιορίστως φαμὲν, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις. ὁ ὀρθόδοξος. ταῦτα αὐτοῦ εἰρηκότος, μειδιῶν τὰ πρόσωπα λέγω πρὸς αὐτόν. εἰ δὲ οὐ δύο ἐλέγετε ὑποστάσεις, καὶ μὴ πολλάς. τὸ γὰρ μὴ εἰπεῖν ἀριθμὸν, ἀλλὰ ἀορίστως λέγειν ὑμᾶς, ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις, οὐ μόνον ἐπὶ δύο, ἀλλὰ καὶ ἐπὶ πλειόνων φύσεων, καὶ ὑποστάσεων νοεῖται, καὶ λέγεται.

Ὁ αἱρετικός. εἶτα ὁ Ἰωάννης πρὸς ταῦτα. τῶν ἁγίων πατέρων ἐστὶν ἡ τοιαύτη φωνὴ, Ἀθανασίου, καὶ Κυρίλλου. καὶ οὐδεὶς δύναται ἀποβαλέσθαι αὐτήν. Ὁ ὀρθόδοξος. πρὸς τοῦτο ἀποκριθεὶς εἶπον. τοῦ θεοῦ περὶ ἡμῶν τῶν τῆς καθολικῆς ἐκκλησίας κρεῖττόν τι προβλεψαμένου, καὶ πραγματευσαμένου, ἵνα οἱ τῆς Ἀλεξανδρέων ἁγιώτατοι πρόεδροι τὴν τοιαύτην εἴπωσι φωνὴν, διὰ τοὺς νῦν ἐμφωλεύοντας ἐν αὐτῇ τῆς ἐναντίας συγχύσεως δράκοντας. ὅπως ἐν τοῖς ὅπλοις, ἐν οἷς δοκοῦσιν ἡμᾶς πολεμεῖν, ἐν αὐτοῖς ὥσπερ ὁ Γολιὰθ ὑπὸ τοῦ Δαυὶδ ἀναιροῦνται.

Βουλόμενοι δὲ Νεστοριανοὺς δεῖξαι, τοὺς λέγοντας ἐν χριστῷ δύο φύσεις, διὰ τῆς φωνῆς, τῆς λεγούσης τὰς φύσεις ὑποστάσεις, λελήθασι κατὰ τῶν ἁγίων πατέρων, καὶ καθ' ἑαυτῶν συνωθοῦντες τὸ ξίφος. λεγόντων γὰρ ὑμῶν τὰς φύσεις ὑποστάσεις, λέγοντος δὲ

τοῦ

cedonensem & nos; eò quòd, vt vos dicitis; sanctis Patribus, Athanasio & Cyrillo naturas esse hypostases profitentibus, Synodus & nos refugiamus duas hypostases dicere: si enim quis nostrarum partium dicat, duas in Christo naturas secũdum hypostasin vnitas, talia ac tanta in illum conuicia effunditis, quasi Nestorij doctrinæ adhæreat, qualia & quanta effusuri eratis, si audiuissetis Synodum Chalcedonensem; aut Leonem Papam, aut aliquem alium ex Catholicorum numero asserentem, diuersas in Christo hypostases; & naturas, hoc est, hypostases in Christo mansisse inconfusas.

Hæc & id genus alia me dicente in conuentu, respondit Ioannes Zygæ Monachus. HAERETICVS. *Non dicimus inconfusas mansisse duas hypostases; neq; significamus binarium numerum; sed indefinitè dicimus, inconfusas mansisse naturas siue hypostases.* Orthodoxus. Cùm hæc ille dixisset, subridens aio ad illum. Vtinam diceretis duas hypostases, & non plures: nam quod numerum non designatis, sed indefinitè dicitis, naturas siue hypostases mansisse inconfusas, id non solùm de duabus, sed & de pluribus naturis siue hypostasibus verè affimatur.

Hæreticus. Adhæc Ioannes, *Vox hac est sanctorum Patrum Athanasij & Cyrilli; neque vllus potest illam repudiare.* Orthodoxus. Adhæc hunc in modum respondi. Melius certè nobis, qui de Catholica Ecclesia censemur, prouidit cauitque Deus; quàm vt hanc vocem sanctissimi Alexandrinorum Antistites emiserint propter eos, qui nunc in illa, omnis confusionis quasi latebram quærunt Dracones; Quin imò armis illis, quibus sibi videntur nostram fidem oppugnare, tanquam Goliath, ab inuicto Dauide, interficiuntur.

Cùm autem conentur Nestorianismi arguere eos, qui duas in Christo naturas profitentur; propter sententiam illam, quæ naturas dicit esse hypostases, non animaduertunt se gladium tam aduersus sanctos Patres, quàm aduersus seipsos stringere. Nam cum vos naturas dicatis esse hypo-

τοῦ θεολόγου Κυρίλλου πρόσωπα εἶναι τὰς ὑποστάσεις, οὐδὲν ἕτερον ἐλέγχεσθε λέγοντες, ἀλλ' ἢ ὅτι ἀσύγχυτα μεμενήκασι τὰ τοῦ Χριστοῦ πρόσωπα. οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτὸν τὸν ἀοίδιμον Κύριλλον χαλεπῶς ἐνυβρίζετε, λέγοντες πρόσωπον εἶναι τὴν φύσιν. εἰ γὰρ πρόσωπον ἡ φύσις σημαίνει, πῶς νοήσωμεν τὴν φωνὴν αὐτοῦ τὴν πρὸς Σούκκενσον λέγουσαν. δύο τὰς φύσεις εἶναι φαμὲν· εἰ μὴ, ὅτι δύο τὰ πρόσωπα Χριστοῦ εἶναι φαμέν. εἴγε ἡ φύσις πρόσωπόν ἐστι.

Εἶπε πάλιν ὁ Ἰωάννης, Ὁ αἱρετικὸς πρὸς ταῦτα ἀπεκρίνατο. ἐκ δύο φύσεων, ἤγουν ὑποστάσεων ὁ μακάριος Κύριλλος εὐσεβῶς ὁμολογεῖ, τὸν ἕνα, καὶ μόνον Χριστὸν ὑπάρχειν. Ὁ ὀρθόδοξος. πρὸς ὃν πάλιν ἔφην ἐγώ. εἰ μὲν τοῦ ἁγίου Κυρίλλου εἰσὶν αἱ τοιαῦται φωναὶ, καθὼς καὶ ἤδη προεῖπον, μόνῳ ἔγνωσται θεῷ. ἐν ἑνὶ μὲν γὰρ τόπῳ λέγει, ἐκ δύο σαρκοῦσθαι ὑποστάσεων τὸν Χριστόν· ἐν ἑτέροις δὲ τριάκοντα φέρονται ἐπ' ὀνόματι αὐτοῦ χρήσεις μὴ λέγουσαι τὸ, ἐκ δύο. ἀλλά ποτε μὲν λέγουσαι· τύπος ἂν εἶεν ἡ κιβωτὸς τῶν τοῦ Χριστοῦ ὑποστάσεων. ποτὲ δὲ, εἴ τις μετὰ τὴν ἄφραστον ἕνωσιν διαιρεῖ τὰς ὑποστάσεις· καθ' ἃ καὶ ἐν τοῖς σχολίοις αὐτοῦ φησὶν οὕτως. ὅτι δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις, ἐντεῦθεν ἰσάμεθα. τὸ γάρ τοι χρυσίῳ ἐπηλειμμένον τὸ ξύλον, μεμένηκεν ὅπερ ἦν. καὶ καταπλουτεῖ μὲν τὸ ξύλον τοῦ χρυσίου τὴν δόξαν, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι ξύλον. ταῦτα ἐγὼ ἀκούων φρίττω. εἴγε ὁ λέγων πρόσωπα εἶναι τὰς ὑποστάσεις, κατεδέξατο ὅλως κἂν ἐν ὀνείροις λέγειν ἐν Χριστῷ τῷ θεῷ διαφόρους ὑποστάσεις. Ἀλλ' οὐ λέγει, φησὶ, προσωπικὰς ὑποστάσεις ὁ Κύριλλος. Ἀλλ' οὐδὲ ἐγὼ, οὐδὲ ἡ σύνοδος Χαλκηδόνος προσωπικὰς τὰς φύσεις, ἀλλ' ὥσπερ ὁ θεῖος Κύριλλος, ὑπάρξεις νοεῖ τὰς ὑποστάσεις, τουτέστιν ἐφιστάμενα πράγματα· οὕτω κἀγὼ ὄντα, καὶ πεφυκότα πράγματα τὰς φύσεις λέγω, ὥσπερ καὶ σὺ τὴν ὑπόστασιν ὑφεστὸς νοεῖς, οὕτω κἀγὼ τὴν φύσιν, τὸ πεφυκός.

Ἀλλὰ τάχα τοῦτο βούλεσθε πρὸς ἡμᾶς εἰπεῖν. ὅτι αἱ μὲν φύσεις, καὶ ὑποστάσεις, ἃς εἶπεν ὁ ἅγιος Κύριλλος ὑπάρξεις σημαίνουσι.

καὶ

ſtaſes; Cyrillus verò doceat, perſonas eſſe hypoſtaſes, manifeſtum eſt, vos nihil aliud dicere, quàm perſonas Chriſti manſiſſe inconfuſas. Neque hoc ſolum, ſed & ipſum celeberrimum Cyrillum grauiſsima iniuria afficitis, cum quaſi ex ſententia illius affirmatis naturam eſſe perſonam. Nam ſi natura ſignificat perſonam; quomodo aliter accipiemus illud eiuſdem Cyrilli in epiſtola ad Succeſſum? *Duas naturas eſſe profitemur*; niſi duas in Chriſto perſonas eſſe profitemur, ſi natura eſt perſona.

Deinde reſpondit ad hæc Ioannes Hæreticus. Ex duabus naturis ſiue hypoſtaſibus vnum eundemque Chriſtum conſtare, rectè ac piè confitetur beatus Cyrillus. Orthodoxus. Tum ego: Vtrum beati Cyrilli ſint voces illæ, ſoli Deo notum eſt, vt iam antea diximus; in vno enim loco dicit; *Chriſtum ex duabus hypoſtaſibus conſtare*. In aliis verò plurimis circumferuntur ſub nomine eius teſtimonia, in quibus non apparet illud: *Ex duabus*: ſed aliquando quidem dicit: *Arcam fœderis fuiſſe figuram hypoſtaſeωn Chriſti*: Interdum: *Si quis poſt ineffabilem vnionem hypoſtaſes diuidit*; Et in Scholiis ſuis ita loquitur. *Inconfuſas manſiſſe naturas ſiue hypoſtaſes hinc ſcimus*. Nam lignum auro tinctum manet id quod erat; Et lignum quidem ditatur, aurique ſplendorem participat; at non deſinit eſſe lignum. Atqui ego toto corpore cohorreſco, quando audio illum, qui dicit *perſonas* eſſe *hypoſtaſes*, vel in ſomno, eo audaciæ proceſsiſſe, vt in Chriſto diuerſas hypoſtaſes conſtituat. Obiicit hæreticus: *Cyrillum non dicere perſonales hypoſtaſes*. Verùm neque ego, neque Synodus Chalcedonenſis dicimus naturas perſonales, ſed quemadmodum diuinus Cyrillus nomine hypoſtaſeωn intelligit ὑπάρξεις, hoc eſt, exiſtentias, ſeu res exiſtentes, ſic & ego per naturas nihil aliud intelligo, quàm res, quæ verè ſunt & exiſtunt. Sicut enim tu hypoſtaſin concipis, tanquam aliquid ſubſiſtens; ſic & ego nomine naturæ concipio aliquid, quod exiſtat.

Sed fortè hoc apud nos efficere contenditis, naturas & hypoſtaſes, quas S. Cyrillus nominauit, nihil aliud eſſe quàm

καὶ ἀνέγκλητός ἐστιν. αἱ δὲ φύσεις, ἃς ἡ Χαλκηδόνος σύνοδος ἐπὶ Χριστοῦ κηρύττει, φύσεις τινὲς ἀνέμων φυσώντων, ἢ καμήλων, καὶ ἡμιόνων, φυσικὰ μόρια τυγχάνουσιν. ταῦτα μυκτηρίζων ἐμβροντήτως πρὸς Ἰωάννην τὸν νυστάζοντα εἶπεν. καὶ ἀποστραφεὶς πρὸς τὸν λαὸν τῆς ἐκκλησίας εἶπεν. μὰ τὴν ἀγάπην ὑμῶν, ἀκούοντες ὑποστάσεις ἐν Χριστῷ οἱ ἀπὸ Σευήρου, νομίζω, ὑποστάσεις τινῶν κτημάτων ἐννοούμενοι. τούτου χάριν ἀφόβως, καὶ ἀπαρατηρήτως αὐτὰς κηρύττουσι, καὶ ὁμολογοῦσιν. ἐὰν δὲ ἀκούσωσι φύσιν, αἰσχρά τινα, καὶ ἄτοπα νομίζουσι ταύτας εἶναι τὰ μόρια τὰ συνουσιαστικὰ τῶν σωμάτων τῶν ἀνθρωπίνων, καὶ γυναικείων. καὶ τούτου χάριν, τὴν τοιαύτην φωνὴν ἀποφεύγουσιν ὡσανεὶ Σαρακινοῖς μαθητεύσαντες. κἀκεῖνοι γὰρ ἀκούοντες θεοῦ τέκνον, καὶ γέννησιν θεοῦ, εὐθέως γάμους, καὶ σποράν, καὶ σαρκικὴν συνάφειαν ἐννοούμενοι βλασφημοῦσιν. ἐπεὶ εἰ μὴ τοῦτο, καὶ οἱ Σευήρου ἐννοοῦνται, πῶς ὀνομάζοντες τὸ σῶμα τοῦ κυρίου, πλείστας, καὶ διαφόρους προσηγορίας, πτωχὰς ὄντως καὶ θεοῦ ἀναξίας, καὶ ἀλλοτρίας, ὁμοίως, καὶ ἀγγέλῳ, μόνην τὴν τῆς φύσεως προσηγορίαν ἐπ' αὐτοῦ παραιτοῦνται εἰπεῖν.

* λέγουσι.

Ὅρα γοῦν λέγουσι, τὸ σῶμα κυρίου * θνητὸν, λέγουσιν αὐτὸ φθαρτὸν, λέγουσιν αὐτὸ παθητὸν, ῥευστὸν, ὑλικὸν, νεκρὸν, χοϊκὸν, ἔμπνουν, ἔνδημον, ἔγκοπον. αἱ προσηγορίαι, ὡς προεῖπον, οὐδὲ ἐπὶ ἀγγέλων, οὐδὲ ἐπὶ τῶν πνευμάτων δύνανται λέγεσθαι· μόνον δὲ φύσιν, ἤτοι ἀλήθειαν παραιτοῦνται ὀνομάζειν αὐτό. καὶ τί λέγω τὰ προειρημένα ὀνόματα, καὶ μὴ μᾶλλον τὰ τραχύτερα; ὁμολογοῦσι τὸν Χριστὸν διὰ τῆς σαρκὸς γενόμενον κατάραν, καὶ γενόμενον ἁμαρτίαν, ὡς φησὶν ἡ γραφή. ὁμολογοῦσιν αὐτὸν πειρασθέντα τεσσαράκοντα ἡμέρας ὑπὸ τοῦ διαβόλου. φύσιν δὲ, ἤτοι ἀλήθειαν λέγειν, οὐκ ἀνέχονται. ἐρωτῶμεν αὐτοὺς λέγοντες· ποία φύσις Χριστοῦ ηὔξησε; ποία ἐνεκρώθη; ποία ἐρραπίσθη; ποία ἐκοπίασεν; ποία ἐδάκρυσεν; καὶ ἁπλῶς, πάντα τὰ πτωχὰ ῥήματά τε, καὶ πράγματα τοῦ Χριστοῦ ἐρωτώμενοι παρ' ἡμῶν, ὅτι κατὰ ποίαν φύσιν ἐπράχθησαν, καὶ ἐρρέθησαν; ἀποκρίνονται λέγοντες, ὅτι κατὰ τὴν σάρκα, ὅτι

κατὰ

existentias, seu res existentes: & sic S. Cyrillum meritò reprehendi non posse: naturas autem, quas Chalcedonensis Synodus tradit, esse naturas quasdam spirantium ventorum, vel camelorum & mulorum, naturales partes. Hæc voce graui non sine subsannatione ad Ioannem * *Dormitatorem* dixi; & conuersus ad populum sic locutus sum: Testor charitatem vestrã, Seuerianos, quando audiunt in Christo hypostases; hypostases nisi fallor, facultatum possessionum seu fortunarum intelligere: Eaque de caussa animo intrepido, & imperterrito eas prædicare & confiteri. At verò quando audiunt naturam, turpia quædam & absurda animo efformare, vtpote partes, quæ virorum atque mulierum corpora constituunt: quamobrem vocem hanc auersari, quasi in Sarracenorum disciplina instituti essent: nam & isti, cum Dei conceptionem & natiuitatem audiunt, derepente nuptias, & semen, carnalemque coniunctionem somniantes blasphemant. Etenim, si Seueriani aliter affecti sunt; qua ratione cum corpus Domini nominant, plurimasque & diuersas appellationes prorsus frigidas, indignas, alienasq; etiam ab Angelica natura recipiant, solam naturæ appellationem in Deo respuunt?

** Initio huius dialexeos, vocauit Gregoriũ quẽ iam appellat Ioannem. Sed videtur legendum. Ad Ioannem ϰ̀ νυςάζοντα, &* Dormitatorem. *Duo enim fuère; hæreticorum propugnatores.*

En tibi, corpus Domini vocant mortale; vocant corruptioni obnoxium. Vocant patibile, fluxile, materiale, terrestre, fami, siti & laboribus subiectum, quæ appellationes neque in Angelos, neque in spiritus competunt; solius naturæ siue veritatis appellationem eidem corpori Christi tribuere detrectant. Et cur prædicta nomina, & nõ potius adhuc asperiora in medium affero? Fatentur enim Christum per carnem factum maledictum & peccatum, vt dicit scriptura. Fatentur illum quadraginta dies tentatum à Diabolo. At vt *naturã* seu *veritatem* vocent, adduci nequeunt. Interrogemus illos, quæ Christi natura creuerit? Quæ incarnata sit? Quæ colaphis cæsa? Quæ labores sustinuerit, & lacrymas fuderit? vno verbo, omnia vocabula & res, quæ in Christo abiectionis & egestatis argumenta sunt, percurrentes, percontemur, secundum quã tandem naturam facta & pronunciata sint; respondebunt; secundum carnem; secundũ id, quod erat terrenum, secundum *Gal. 3.*

 id,

κατὰ τὸ χοϊκὸν, κατὰ τὸ ὁρώμενον, κατὰ τὸ πρόσλημμα, κατὰ τὸ ἀνθρώπινον. κατὰ τὸ σῶμα τοῦ χριστοῦ. ταύτας, καὶ ἄλλας μυρίας προσηγορίας ὀνομάζοντες τὴν ἀνθρωπότητα τοῦ χριστοῦ, φύσιν αὐτὴν ὁμολογεῖν οὐκ ἀνέχονται. καίπερ, ὡς προεῖπον, λέγοντες αὐτὴν ὑπόστασιν. εἶδες πώρωσιν ἀνθρώπων.

Οἱ δὲ ἐναντίας εἶπον. Ὅτι ἐὰν εἴπωμεν, φησὶ, τὸ σῶμα τοῦ χριστοῦ φύσιν, ἐξ ἀνάγκης πάσης εὑρισκόμεθα, ὡς ἡ σύνοδος χαλκηδόνος, ὁμολογοῦντες δύο φύσεις ἐν αὐτῷ, ἤγουν δύο πρόσωπα, οὐκέτι* γὰρ φύσις ἀπρόσωπος. Τοὐναντίον, ὦ ἄνδρες, εἶπεν, οὐκ ἔστιν ὑπόστασις ἀπρόσωπος. Ἅπαντες γὰρ οἱ πατέρες, καὶ ἐπὶ τοῦ τριαδικοῦ λόγου, καὶ ἐπὶ τῇ οἰκονομίᾳ, τὴν ὑπόστασιν πρόσωπον εἶναι φάσκουσιν. εἰ δὲ κατὰ ὑμέτερον Σευήρου νόμον, ὁ λέγων τὴν σάρκα τοῦ χριστοῦ φύσιν, τὰ Νεστορίου φρονεῖ, ὡς δύο φύσεις, καὶ πρόσωπα λέγων ἐπ᾽ αὐτοῦ. εὑρεθήσονται πάντες πάλιν οἱ ἅγιοι πατέρες ἀπόβλητοι, ὡς Νεστορίου σύμφρονες. ἅπας γὰρ αὐτῶν ὁ χορὸς, φύσιν περιφανῶς τὴν τοῦ χριστοῦ ἐκήρυξεν ἀνθρωπότητα. καὶ πρῶτος αὐτὸς ὁ μακάριος Παῦλος, ὁ ἀπόστολος, καὶ φωστὴρ τοῦ κόσμου, μορφὴν γὰρ δούλου καλεῖ τὸν κατὰ τὸν σωτῆρα ἄνθρωπον. ἡ δὲ μορφὴ, φύσις ἐστὶν ὡς φησὶν τῶν ἁγίων διδασκάλων χορός. ὡσαύτως καὶ Διονύσιος ὁ Παύλου φοιτητὴς, ἐν τῇ πρὸς Γαΐανὸν ἐπιστολῇ, οὐσίαν ὀνομάζει τὴν τοῦ χριστοῦ ἀνθρωπότητα. Ὁμοίως καὶ Εἰρηναῖος ὁ Ἀποστολικὸς σχεδὸν συνόμιλος, ὡς ἐν ταῖς ἔμπροσθεν ἐδείξαμεν χρήσεσιν. Εἰ δὲ δυσσεβὲς, καὶ Νεστοριανὸν, καὶ ἀπόβλητον τυγχάνει, τὸ, ὀνομάζειν φύσιν τὴν ἀνθρωπότητα τοῦ χριστοῦ, καθῄρηται, πάλιν λέγω, καὶ ἀποβέβληται ὑφ᾽ ὑμῶν πᾶσα ἡ τῶν ἁγίων πληθύς. καὶ ἀρειαὶ, καὶ ἄπρακτοι παρ᾽ ὑμῖν αἱ τούτων διδασκαλίαι.

Σχόλιον. ἐκ τῆς εἰς τὴν ἀνάληψιν. ψεύστης λοιπὸν Ἰωάννης ὁ Κωνσταντινουπόλεως λέγων. θεὸν ἐν ἀνθρωπίνῃ κρυπτόμενον φύσει. καὶ, ὅτι ἡ φύσις, ἡ ἀκούσασα ἐπὶ γῆς. ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· αὕτη ἤκουσεν ἐν οὐρανοῖς, κάθου ἐκ δεξιῶν μου. καὶ πάλιν ὁ αὐτὸς φησίν. ὅτι ἡ φύσις, δι᾽ ἣν τὸ χερουβὶμ ἐφύλαττε τὸν παράδεισον, αὕτη ἐπάνω τοῦ χερουβὶμ γέγονε σήμερον. εἰ δὲ ἀσεβὲς τὸ ὀνομάζειν, κατὰ τὴν ἕνωσιν.

* οὐκ ἔστι.

id,quod ſub viſum cadebat; ſecundum id, quod erat aſſumptum, ſecundum id,quod erat humanum, ſecundum corpus Chriſti. Has & alias infinitas appellationes cum Chriſti humanitati tribuant, ſolum naturæ nomẽclaturam ab ea remouent; & vt antea dixi, hypoſtaſin vocant. Vides hominum cæcitatem.

Aduerſarij reſponderunt. Quia ſi corpus Chriſti nominemus naturam, neceſſariò prorſus cum Synodo Chalcedonenſi duas inChriſto naturas ſiue perſonas cõfiteri arguemur: neq; enim vlla natura eſt perſonæ expers. Tum ego; E contrario,non eſt vlla hypoſtaſis abſq; perſona: Omnes enim Patres tam in ſanctiſſimo Trinitatis myſterio,quàm in Incarnatione tradunt hypoſtaſin eſſe perſonam. Si verò ex Seueri diſciplina is, qui carnem Chriſti naturam nominat cum Neſtorio facit ac ſentit, tanquam duas naturas ſtatuens, duas quoque in illo perſonas conſtituat, ſequitur omnes ſanctos Patres, tanquam Neſtorij ſectatores repudiari debere. omnes enim docuerunt,humanitatem Chriſti eſſe naturam. Et primus ipſe beatus Paulus Apoſtolus lumen mundi. A quo Seruatoris noſtri *humanitas vocatur forma ſerui*; ſi forma eſt;vtiq; & natura eſt, vt ſancti doctores docent. Similiter Dionyſius Pauli diſcipulus in epiſtola ad Caium Chriſti humanitatẽ vocat ſubſtantiam ſeu eſſentiam. Sic & Irenæus, Apoſtolorum ferè æqualis, vt ex ſuprà adductis teſtimoniis liquet. Si verò impium, &Neſtorianum deteſtandumq́; eſt humanitatem Chriſti appellare naturam, rurſus vniuerſa Sanctorum multitudo à vobis reiicitur; omniſque eorum doctrina,apud vos nullius eſt pretij ac momenti. *Philip.2.*

Scholium. Ex oratione in Aſcenſionem. Mendax igitur erit Ioannes Epiſcopus Conſtantinopolitanus, cùm ait; *Deum in humana natura abſconditum eſſe*; & *, naturam qua audierat in terra; Terra es,& in terram redibis; hinc proficiſcentem audiſſe in cælis: Sede à dextris meis.* Rurſus idem ait: *Naturam, propter quam Cherubinus paradiſum ſeruabat, iam ſupra Cherubinos eſſe*; Si poſt vnionem impium eſt humanitatem CHRISTI nominare naturam, mani-

ἕνωσιν, φύσιν τὴν ἀνθρωπότητα τοῦ χριστοῦ, ἐλέγχεσθε προφανῶς ἀναθεματίζοντες τοὺς ἁγίους πατέρας.

Σχόλιον. Πρὸς Εὐνόμιον] Ἀμβρόσιον μὲν λέγοντα. ὅτι ἐν τῇ ἐμῇ οὐσίᾳ λαλεῖ ὁ χριστὸς, Γρηγόριον δὲ φάσκοντα, ποία φύσις ἐπὶ τοῦ πάθους ῥαπίζεται; καὶ ὅτι ἐδίδου καιρὸν ὁ χριστὸς τῇ φύσει τοῦ σώματος ἐνεργῆσαι τὰ ἑαυτῆς. λοιπὸν δὲ καθαιρεῖ τι, καὶ Ἀθανάσιον, διὰ τὸ φάσκειν ἐν τοῖς κατὰ Ἀρειανῶν, τὴν σάρκα τοῦ χριστοῦ ἰδίᾳ φύσει τὰ πάθη ὑπομεῖναι. ποίῳ δ' ἐπιτιμίῳ ἄρα καταδικάσει τι Βασίλειον λέγοντα ἐν τῷ περὶ νηστείας λόγῳ, περὶ χριστοῦ ὅτι ἐπαινῶν εἰς τοὺς οὐρα[illegible] τροφῆς ἥψατο τὴν φύσιν τοῦ σώματος τοῦ ἀναστάντος πιστούμενος. ᾧτινι συμφωνεῖ πάλιν Ἀθανάσιος ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ, φάσκων περὶ χριστοῦ. τὸ μὲν οὖν σῶμα κοινὸν ἔχον τοῖς πᾶσι τὴν φύσιν. σῶμα γὰρ ἦν ἀνθρώπινον. καθὰ καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ τῶν θεοφανειῶν φησὶ περὶ τοῦ κυριακοῦ σώματος. ὅτι καὶ ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἐδάκρυσε νόμῳ φύσεως. σύμφωνα δὲ πάλιν καὶ Ἀμβρόσιος περὶ τοῦ πάθους χριστοῦ φάσκει πρὸς Γρατιανὸν τὸν βασιλέα λέγων. καὶ γὰρ ἑκατέρας μετέχει φύσεως, τοῦτ' ἐστιν ἀνθρωπίνης, καὶ θείας. ἐν γὰρ τῇ ἀνθρωπίνῃ φύσει τὸ πάθος ὑπέμεινε. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ φησί. καθ' ἃ συμφωνεῖ καὶ ὁ Νυσσεὺς λέγων· ποία φύσις ἐπὶ τοῦ πάθους ῥαπίζεται.

Ἐπισφραγίσω δὲ τὰ εἰρημένα ὥσπερ τινὶ βασιλικῷ δακτυλίῳ, καὶ χαρακτῆρι τῷ ἀοιδίμῳ Κυρίλλῳ· ὅμως οἶδα ὅτι καὶ αὐτὸν κατὰ τὴν Σεβήρου κέλευσιν ἀπωθεῖσθε φύσιν ὀνομάζοντα τὸ σῶμα τοῦ δεσπότου χριστοῦ. γράφει γὰρ πρὸς Σούκκενσον, παθεῖν αὐτὸν, καὶ σταυρωθῆναι τῇ χοϊκῇ φύσει. καὶ πάλιν φησὶν πρὸς τὸν αὐτόν. ὅτι οὐ μεταπεφοίτηκεν ἡ τῆς σαρκὸς φύσις, εἰς τὴν τοῦ λόγου φύσιν. καὶ πάλιν ἐν ἑτέρῳ φησί. Ἀμοιρήσειεν μώμου παντὸς, τὸ εἰδέναι, ὡς ἑτέρα μέν ἐστι κατ' ἰδίαν φύσιν ἡ σὰρξ παρά γε τὸν θεὸν λόγον. ὁμοίως καὶ πρὸς Εὐλόγιον φάσκει. ὅτι ἐὰν μὴ ὁμοούσιον ὑπάρχει τὸ σῶμα τῷ θεῷ λόγῳ, ἕτερα πάντως, καὶ ἑτέρα φύσις ἐστί. καθ' ὡς ταῦτα πάντα, καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται. λέγων δὲ, ὁ πατὴρ, ἑτέραν καὶ ἑτέραν φύσιν ἐν χριστῷ. πρόδηλον, ὅτι τὴν θεότητα, καὶ τὴν ἀνθρωπότητα τοῦ χριστοῦ

ἐπίσης

manifestum profecto est, vos sanctis Patribus anathema dicere.

* Scholium. Ad Eunomium] Ambrosio quidem aienti, *Christum in mea substantia loqui.* Gregorio, quærenti; *quæ natura in Christo alapis percutitur?* affirmantique: *quod Christus naturæ corporis concesserit tempus agendi, quæ sibi erant consentanea*: Sic & Athanasium damnationis sententia percellant oportet, qui aduersus Arianos affirmat, *carnem Christi propriâ naturâ cruciatus sustinuisse.* Quam verò pœnam irrogabitis Basilio, qui oratione in ieiunium de Christo ait: *eum redeuntem in cœlum, alimentum gustasse, vt naturam corporis, quod resurrexerat, comprobaret.* Cui concinit S. Athanasius in libro de Incarnatione; vbi hæc de Christo. *Corpus eius communem cum omnibus naturam habebat. Erat enim corpus humanum.* Gregorius quoque Theologus oratione in Theophaniam de Christi corpore dicit; *illud esuriisse, famem, sitim sustinuisse, lacrymasq; profudisse, lege ac præscripto naturæ.* Consona de passione Christi scribit S. Ambrosius ad Gratianum Imperatorem: sic inquiens; *Etenim vtriusque naturæ particeps est humanæ ac diuinæ. Nam in natura humana passionem sustinuit.* Idem dicit in libro de Incarnatione. Consentit Gregorius Nyssenus, cùm ait: *Qualis natura in passione alapis cæditur?*

* *Videntur hæc verba hic redundare.*

Prædicta obsignabo, tanquam regali quodam annulo & sigillo auctoritate celeberrimi Cyrilli, etsi non sum ignarus eundem iussu Seueri, à vobis reiici, quando corpus Christi nominat *naturam.* Scribit enim ad Successum, *eum passum esse & crucifixum in natura terrestri.* Rursus ad eundem: *Carnis naturam non transiisse in naturam verbi.* Et alibi: *Omni reprehensione vacat nosse ac profiteri carnem Christi propria suâ naturâ à diuino verbo distinctam esse.* Sic ad Eulogium; *Si corpus non est eiusdem cum Verbo substantiæ: omnino sequitur, aliam & aliam naturam esse; quemadmodum de his omnibus iam antea dictum est.* Cùm verò sanctus hic Pater nominat in Christo aliam & aliam naturam, planum est; eum ex æquo diuinitatem & humanitatem Christi natu-

ἐπίσης φύσιν προσαγορεύει. ὡς αὕτως καὶ ὅτι λέγει, δύο τὰς φύσεις εἶναι φαμέν. πρόδηλον, ὅτι τὴν σάρκα λέγει τὴν μίαν τούτων. καθὰ καὶ ὁ θεῖος Ἐφραὶμ, καὶ Ἰσίδωρος, καὶ Πρόκλος, καὶ Ἀττικὸς, καὶ πάντες οἱ λοιποὶ πατέρες, οἱ λέγοντες, ἐν χριστῷ διαφόρους φύσεις. τὸ σῶμα αὐτοῦ λέγουσι τὴν μίαν τούτων· καὶ πῶς οὕτως ὁμῶς, καὶ ἀπηθῶς ἐνίστασθε λέγοντες ὅτι ἀδύνατον, τὴν τοῦ κυρίου ἀνθρωπότητα προσαγορεύεσθαι φύσιν;

Πρὸς ταῦτα Ἰωάννης, καὶ Γρηγόριος ὁ νυστάζων εἶπον. πρὸ μὲν τῆς ἑνώσεως ὁμολογοῦμεν τὰς δύο φύσεις. μετὰ δὲ τὴν ἕνωσιν, μία φύσις ἐστὶν ὁ χριστὸς σεσαρκωμένη. καὶ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς. ὑπολαμβάνω ὅτι μετὰ τὴν ἄρρητον ἕνωσιν τοῦ χριστοῦ τὴν ἐν Ναζαρὲτ γενομένην ἐν τῇ μήτρᾳ τῆς ἁγίας θεοτόκου· καὶ μετὰ τὸν τόκον, καὶ μετὰ τὴν ἀνάληψιν αὐτοῦ τὴν ἐν τῷ θρόνῳ τῷ χερουβικῷ, συναθροίσας τὸ διακέρατον αὐτοῦ, καὶ ὑμᾶς ὁ Σευῆρος, ἑτέραν δευτέραν ἕνωσιν ἐποίησε τῷ χριστῷ. καὶ τούτου χάριν παραδέδωκεν ὑμῖν λέγων· ὅτι, μετὰ τὴν ἕνωσιν, ἣν αὐτὸς ἐποιήσατο ἐν χριστῷ, μηκέτι προσαγορεύεσθαι τὸ σῶμα αὐτοῦ, μήτε ὁμολογεῖν, ἐν αὐτῷ δύο ἡνωμένας φύσεις. ἐπεὶ εἰ μὴ τοῦτο ἐποίησεν, ἰδοὺ πάντες οἱ μακάριοι πατέρες, καθὼς προαποδέδεικται, μετὰ τὴν ἐν Ναζαρὲτ ἕνωσιν τοῦ χριστοῦ, εἰρήκασι τὰς δύο φύσεις ἐπ' αὐτοῦ. οἱ μὲν ἐν τῷ τόκῳ, τῷ ἐν Βηθλεέμ. οἱ δὲ, ἐν τῇ ἀπαντῇ τοῦ Συμεών. οἱ δὲ, ἐν τῷ βαπτίσματι. ἄλλοι, καθὰ Κύριλλος, ῥαπισθῆναι, καὶ παθεῖν αὐτὸν ἔφησαν τῇ χοϊκῇ φύσει. Πρόκλος ἐν τῇ ψηλαφήσει τῆς πλευρᾶς τῇ ὑπὸ τοῦ Θωμᾶ, συζυγίαν κηρύττει χριστοῦ φύσεων. Βασίλειος ἐν τῇ τροφῇ, ἣ μετὰ τὴν ἀνάστασιν, φύσιν ὀνομάζει τὸ δεσποτικὸν σῶμα. Ἰωάννης, ἐν τῷ θρόνῳ τῷ χερουβικῷ μετὰ τὴν ἁγίαν ἐν οὐρανοῖς ἀνάληψιν, ὁμοίως φύσιν προσηγόρευσεν ἡμετέραν ἐν χριστῷ, ἀκούσασαν ὑπὸ τοῦ πατρὸς, κάθου ἐκ δεξιῶν μου. ὅπου δὲ τὸ παναγιον σῶμα φύσις ὀνομάζεται, πρόδηλον, ὅτι δύο φύσεις ἐν χριστῷ γνωρίζονται. οὐκοῦν, ὡς εἶπον, δευτέραν τινὰ ἕνωσιν ὁ νομοθέτης ὑμῶν ἐν χριστῷ πεποίηκε Σευῆρος μετὰ τὴν ἁγίαν ἀνάληψιν. καὶ τούτου χά-

ριν

ram appellare; Sicut & tunc, cùm ait: *Duas naturas esse dicimus;* manifestum est, carnem esse vnam ex illis; quam naturam vocat: quemadmodum & diuinus Ephræm, & Isidorus, & Proclus, & Atticus, & omnes alij Patres, qui dicunt in Christo diuersas naturas; vnam ex his carnem vtique statuunt. Et qua fronte vos his adeo absque omni verisimilitudinis specie refragamini; dicentes; fieri non posse, vt humanitas Domini nominetur natura?

Ad hæc Ioannes & Gregorius Dormitantius responderunt. *Ante vnionem confitemur duas naturas; at post vnionem asserimus Christum esse vnam naturam incarnatam.* Ad quæ ego. Arbitror post inexplicabilem vnionem Christi factam, Nazarethi, in vtero sanctissimæ Deiparæ, & post partum, & post ascensionem Christi in throno Cherubico; Seuerum, collecto suo decicorni cœtu, adscitisque vobis, aliam quandam secundam vnionem in Christo fabricasse; eaque de caussa hoc vobis tradidisse, post vnionem, quam ipse in Christo commentus est; corpus Christi non esse amplius *naturam* appellandum; neque prædicandum duas in ipso vnitas naturas existere. Nam si Seuerus simile quiddam non fecit, ecce vniuersi Patres, vt antea demonstrauimus; post vnionem Nazarethi in Christo factam, duas in illo naturas professi sunt; alij quidem dum loquuntur de partu & ortu Bethleemi; alij dum agunt de occursu Simeonis: alij dum tractant de baptismate; alij, vt Cyrillus, dixerunt eum colaphis cæsum, & passum in natura terrena. Proclus in cõtrectatione lateris facta à Thoma Apostolo coniunctionem naturarum in Christo prædicat. Basilius eandem astruit ex cibo post resurrectionem sumpto; corpusque Domini naturam nominat. Ioannes Chrysostomus post sanctam in cœlos Ascensionem nostram naturam in Christo nominauit; quippe quam supra thronum Cherubicum euectam dicat; cui à Patre dictum sit: *Sede à dextris meis.* Vbi autem sanctissimum Christi corpus *natura* appellatur, ibi clarum est duas in illo naturas agnosci ac constitui. Igitur, vt dicebam, nouam quandam vnionem legislator vester Seuerus in Christo architectatus est, post

ριν ἐνομοθέτησεν ὑμῖν μὴ λέγειν, ἐν Χριστῷ μετὰ τὴν ἕνωσιν δύο φύσεις.

Οἱ αἱρετικοί. Ἀλλὰ Κυρίλλου ἐστί φησιν ἡ φωνή, ἡ λέγουσα, ὅτι μετὰ τὴν ἕνωσιν μία φύσις σεσαρκωμένη ἐστὶν ὁ Χριστός. καὶ διὰ τοῦτο οὐ λέγομεν ἐπ' αὐτοῦ δύο φύσεις. ταῦτα Ἰωάννου καὶ τῶν σὺν αὐτῷ ἑτεροδόξων εἰπόντων. ἐβόησα λαμπρᾷ, καὶ περιχαρεῖ τῇ φωνῇ, καὶ εἶπον. Κυρίλλου αἰωνία ἡ μνήμη. καθὰ καὶ ἡ σύνοδος Χαλκηδόνος εἴρηκε. καὶ γὰρ οὐδεὶς τῶν ἁγίων πατέρων τὸ πανάγιον, καὶ ἀμείωτον, καὶ αἰώνιον, καὶ ἀνεξάλειπτον τῶν Χριστοῦ φύσεων εἴρηκεν, ὡς θεοφράντωρ Κύριλλος. Οἱ μὲν γὰρ μακάριοι πατέρες τὸν ἀριθμὸν εἰρήκασιν. ὁ δὲ τρισμακάριος Κύριλλος μετὰ τοῦ ἀριθμοῦ, καὶ τὴν ἀνεξάλειπτον, καὶ τηρουμένην ἀεὶ τῶν φύσεων τοῦ κυρίου διαμονὴν μετὰ τὴν ἕνωσιν. εἰς μὲν γὰρ τὸ, λύσατε τὸν ναὸν τοῦτον, εἶπεν, Χριστὸν ἀποσώζοντα ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἑτερουσίων ἀσύγχυτον τὴν ἰδιότητα. πρὸς Σούκκενσον δὲ πάλιν φησί, δύο τὰς φύσεις εἶναι φαμέν. καὶ πάλιν πρὸς Ἑβραίους, ἐν τῇ ἑρμηνείᾳ φησὶ περὶ τῶν Χριστοῦ δύο φύσεων οὕτως. καὶ οὐ δή που φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις. ὡς μεταστῆναι μὲν τὴν τοῦ λόγου φύσιν εἰς τὴν ἀνθρώπου τυχόν. ἀλλ' οὐδ' αὖ τὴν ἀνθρωπίνην εἰς τὴν αὐτοῦ. νοουμένης δὲ μᾶλλον, καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ, πεπρᾶχθαι φαμὲν τὴν ἕνωσιν. Ὁμοίως καὶ ἐν ἕκτῳ τόμῳ τῆς αὐτῆς ἑρμηνείας, ταῖς αὐταῖς ξηραῖς πάλιν κέχρηται φωναῖς λέγων. οὐκ ἀνάχυσίν τινα τὴν τῶν εἰς ἀλλήλας τῶν φύσεων πεπρᾶχθαι φαμέν. μενούσης δὲ μᾶλλον ἑκατέρας, τοῦθ' ὅπερ ἐστίν. καθάπερ καὶ ἐν τοῖς σχολίοις ἐξέθετο φησίν, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις. εὖ σοι γένοιτο φωστὴρ, καὶ πυρσὲ, καὶ στύλε τῆς ἀληθείας Κύριλλε. ὄντως Κυρίλλου πάλιν λέγω, αἰωνία ἡ μνήμη, μὴ συγχωροῦντος ἡμᾶς ἐκ τῆς ἀληθείας πλανηθῆναι. ἀλλὰ τὸ ἀμείωτον, καὶ αἰώνιον τῶν Χριστοῦ οὐσιῶν ἡμᾶς παιδεύοντος. καὶ πάλιν πρὸς τὰς Βασιλίδας ἐπιστέλλοντος τὴν τῶν φύσεων εἰδέναι διαφορὰν, καὶ ἀσυγχύτως ἀλλήλαις φυλάττειν αὐτάς. ὑμεῖς μὲν οὖν, ὦ ἄνδρες, μίαν τινὰ τοῦ μακαρίου Κυρίλλου παρερμηνεύοντες χρῆσιν, φάσκετε, αὐτὸν μίαν λέγειν ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν, φύσιν. ἰδοὺ δὲ

ſanctum eius in cœlos reditum : Eâque de cauſſa præcepit vobis, ne poſt vnionem duas in Chriſto naturas profiteremini.

Hæretici. Atqui Cyrilli vox eſt; *Chriſtum, poſt vnionem, eſſe vnam naturam incarnatam: & propterea non profitemur in illo duas naturas.* Hæc Ioanne ſociiſque hæreticæ peruerſitatis dicentibus; clara voce ac hilari exclamans dixi; Cyrillo æterna memoria; ſicut & Chalcedonenſis Synodus dixit. Etenim nullus ſanctorum Patrum ſanctiſsimum illud & indeficiens, & æternum, & indelebile naturæ Chriſti beneficium ita prædicauit, ſicut diuinus Cyrillus. Nam beati Patres numerum aſsignarunt: at beatiſsimus Cyrillus ſimul cum numero indelebiliter, ſemperque naturas conſeruatas eſſe, etiam poſt vnionem, perſpicuè docuit. In illud enim : *Soluite templum hoc*: dixit, *Chriſtum in vtraque natura, quæ diuerſæ ſubſtantiæ erant, ſeruaſſe inconfuſam proprietatem.* Ad Succeſſum verò ait: *duas naturas eſſe dicimus.* Rurſus in Expoſitione epiſtolæ ad Hebræos de duabus Chriſti naturis ſic inquit. *Neque dicimus confuſionem, & quaſi permutationem quandam naturarum accidiſſe, vt natura verbi tranſiret in naturam hominis, aut natura hominis in naturam Verbi: ſed dicimus vnionem factam eſſe vtraque natura in ſua propria conditione exiſtente ac perſeuerante.* Similiter Tomo ſexto eorundem commentariorum his ipſis verbis vſus eſt : *Non dicimus factam eſſe velut tranſfuſionem quandam naturarum in ſe mutuo; ſed potius vtramque id, quod erat, permanſiſſe, aſſerimus.* Quod & in ſcholiis tradidit, cùm ait; *naturas manſiſſe inconfuſas.* Bene ſit tibi lumen, fax, & columna veritatis Cyrille. Iteratò dicam: Cyrilli verè æterna memoria, qui non ſinit nos à vero deerrare; ſed indeficientem illum perpetuoque durantem naturarum in Chriſto ſtatum nobis explicat; quod & in libro ad Reginas ſeu Imperatrices facit, vbi monet, vt *naturarum diuerſitatem agnoſcamus, & inconfuſas retineamus.* Vos igitur, ô viri, vnam quandam Cyrilli vocem malè interpretantes, dicitis, ipſum vnam in Chriſto naturam ſtatuere poſt vnionem. Ecce pietatis præco, diſertiſsimè omnique modo duas in Chriſto naturas poſt vnionem conſeruari, permanere; con-

Digitized by Google

ὡς κήρυξ τῆς εὐσεβείας, ἄνω, καὶ κάτω φυλάττεσθαι, καὶ σώζεσθαι, καὶ γνωρίζεσθαι, καὶ μετὰ τὴν ἕνωσιν, καὶ ἀριθμεῖσθαι, ὁμολογεῖ ἐν χριστῷ τὰς δύο φύσεις. προσέχετε, παρακαλῶ, μετ' ἀκριβείας τῆς τοῦ πατρὸς φωναῖς.

Εἶπεν, σώζεσθαι ἐν χριστῷ τῶν δύο φύσεων, τῶν ἐπρουσίων τὴν ἰδιότητα ἀσύγχυτον. ὁμοίως πάλιν εἶπεν, δύο τὰς φύσεις εἶναι φαμέν. εἶπεν, νοουμένην, καὶ ὑπάρχουσαν ἑκατέραν αὐτῶν ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ. εἶπεν, μένειν ἑκατέραν φύσιν ἐν χριστῷ, τοῦτο, ὅπερ ἐστιν. εἶπεν, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ χριστοῦ φύσεις, ἤγουν, ὑποστάσεις. πρὸς τούτοις πᾶσι παραγγέλλει λέγων. τὴν τῶν φύσεων εἰδέναι διαφοράν. καὶ ἀσυγχύτως ἀλλήλαις τηρεῖν αὐτάς. Ὁ μὲν οὖν θεορήτωρ Κύριλλος, ὡς ἀποδέδεικται, ἑξαχῶς ἡμᾶς ἐνταῦθα, τὴν ἀμείωτον, καὶ ἐνάριθμον ὕπαρξιν τῶν δύο χριστοῦ διδάσκει φύσεων. λέγων, αὐτὰς ἐν χριστῷ σώζεσθαι. λέγων αὐτὰς εἶναι. λέγων αὐτὰς ὑπάρχειν. λέγων αὐτὰς μένειν ἐν αὐτῷ· εἶτα εἶπεν αὐτὰς καὶ ἀσυγχύτως διασώζεσθαι. καὶ αὖθις καὶ παραγγέλλει, καὶ τὴν διαφορὰν τῶν φύσεων εἰδέναι, καὶ ἀσυγχύτως αὐτὰς φυλάττειν. καὶ ταῦτα μὲν ὁ διδάσκαλος.

Λοιπὸν ἐν τῇ ὑμετέρᾳ, καὶ τοῦ δικαιοκρίτου δικαστοῦ, καὶ νομοθέτου σωτῆρος φιλανθρωπίᾳ ἐστὶ τὸ ἀποφήνασθαι περὶ χριστοῦ τὸν ὅρον τοῦ χρόνου, καὶ τὴν προθεσμίαν, καὶ εἰπεῖν ἡμῖν; ἕως πόσων ἐτῶν ἀσύγχυτοι μεμενήκασιν ἐν αὐτῷ αἱ δύο φύσεις. καὶ ἕως πόσων μηνῶν δύο τὰς φύσεις ἐν αὐτῷ εἶναι φαμέν; καὶ ἕως ποίου καιροῦ δέον ἐστὶ τὴν τῶν φύσεων εἰδέναι διαφοράν; καὶ ἕως ποίων ἡμερῶν ἀποσώζει ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἐπρουσίων, ἀσύγχυτον τὴν ἰδιότητα; καὶ ἕως ποίας παρουσίας δεῖ τὴν τῶν φύσεων χριστοῦ εἰδέναι διαφοράν; καὶ ἀσυγχύτως ἀλλήλαις φυλάττειν αὐτάς;

Ταῦτα ἡμῶν διερωτώντων ἤδη πρὸ πολλοῦ τοῦ χρόνου, ὁ δικαστὴς σωτὴρ τὴν ἀπόκρισιν, καὶ τὴν ἀπόφασιν κατὰ χριστοῦ ἐξέθετο λέγων ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν. Ὁ αἱρετικός. Ἕως τῶν χρόνων Νεστορίου ἀσύγχυτοι ὑπῆρχον αἱ φύσεις· ἀπὸ δὲ Νεστορίου φυρμὸς, καὶ μείωσις τῶν φύσεων γέγονεν. ἀπὸ δὲ τῶν ἡμερῶν τῆς συνόδου χαλκηδόνος, ψεύστης ἐστὶ Κύριλλος ὁ εἰπών. δύο τὰς φύσεις

χριστοῦ

ſiderari & numerari confitetur. Attendite, obſecro, diligenter ad dicta Patris.

Diuerſarum naturarum proprietatem inconfuſam permanere dixit. Iterum dixit. Duas eſſe naturas affirmamus. Dixit vtramque conſiderari & exiſtere intra propriæ naturæ limitem. Dixit, vtramque naturam manere id, quod eſt. Dixit, in Chriſto inconfuſas perſeueraſſe naturas ſiue hypoſtaſes. Præter hæc omnes hortatur, vt naturarum differentiam agnoſcamus; easque inconfuſas prædicemus: Diuinus igitur Cyrillus *ſexies hoc loco, vt* demonſtratum eſt, tradit duarum *in Chriſto* naturarum exiſtentiam omnis imminutionis expertem; aptamque etiam numerari, dicit enim, illas in Chriſto conſeruari. Dicit, illas eſſe. Dicit, illas exiſtere: dicit, illas in Chriſto manere. Deinde addit: illas etiam inconfuſas perſeuerare: Rurſus monet, vt naturarum differentiam agnoſcamus; & inconfuſas profiteamur. Et hæc quidem Doctor noſter.

De cætero veſtri officij & æquitatis erit; & Seueri *cenſoris & legislatoris veſtri*, præfinire & deſignare nobis certum temporis terminum, quot nimirum annis naturæ in Chriſto permanſerint inconfuſæ, & quot menſibus duas in illo naturas eſſe affirmare debeamus: & quandiu neceſſarium ſit naturarum in Chriſto agnoſcere differentiam: & quot dies retineat in ſeipſo duarum diuerſarum naturarum inconfuſam proprietatem: & quouſque tandem oporteat duarum naturarum in Chriſto prædicare differentiam, easque impermixtas, & inconfuſas conſeruare.

Cùm hæc iam diu antea poſtulaſſemus; ſic nobis ſuam aduerſus Chriſtum ſententiam ſuis in libris expoſuit Seuerus Iudex. HAERETICVS; *Vſque ad tempora Neſtorij inconfuſæ erant naturæ; A tempore autem Neſtorij naturæ permixtæ ſunt ac confuſæ.* Et à tempore Synodi Chalcedonenſis mendax eſt Cyrillus cùm duas in Chriſto naturas prædicat. A tem-

χριστοῦ εἶναι φαμέν. ἀπὸ τῆς ἐκθέσεως τοῦ τόμου Λέοντος, οὐκ ἔτι ἀποσώζει χριστὸς ἀσύγχυτον τὴν τῶν δύο φύσεων τῶν ἐπρουσίων ἰδιότητα. ἐξ ἧς καθῃρέθη Διόσκορος. οὐκέτι δεῖ εἰδέναι ἐν χριστῷ τὴν τῶν φύσεων διαφορὰν, καὶ ἀσυγχύτους τηρεῖν αὐτάς· πρὸς γὰρ ἀνακυπτούσας αἱρέσεις δεῖ παραλλάττειν καὶ τὴν πίστιν, καὶ παραγράφεσθαι τὰ τῶν θείων γραφῶν, καὶ πατέρων διδάγματα.

Ἀχθομένων οὖν, καὶ λίαν δρυμυττομένων ἐπὶ τοῖς λεγομένοις Ἰωάννου, καὶ τῶν σὺν αὐτῷ ἑτεροδόξων. εἶπον πάλιν πρὸς αὐτούς. οὕτως ἐστὶν, ὡς ἐνώπιον κυρίου. ὅτι τῇ παραινέσει, καὶ νουθεσίᾳ πειθόμενοι Σευήρου, τῇ ἐπιτρεπούσῃ ὑμῖν παραγράφεσθαι μετὰ τὸν καιρὸν Νεστορίου τὰς φωνὰς τῶν ἁγίων πατέρων, κἂν αὐτοῦ τοῦ ἁγίου Κυρίλλου τυγχάνουσι δύο φύσεις ἐπὶ χριστοῦ λέγουσαι, τούτου χάριν οὐ δέχεσθε τὰς τῶν πατέρων χρήσεις, ἀλλ' ᾑρετίσασθε, καὶ αὐτὰ τὰ ἅγια εὐαγγέλια σχεδὸν διακρούσασθε, καὶ πᾶσαν παλαιὰν, καὶ καινὴν, καὶ πατρικὴν γραφὴν, καὶ στοιχῆσαι ὥσπερ νεωτέρῳ τινὶ Ἀκύλᾳ τῷ Σευήρῳ. ἐπεὶ τίς ἐξ ὑμῶν οὐ γινώσκει κατὰ πᾶσαν ἀκρίβειαν, ὅτι εἶπον οἱ πατέρες δύο φύσεις ἀμειώτους ἐν χριστῷ διαμένειν; τίς ἐξ ὑμῶν οὐ μαρτυρεῖ, ὅτι τοῦ ἁγίου Κυρίλλου εἰσὶν αἱ εἰρημέναι χρήσεις, αἱ φάσκουσαι, εἶναι, καὶ διαμένειν, καὶ γνωρίζεσθαι, καὶ τηρεῖσθαι, καὶ μὴ συγχεῖσθαι, καὶ ἀριθμεῖσθαι ἐν ἑνὶ προσώπῳ δύο ἀδιαιρέτους ἐν χριστῷ φύσεις; τίς ἐξ ὑμῶν οὐκ οἶδεν, ὅτι οὐ ταυτόν ἐστι φύσις, καὶ πρόσωπον; ἰδοὺ γὰρ μυρία μὲν πρόσωπα ὑπάρχομεν ἐν ταῦθα. μία δὲ φύσις ἐσμὲν πάντες.

Τούτων δὲ, καὶ ἑτέρων πλειόνων ἐν τῷ συνεδρίῳ εἰρημένων, ἐκ παλαιᾶς, καὶ διαφόρου πείρας ὑπάρχων, ὅτι ἄνω, καὶ κάτω τῷ μακαρίῳ Κυρίλλῳ σχολάζουσιν οἱ τὰ Σευήρου φρονοῦντες, καὶ ἄνω, καὶ κάτω τὰς αὐτοῦ χρήσεις φέρουσι. τῶν δὲ λοιπῶν μακαρίων πατέρων οὐ πλείστην παρέχουσι πρὸ μικρῶν ἡμερῶν τῆς διαλέξεως ἀκούσας. ὅτι τοὺς ἀκρεμόνας, καὶ ἐξάρχους αὐτῶν μετεστείλαντο. λέγω δὴ Ἰωάννην, καὶ Γρηγόριον οἱ Θεοδοσιανοὶ πρὸς τὸ ἡμῖν παρατάξασθαι, καθεσθεὶς συντέταχα τόμον δογματικὸν ὡς ἐξ ὀνόματος Φλαβιανοῦ τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, τοῦ φονευθέντος ὑπὸ Διοσκόρου, διὰ τὸ ὁμολογεῖν ἐν χριστῷ δύο ἡνωμένας ἀδιαιρέτως φύσεις.

A tempore, quo Leo Pontifex Tomum ſuum edidit, non ſeruat amplius Chriſtus duarum diuerſarum naturarum inconfuſam proprietatem. Ex quo Dioſcorus de ſolio deiectus & anathemati ſubiectus eſt; non debemus amplius in Chriſto naturarum differentiam agnoſcere, & inconfuſas profiteri: nam ad exorientes hæreſes oportet etiam mutare fidem, doctrinamq; ſacrarum litterarum & Patrum variare, aliterq; accipere.

Moleſtè igitur Ioanne, & qui cum ipſo erāt, ſectariis dicta hæc ferentibus, & frendentibus, illos denuo allocutus ſum in *hunc modum.* Ita ſe res habet, teſte Deo, in cuius conſpectu *ſtamus. Obſecuti Seueri* monitis & cohortationibus, quibus *poteſtatem vobis fecit* repudiandi poſt tempora Neſtorij teſtimonia ſanctorum Patrum, etiā ipſius diui Cyrilli, quæ duas in Chriſto naturas perhibent; Patrum dicta non admittitis, & parum abeſt, quin ipſa ſacroſancta Euāgelia aſpernemini, tam vetus, quàm nouum Teſtamentū, omniumq; Patrum ſcripta ac pronunciata reſpuatis; veſtris veſtigiis in Seueri, tanquam *noui cuiuſdam* * Aquilæ, veſtigiis poſitis. Quis enim ex vobis *probè perſpectum* non habet Patres duas in Chriſto indeficientes naturas profeſſos eſſe? Quis veſtrum non fatetur libenter, S. Cyrillum teſtari, duas indiuiſas naturas in Chriſto eſſe, manere, conſiderari; ſeruari; numerari, vnitasque in vna perſona nunquam confundi? Quis veſtrum ignorat non eſſe vnum & idem naturam & perſonam? Ecce infinitæ adſunt hic perſonæ præſentes; omnes tamen vna natura ſumus.

** Loquitur de Aquila ſcripturæ interprete, & nimium Iudaizāte.*

Hic, & id genus aliis multis in conuentu dictis, cum veteri diuerſaque experientiâ compertum haberem, Seueri ſectatores ſcripta Cyrilli à vertice vſq; ad extremum vnguem excutere, ſurſumq; ac deorſum teſtimonia illius voluere, aliorum verò exiguam rationem ducere; paucis diebus ante hanc diſceptationem, intelligens Theodoſianos aduocaſſe ſectæ *ſuæ* duces ac principes, vt eos nobis opponerent, Ioannem, *inquam,* & Gregorium, otio ſumpto, compoſui Tomum dogmaticum, ſub nomine Flauiani, Epiſcopi Conſtantinopolitani, à Dioſcoro interempti, eò quòd aſſereret duas indiuiſi-

b biliter

σεις ἐν μιᾷ συνθέτῳ ὑποστάσει. ἐν τόμῳ, τὸν μὲν σκοπὸν, καὶ τὸ φρόνημα τῶν ἁγίων πατέρων μετὰ πολλῆς τινὸς τῆς ἀκριβείας ἐφύλαξα. μικρὸν δὲ τὰς αὐτῶν ῥήσεις δι' ἑτέρων τινῶν ἰσοδυνάμων λέξεων ὑπαλλάξας τέθεικα· οἷον, ἀντὶ μορφῆς, οὐσίαν, καὶ ἀντὶ χοϊκοῦ, γηγενές. καὶ ἀντὶ πάθους, σταυρόν. πρὸς τὸ δεῖξαι πᾶσιν, ὅτι ἐχθρωδῶς, καὶ ἀντιπαθῶς, ἀλλ' οὐ φιλαλήθως ἐναντιοῦνται τῇ συνόδῳ Χαλκηδόνος, καὶ τῷ μακαρίῳ Φλαβιανῷ, καὶ τῷ τόμῳ τοῦ ἁγίου Λέοντος. ἐγίνωσκον γὰρ, ὅτι ἀλόγως, εἰ μόνον ἀκούσωσι τὸ ὄνομα Φλαβιανοῦ, ἢ τοῦ Λέοντος ἐν τῷ τόμῳ, ἀναθεματίζουσιν αὐτὸν, μὴ ἀνακρίνοντες, ἢ ὀρθὴ, ἢ διεστραμμένη ὑπάρχει ἡ ἔκθεσις ἐν αὐτῷ. εἶπον οὖν πάλιν πρὸς αὐτούς. Ἐὰν ἀρέσκῃ ὑμῖν, ἵνα μὴ πολλὰ εἴπωμεν, καὶ ἀκούσωμεν, ἰδοὺ ἡ πίστις ἡμῶν, καὶ τῆς συνόδου Χαλκηδόνος. δέξασθε, καὶ ἀνάγνωτε. καὶ ἢ στοιχήσατε, ἢ ἀναθεματίσατε. εἶχεν δὲ ὁ τόμος οὕτως.

Φλαβιανοῦ ἐπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ τόμου τοῦ δογματικοῦ, οὗ ἔγραψε πρὸς Λέοντα τὸν Πάπαν Ῥώμης, περὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ, τοῦ ἀληθινοῦ ἡμῶν θεοῦ.

Ὁ λόγος, φησὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. ἕτερον δὲ τὸ ἡ σκηνὴ, καὶ ἄλλο, τὸ κατασκηνοῦν. οὐ λέγω ἄλλος, καὶ ἄλλος, ὡς ἐπὶ δύο προσώπων, ἀλλ' ἕτερον, καὶ ἕτερον, ὡς ἐπὶ δύο φύσεων. πᾶσα μὲν γὰρ εὐαγγελικὴ, καὶ ἀποστολικὴ παραίνεσις, καὶ μαρτυρία περὶ τοῦ Ἐμμανουὴλ εἰς δύο διαιρεῖται τρόπους. τῇ μὲν τὸ μοναδικὸν αὐτοῦ δηλοῦσα πρόσωπον, τῇ δὲ τὰς δύο αὐτοῦ σαφῶς μαρτυροῦσα φύσεις. καὶ γὰρ ἦν, καί ἐστι διπλοῦς. ὁ εἷς, καὶ μόνος Ἰησοῦς, καὶ Χριστός· καὶ διπλοῦς ὁ ἐπ' αὐτῷ λόγος. οὐ πρὸ τῆς ἑνώσεως. ἀλλὰ μετὰ τὴν ἄφραστον ἕνωσιν, τέλειος ὁ αὐτὸς, ὥσπερ ἐν θεότητι. οὕτως καὶ ἐν ἀνθρωπότητι. εἰ γὰρ ἦν ἁπλοῦς, ὡς πάσχειν, καὶ θνήσκειν ἠδύνατο; πῶς τύπτεσθαι, καὶ προσηλοῦσθαι, καὶ ῥαπίζεσθαι εἰ μὴ τῇ τοῦ σώματος παθητῇ, καὶ γηγενεῖ φύσει; ὥσπερ γὰρ ὁμοούσιος ὢν τῷ θεῷ, καὶ πατρὶ, τέλειός ἐστιν ἐκ τελείου θεός. οὕτως καὶ ὁμοούσιος ἡμῖν ὑπάρχων, τέλειος τυγχάνει ἄνθρωπος.

biliter vnitas naturas in vna compoſita hypoſtaſi. In hoc igitur Tomo ſententiam mentemque ſanctorum Patrum ea, qua potui, diligentia & accuratione integram retinui, verba tamen illorum in ea, quæ eiuſdem notionis ac ſignificationis erant, commutata poſui; Exempli gratia, loco *formæ* ſcripſi; ſubſtantiam ſeu eſſentiam. Loco *terreni*; terreſtre; Loco paſſionis; *crucem*, vt omnibus teſtatum facerem, iſtos hoſtili & malè affecto animo, non amore veritatis Concilio Chalcedonenſi, beato Flauiano, & Tomo S. Leonis aduerſari. Videbam enim illos temerè, & abſque vlla ratione, audito ſolo Flauiani nomine, vel tomo Leonis, anathema crepare, nihil penſi habentes, num recta an peruerſa eſſet, quæ in Tomo illo tradebatur, doctrina. *Dixi igitur* illis, ſi placet, verbis compendium fiat, nec opus erit multa vel à nobis dici, vel à vobis audiri. En fidem noſtram, & Synodi Chalcedonenſis. Accipite & legite, & vel approbate, vel reprobate; ſic autem tomus iſte.

Ex tomo Flauiani Epiſcopi Conſtantinopolitani, quem miſit ad Leonem Papam Romanum de Incarnatione Chriſti, veri noſtri Dei.

V*Erbum*, inquit, *caro factum eſt, & habitauit in nobis.* Aliud verò habitatio, aliud verò habitans; non dico alius & alius, quaſi duæ eſſent perſonæ, ſed aliud & aliud; tanquam de duabus naturis. Omnes enim Euangelicæ & Apoſtolicæ admonitiones, & teſtimonia de Emmanuele bifariam diuidi poſſunt; partim enim ſingularem eius perſonam indicant; partim duas eius naturas perſpicuè declarant. Erat enim & eſt geminus vnus & ſolus Ieſus Chriſtus, & duplex eius ratio, non ante, ſed poſt inenarrabilem vnionem, idem perfectus ſicut in diuinitate; ſic & in humanitate. Nam ſi natura ſimplici conſtitiſſet, quomodo pati ac mori potuiſſet? Quomodo verberari, clauis affigi, & colaphis cædi; ſi hæc non eſt paſſus paſſibili & terrenâ corporis naturâ? Quemadmodũ enim conſubſtantialis Deo & Patri exiſtens, perfectus eſt ex perfecto Deus; ſic & eiuſdem ſubſtantiæ nobiſcum exiſtens perfectus eſt homo. *Ioan. 1.*

Σχόλιον. Ταῦτα ἐκτιθέμεθα· ἵνα τῷ αὐτῷ τρόπῳ κέχρηνται οἱ φιλόπονοι κατὰ τῶν ἐναντίων. ἐπεὶ καὶ ὁ μακάριος Παῦλος οἶδεν τῷ τοιούτῳ τρόπῳ χρήσασθαι. διὸ καὶ ἔλεγε πρός τινας. ὅτι δόλῳ ἡμᾶς ἔλαβον.

Σχόλιον. Γρηγορίου θεολόγου εἰς τὰ θεοφάνεια. καὶ Κυρίλλου Ἱεροσολύμων, ὡσαύτως καὶ Κυρίλλου Ἀλεξανδρείας ἐν τῷ πρώτῳ λόγῳ, τῷ εἰς τὴν ἁγίαν τριάδα. Γρηγορίου * Νύσης κατὰ Εὐνομίου. καὶ Κυρίλλου Ἀλεξανδρείας πρὸς Σούκκενσον, ἐκ τοῦ προσφωνητικοῦ Παύλου ἐπισκόπου Ἐμέσης ἐν Ἀλεξανδρείᾳ, * ἡ χρῆσις ἐστίν, † τὴν ἐπὶ τοῦ ἁγίου Κυρίλλου εἶπεν. Ὁ γὰρ ἐν μορφῇ θεοῦ ὤν, μορφὴν δούλου ἔλαβε δι' ἡμᾶς. ἡ δὲ μορφὴ τοῦ θεοῦ, οὐσίαν σημαίνει θεοῦ, ὥσπερ καὶ ἡ μορφὴ τοῦ ἀνθρώπου, φύσιν ἀνθρωπίνην δηλοῖ. Γρηγορίου * Νύσης κατὰ Εὐνομιανῶν. Αἱ μὲν οὖν πληγαί, καὶ ὁ σταυρός, καὶ ὁ θάνατός ἐστι τοῦ ἀνθρώπου, ἐν ᾧ ἐστιν ὁ δεσπότης ὁ θεὸς λόγος. ἡ δὲ δόξα, καὶ τὸ κράτος ἐστὶ τοῦ δεσπότου, περὶ ὅν ἐστιν ὁ δοῦλος, τοῦτ' ἔστιν ὁ ἄνθρωπος. Γρηγόριος κατὰ Εὐνομίου. Εἰ οὖν καὶ ἀπαθές ἐστι περὶ τὸ θεῖον, τὰ δὲ πάθη περὶ τὸ ἀνθρώπινον. πῶς ἄν τις τῶν εὐφρονούντων μίαν λέξειεν τὰς δύο αὐτοῦ φύσεις;

* Νύσσης. * οὐ. † τὴν. * Νύσσης.

Τοῦ ἁγίου Ἐφραὶμ εἰς τὸν μαργαρίτην. Εἰ δὲ μία εἰσίν, ἄρα ἂν ἡμίθεος ἐστερήθη θεός. καὶ ἡμιφυὴς ἀνελήφθη ἄνθρωπος. ἀλλ' οὐχ οὕτως διδάσκει τῆς εὐσεβείας ὁ θεσμός, ὃν διεκρούσατο Εὐτυχὴς ὁ ἀρχιμανδρίτης, μίαν κηρύττων φύσιν τῆς ἀκτίστου θεότητος, καὶ τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τοῦ χριστοῦ. ὁ δὲ πᾶς τῶν ἁγίων πατέρων χορός, διττὴν τὴν οὐσίαν εἶναι, ἤτοι τὴν φύσιν ὁμολογεῖ τὸν χριστόν. οὐ διττὴν δὲ τὴν ὑπόστασιν, ἤτοι, τὸ πρόσωπον. Ἀμφιλοχίου, πρὸς Σούκκενσον, Κυρίλλου, Πρόκλου.

Ἀμφιλοχίου. Εἰς ἓν γὰρ πρόσωπον, καθὼς καὶ ἡ ὑμετέρα διδάσκει ἁγιωσύνη, συνέδραμον αἱ δύο φύσεις. ὥσπερ καὶ εἶναι, καὶ ζώσας ἀτρέπτως, καὶ ἀδιαιρέτως ἐν χριστῷ ὁμολογοῦμεν.

Πρόκλου. ἔστι γὰρ εἷς, καὶ μόνος μονογενὴς υἱός, καὶ λόγος τοῦ θεοῦ, οὐ τῶν φύσεων αὐτοῦ εἰς δυάδα ὑποστάσεων τεμνομένων, ἀλλὰ τοῦ ἀρρήτου λόγου εἰς μίαν ὑπόστασιν ἑνώσαντος, ἔνδοθεν κοσμουμένου τοῦ παναγίου σώματος, διὰ τοῦ θείου λόγου, ἔξωθεν δὲ τῷ πνεύματι φρουρουμένου·

Scholium. Hæc commemorauimus, vt ſtudioſi eodem pugnandi modo vtantur aduerſus aduerſarios, quandoquidem & beatus Paulus hoc modo vſus eſt. Qua de cauſſa dixit ad quoſdam: *Dolo vos cepi.* 2. Cor. 12.

Scholium. Gregorij Theologi in Epiphaniam, & Cyrilli Hieroſolymitani, & Cyrilli Alexandrini lib. 1. de ſanctiſsima Trinitate, Gregorij Nyſſeni contra Eunomium, & Cyrilli Alexandrini ad Succeſſum; Et ex concione Pauli Epiſcopi Emeſeni, quam Alexandriæ præſente ſancto Cyrillo dixit, cuius eſt hoc dictum: *Qui in forma Dei erat, formam ſerui propter nos accepit.* Forma verò Dei, ſubſtantiam Dei ſignificat; ſicut & forma hominis, naturam humanam ſignificat. Gregorij Nyſſeni contra Eunomianos. *Plagæ igitur & crux, & mors ſunt hominis, in quo eſt Dominus, Dei verbum. Gloria & potentia eſt Domini, quam circumdat ſeruus, hoc eſt, homo.* Gregorius contra Eunomium. *Si igitur ſecundum naturam diuinam impaſsibilis eſt; paſsionis verò capax ſecundum naturam humanam, quis, cui cor ſapiat, duas eius naturas vnam auſit dicere?*

S. Ephræm in Margaritam. *Si verò diuinitas & humanitas vna ſunt natura, igitur Semideus incarnatus eſt Deus; & ſemihomo in cœlum aſſumptus eſt.* At non ita docuit Sanctorum cœtus, quem Eutyches Archimandrita reſpuit, non docuit, inquam, vnam eſſe naturam increatæ diuinitatis, & noſtræ, quæ in Chriſto ineſt, humanitatis; quin potius vniuerſus ſanctorum Patrum chorus duplicem ſubſtantiam, ſeu naturam in Chriſto confitetur; at non duplicem perſonam ſiue ſubſtantiam; ex quorum numero, Amphilochius, Cyrillus ad Succeſſum, Proclus.

Teſtimonium Amphilochij. *In vnam enim perſonam, ſicut & veſtra ſanctitas docet, conuenerunt duæ naturæ, quas & in Chriſto eſſe, & conſeruari, immutabiliter, & indiuiſibiliter confitemur.*

Teſtimonium Procli. *Eſt enim vnus & vnigenitus filius & verbum Dei, naturis eius non in duplicem hypoſtaſin diuiſis; ſed ineffabili ratione in vnam hypoſtaſin coniunctis; intus ſanctiſsimo eius corpore per verbum exornato, foris autem Spiritus ſancti protectione cuſtodito, vt ex v-*

μένου. ἵνα ἐξ ἀμφοτέρων τὸ περιφανὲς τῶν φύσεων δειχθῇ. οὕτω γὰρ καὶ ἐσθίειν αὐτὸν φαμὲν, οὐ πρὸ τοῦ πάθους μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, τὴν φύσιν τοῦ σώματος αὐτοῦ πιστούμενος. εἰ δὲ τὸ σῶμα, εἰς ὃ οἱ αἱρετικοὶ διαμφιβάλλουσι, φύσις, καὶ οὐσία προσαγορεύεται, εὔδηλον λοιπὸν φυλάττεσθαι ἐν τῷ ἑνὶ χριστῷ ἑκατέραν φύσιν, τοῦτ' ἔστι, τὴν θείαν τε, καὶ τὴν ἀνθρωπίνην, καὶ ἐν μὲν τῇ θείᾳ λαλεῖν αὐτὸν τὰ θεοπρεπῆ. ἐν δὲ τῇ ἡμετέρᾳ, πάλιν φθέγγεσθαι αὐτὸν τὰ ἀνθρώπινα, καὶ πτωχά. οὐ φυρμόν τινα, οὐ σύγχυσιν, οὐ διαίρεσιν περὶ τὰς φύσεις ἔχοντα. ἀλλ' ἕνα υἱὸν, καὶ χριστὸν, καὶ κύριον, καὶ σωτῆρα ὑπάρχοντα τοῖς εὐσεβῶς πιστεύειν εἰς αὐτὸν βουλομένοις.

Ταῦτα δὴ τοῦ τόμου περιέχοντος, καὶ ἀναγνωσθέντος, ἐβδελύξαντο, ἀπώσαντο, ἀνεθεμάτισαν τὰ ἐν αὐτῷ γεγραμμένα. ὅτι Ἰωάννης, καὶ Γρηγόριος, καὶ μετὰ τὸ καταρᾶσθαι, καὶ ἀναθεματίσαι, προσηγάγομεν εἰς μέσον τὰς βίβλους τῶν ἁγίων πατέρων, ἐξ ὧν ὑπῆρχον πᾶσαι αἱ χρήσεις, αἱ ἐν τῷ τόμῳ ὑπάρχουσαι. εἴχομεν γὰρ αὐτὰς αὐτόθι μετὰ χεῖρας ἡυτρεπισμένας, καὶ ἑκάστης χρήσεως, τὸ ἔλεγχον διεδηλωμένον. καὶ ὅτι ἀπεδείξαμεν ἐκ τῶν ἰδίων αὐτῶν βίβλων. ὅτι οὐ Φλαβιανὸν, ἀλλὰ τοὺς ἁγίους πατέρας κατηράσαντο, καὶ ἀνεθεμάτισαν, ἀνέστη ὁ λεπτὸς δῆμος ἐσχάτως ἀτιμάζων, καὶ σχεδὸν λιθοβολῆσαι αὐτοὺς θέλων. οὗτος ὁ θρίαμβος, καὶ ἡ αἰσχύνη, ἣν καὶ Ἰωάννης, καὶ οἱ σὺν αὐτῷ δημοσίως ἔπαθον.

Πρὸς τὸ εἰδέναι τοὺς φιλοπόνους, καλὸν καὶ τοῦτο παρασημειώσασθαι ἐνταῦθα. Διηγοῦντο τοίνυν ἡμῖν οἱ τῆς καθολικῆς ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ ὅτι μετὰ τοὺς χρόνους τοῦ μακαρίου Εὐλογίου τοῦ Πάπα, γέγονέν τις Αὐγουστάλιος ἐνταῦθα Σευηριανός. καὶ ἐπὶ ἱκανοὺς χρόνους ἔσχε ΙΔ. καλλιγράφους σύμφρονας αὐτοῦ, κατ' ἐπιτροπὴν αὐτοῦ καθεζομένους, καὶ φαλσεύοντας τὰς βίβλους τῶν δογμάτων, τῶν πατέρων, καὶ μάλιστα τὰς τοῦ ἁγίου Κυρίλλου· ἐν οἷς ἐλθόντων ἡμῶν εἰς τὴν πρὸς Σούκκενσον, χρῆσιν, τὴν λέγουσαν, ὅτι δύο τὰς φύσεις εἶναι φαμὲν, οὐχ εὕρομεν αὐτὴν ὀρθῶς κειμένην, ἐν οἵᾳ δήποτε βίβλῳ ἐν Ἀλεξανδρείᾳ. ἀλλ' αἱ μὲν εἶχον. δύο φύσεις ἡνῶσθαι φαμέν. αἱ δὲ πάλιν. δύο τὰς φύσεις ἐννοεῖσθαι φαμέν. καὶ ἐν πολλῇ ἀθυμίᾳ

ὑμῶν

trisque claritas naturarum emineat ac elucescat. Sic enim ipsum etiam comedisse dicimus, non modò ante passionem, sed & post resurrectionem, vt naturam corporis sui comprobaret. Si verò corpus, de quo hæretici disceptant, natura ac substantia appellatur, manifestum est, vtramque in vno Christo naturam integram superesse, hoc est, diuinam & humanam, eumq; in diuina natura proloqui, quæ Deum decent; in nostra autem rursus proferre humana; & statui abiectionis consentanea; ita vt nullam commixtionem, nullam confusionem, nullamque diuisionem in naturis subierit; sed vt sit vnus IESVS & Christus, & Dominus, & Saluator illis, qui piè in ipsum credunt.

Hæc cùm ex Tomo lecta fuissent, eum Ioannes & Gregorius execrati sunt, respuerunt, & quæcunque in eo scripta erant anathemati subiecerunt: Et postquam tomum detestati fuissent, & anathematizassent, protulimus sanctorum Patrum libros, ex quibus omnia testimonia, quæ in tomo comprehēdebantur, desumpta erant; nam in promptu habebamus. Et singula testimonia nihil aliud erant, quàm hæreticorum redargutiones ac refutationes. Et quando ex propriis illorum libris demonstrauimus, eos non Flauianum, sed sanctos Patres diris deuouisse, & anathemati subdidisse; consurrexit populus, plurimisque opprobriis affectos tantum non lapidibus obruit. Hic nimirum triumphus, & hoc dedecus fuit, quod Ioannes cum sociis publicè retulit.

Non abs re fuerit studiosos istud itidem obseruare hoc loco. Narrabant nobis Catholici, qui Alexandriæ degunt, post tempora beati Eulogij Papæ (Alexandrini) hic fuisse præfectum Augustalem Seuerianum, qui satis diu quatuordecim calligraphos seu librarios eiusdem secum sententiæ habuerit ac aluerit, quibus id negotij dabat, vt Patrum libros falsarent ac deprauarent, maximè S. Cyrilli; in cuius epistolam ad Successum cùm incidissemus: dictum illud; *duas in Christo naturas dicimus*: non vllis in Alexandrinis exemplis sincerum ac incorruptum inuenimus: sed quædam habebant; *duas naturas vnitas dicimus*. Alia: *duas naturas considerari dicimus*. Et cum magno

ἡμῶν ὄντων, ἐξήγαγεν ἡμῖν ὁ κύριος Ἰσίδωρος ὁ βιβλοφύλαξ τοῦ πατριαρχείου βίβλον ἔχουσαν ἀνόθευτον τὴν τοιαύτην χρῆσιν. ὁμοίως καὶ τὴν τοῦ μακαρίου Ἀμβροσίου διέστρεψαν· ἀντὶ γὰρ τοῦ, φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος, καὶ τῆς σαρκὸς φυλάξωμεν τὴν διαφορὰν τῆς ἀναγνώσεως. πάλιν τε τὴν τοῦ μακαρίου Πρόκλου τὴν περὶ Χριστοῦ φάσκουσαν, ὅτι ἐκεῖνος ἀφθάρτως ἐγεννήθη. Ὁ καὶ θυρῶν κεκλεισμένων ἀκωλύτως εἰσελθὼν, οὐ τὴν συζυγίαν τῶν φύσεων, ὁ Θωμᾶς ἑωρακώς. ἀντὶ τοῦ ἀφθάρτως διὰ τοῦ ω, γραφομένου, οἱ Γαϊανῖται ἄφθαρτος λέγουσι. καὶ ἀντὶ τοῦ εἰπεῖν, ὁμολογούμενον τὸ ἄρθρον, τὸ φάσκον οὐ τὴν συζυγίαν τῶν φύσεων, τοῦτ᾽ ἔστι τοῦ Χριστοῦ. ἐκεῖνο πάλιν ἐρωτηματικὸν αὐτὸ φάσκουσι λέγοντες, οὐ τὴν συζυγίαν ὁ Θωμᾶς ἑωρακώς, καὶ τὰ ἑξῆς. ὁμοίως, εἰς τὸ, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, τὸν χορὸν τῶν Ἀποστόλων λέγουσι, ναὸν τοῦ Χριστοῦ, σκορπισθέντα φησὶν, καὶ πάλιν συναχθέντα. Ἐν εἷς ἀναισχύντῳ στόματι, οὐκ ἠρυθρίασαν λέγειν. ὅτι συνέφερε τοῖς Χαλκηδονίταις λέγειν ἐπὶ Χριστοῦ δύο ὑποστάσεις, καὶ μὴ λέγειν δύο φύσεις. ἡ γὰρ φύσις φησὶν, πολλῶν ὑποστάσεών ἐστι δηλωτική. Ταῦτα αὐτῶν γλωσσαλγούντων, λέγω πρὸς αὐτούς. εἶτα ὑμεῖς οὐχ ὁμολογεῖτε, οὐδὲ μίαν φύσιν ὅλως ἐν τῷ Χριστῷ; Οἱ αἱρετικοὶ λέγουσι. Ναὶ ὁμολογοῦμεν μίαν φύσιν ἐν αὐτῷ, καθὰ διδάσκουσιν οἱ πατέρες. ταῦτα αὐτῶν ὁμολογούντων, ἔφην μεγάλῃ τῇ φωνῇ, ὥστε καὶ ὑμεῖς ἐλέγχεσθε ἐν αὐτῇ τῇ μιᾷ φύσει τοῦ Χριστοῦ, διαφόρους ὑποστάσεις ὁμολογοῦντες ἐν αὐτῷ. εἴγε κατὰ τὸν τρόπον, ὃν εἰρήκατε, διαφόρων ὑποστάσεων ὑπάρχει ἡ φύσις σημαντική.

Ἕτερος πάλιν τρόπος, δι᾽ οὗ συνείραμεν πρὸς τοὺς αὐτοὺς Θεοδοσιανοὺς, κατὰ παρουσίαν τοῦ Αὐγουσταλίου, ἐπὶ δημοσίας ἀκοῆς καὶ τῆς πόλεως.

Ἱκανῶς τοίνυν, καὶ ἀναμφιβόλως καταισχυνθέντων τῶν αἱρετικῶν ἐπὶ τῆς γεγενημένης αὐτοῖς ὑφ᾽ ἡμῶν δραματουργίας, καὶ μηκέτι ὅλως ἐχόντων πρόσωπον διᾶραι τὸ στόμα αὐτῶν πρὸς τοὺς τῆς καθολικῆς ἐκκλησίας ἀποστείλαντες ἐν Αἰγύπτῳ, μεταστέλλονται τινας ἐπισκό-

πους.

gno in mœrore versaremur, protulit nobis Dominus Isidorus Bibliothecæ Patriarchicæ præfectus librum, in qua Cyrilli sententia habebatur incorrupta. Simili nequitia sancti quoque Ambrosij dictum corruperunt: Nam loco eius; *Seruemus differentiam diuinitatis, & carnis* posuerunt; *Seruemus differentiam lectionis*. Corruperunt insuper, beati Procli de Christo dictum, quando ait; *eum absque corruptione natum esse; qui per clausas ianuas absque impedimento ingressus sit; in quo naturarum coniunctionem Thomas agnouerit*: loco ἀφθάρτως per ω scripti Gaianitæ dicunt ἄφθαρτος, hoc est, corruptionis expers: & loco affirmatiui articuli dicentis: οὗ τὴν συζυγίαν, *cuius coniunctionem naturarum*, hoc est, Christi: ipsi particulam negatiuam substituunt in hunc modum: οὐ τὴν συζυγίαν, &c. *Thomas non agnouit coniunctionem naturarum*, &c. Sic in illo. *Soluite templum hoc, & in triduo reædificabo illud*: nomine templi Christi, intelligunt Apostolorum cœtum dispersum, rursusque congregatum. Vbi ore impudentissimo affirmare non erubuerunt, Chalcedonensis Synodi professoribus profuisse duas in Christo hypostases, non autem duas naturas profiteri; nam *natura*, inquiunt, *plures hypostases* indicat. Cùm hæc effutirent, hunc in modum eos compellaui: Anne vos nullam in Christo naturã confitemini? Responderunt hæretici. Fatemur in illo vnam naturam, sicut docent Patres. Hæc illis dicentibus, elata voce dixi; vt manifestum fiat, vos dum vnam naturam in Christo ponitis, diuersas hypostases in eodem profiteri, si secundum modum à vobis statutum, & approbatum diuersarum hypostaseon natura index est; agedum id demonstrare aggrediamur.

Alius modus, quo cum Theodosianis congressi sumus, præsente præfecto Augustali, in publica ciuitatis audientia.

SAtis igitur & absque vlla dubitatione Hæreticis pudore ac rubore ex actione nostra; quam dramatis instar instituerаmus, suffusis, & cum planè nullus amplius prætextus suppeteret, vt os aduersus Catholicam Ecclesiam aperirent, missis in

πους, οὓς ἐδόκουν γραφικοὺς ὑπάρχειν. ἐν οἷς ἦν καὶ ὁ Κωνσταντινουπολίτης. οἵτινες παραγενόμενοι πρὸς τὸν Αὐγουστάλιον ἐπηρώτων αὐτὸν ἐπιζητοῦντες ἡμῖν διαλεχθῆναι περὶ Χριστοῦ. καὶ ἀποστείλας, μετεστείλατο ἡμᾶς γνησίως ἐν τῷ Πραιτωρίῳ. Οἱ δὲ παραγενόμενοι, ἀπήγγειλαν ἡμῖν, ὡς ὅτι ἐπίσκοποί τινες παρεγένοντο Θεοδοσιανοὶ, ἐπιζητοῦντες περὶ πίστεως συνάραι λόγον μεθ' ἡμῶν ἐπὶ τοῦ Αὐγουσταλίου. παραγενομένων οὖν ἡμῶν, καὶ καθεσθέντων λέγει ὁ Αὐγουστάλιος. Ἀκούσαντες οἱ ἐπίσκοποι οὗτοι, τὰ κινηθέντα μεταξὺ τῆς ἐκκλησίας, καὶ τῶν Θεοδοσιανῶν, παρεγένοντο ἐπιζητοῦντες διαλεχθῆναι ἐπὶ τῇ ὁσιότητι ὑμῶν. εἶτα ταῦτα τοῦ ἄρχοντος εἰρηκότος ἤρξαντο λαλεῖν οἱ ἐπίσκοποι, καὶ κατεγκαλεῖν μοι, ὡς δῆθεν ταράξαντι τὴν πόλιν, καὶ τὸν λαὸν, καὶ τὴν ἐκκλησίαν αὐτῶν. λέγω πρὸς αὐτοὺς πρᾳεία, καὶ μειδιώσῃ φωνῇ. Καλόγηροι πατέρες. ἑωράκατέ με ποτὲ, ἢ συνετύχετε πρός με, ἢ ἀκηκόατε τῆς πίστεώς μου, ἢ τοῦ φρονήματός μου, ἐκ τοῦ στόματός μου; καὶ ἀποκριθέντες λέγουσιν, οὐχί. Εἰ οὖν πατέρες εἶπον ἀκούσατε τὴν πίστιν μου, καὶ ἐλπίζω εἰς τὸν θεὸν, ὅτι πάνυ ὑμῖν ἔχει ἀρέσαι. καὶ οὐχ εὑρίσκετε παντοίαν αἰτίαν ἐν ἐμοί. ταῦτα δὲ εἶπον, βουλόμενος πᾶσι φανερῶσαι, καὶ στηλιτεῦσαι τὸν ἰὸν τὸν ἐγκεκρυμμένον ἐν τῇ καρδίᾳ αὐτῶν. καὶ λαβὼν χάρτην, καὶ καλαμάριν παρὰ τῶν παρεστώτων νοταρίων, τῷ Αὐγουσταλίῳ. ἔγραψα οὕτως. Ἐγὼ Ἀναστάσιος μοναχὸς ἁγίου ὄρους Σινᾶ, ὁμολογῶ, ὅτι αὐτὸς ὁ θεὸς λόγος, ὁ γεννηθεὶς ἐκ θεοῦ πατρὸς πρὸ πάντων τῶν αἰώνων. αὐτὸς ἐσταυρώθη, καὶ ἐτάφη, καὶ ἔπαθε, καὶ ἀνέστη. ταῦτα ἔγραψα μὴ ὀνομάσας μήτε σάρκα, μήτε ἐπιδημίαν, μήτε ἐνανθρώπησιν, εἰ μὴ μόνον γυμνὴν τὴν θεότητα τοῦ θεοῦ λόγου. εἶτα ἀναστὰς ἐπέδωκα αὐτοῖς· ἀνέγνων, ἐπῄνεσαν, ἐστοίχησαν· ὡς γοῦν εἶδον αὐτοὺς ἐπαινέσαντας λέγω. Ἐὰν οἶδα, ὅτι οὕτως φρονεῖτε, ὑπογράψατε. καὶ εὐθέως συγκοινωνῶ ὑμῖν. ἦν γὰρ Κυριακὴ τῶν ἡμερῶν, ὡσεὶ ὥρα τρίτη. ἐδέξαντο, καὶ ὑπέγραψαν. καὶ λαβὼν τὸν χάρτην μετὰ τὴν ὑπογραφὴν, πλησιάσας τῷ δοκοῦντι εἶναι σοφωτέρῳ αὐτῶν. καὶ ἠρέμα τῇ χειρὶ ἀψάμενος τοῦ πώγωνος αὐτοῦ εἶπον. Χριστοῦ παθόντος σαρκὶ, ὦ θεοπασχῖται.

καὶ

Aegyptum nunciis, aduocarunt nonnullos Epiſcopos, quos ſcripturarum peritos arbitrabantur; quorum vnus etiam Cynopolitanus erat; qui Auguſtalem accedentes, rogabant, vt nobiſcum de Chriſto diſputandi copiam facerent; quo haud grauatè annuente, mox in Prætorium accerſiti ſumus. Qui verò miſsi fuerant, nunciabant nobis, adeſſe Theodoſianos, quibus animus eſſet nobiſcum de fide conferendi præſente Auguſtali. Cùm veniſſemus & conſediſſemus, ſic loqui orſus eſt Auguſtalis. Cùm audiſſent Epiſcopi iſti, quæ Eccleſiam inter & Theodoſianos diſceptationes exſtiterint, huc ſe receperũt, cupientes cum ſanctitate veſtra diſputare. Hæc Auguſtali locuto, ora reſoluerunt illi Epiſcopi, meque accuſare cœperunt, tanquam turbatorem ciuitatis, populi, & Eccleſiæ illorum. Ad quos ego miti & renidente voce. Venerandi Patres: Vidiſtiſne me aliquando? Aut mecum aliquando verſati, & familiariter congreſsi eſtis? Audiuiſtisne vnquam fidem meã, aut ſenſum meum ex ore meo? Quibus abnuentibus, intuli, audite igitur, Patres, fidem meam, bonaq; ſpe ſum fore, vt vobis placeat, neq; vllam in me inueniatis culpam. Hæc prolocutus, cum omnibus planã facere, & in lucem extrahere vellem improbitatem, quæ in pectore totaq; eorum Eccleſia latitabat, chartam accepi, & calamum à Notariis, qui Auguſtali aſſiſtebant, in qua iſta ſcripſi. Ego Anaſtaſius Monachus ſancti Montis Sina, profiteor idem Dei verbum ex Patre ante omnia ſæcula genitum, crucifixum, ſepultum, paſſumq; eſſe & reſurrexiſſe. Hæc ſcripſi, neque carnis mentione facta, neq; verbi ad nos aduentus & conuerſationis inter nos; neq; Incarnationis; ſed ſolam verbi diuinitatem expreſsi. Deinde exſurgens tradidi illis ſchedam, quã legerunt, laudarunt, approbarunt: quod cum animaduerterem; aiebam; Si eadem vobis mens eſt; ſubſcribite, & è veſtigio communionem vobiſcum inibimus. Erat enim dies Dominicus, & quaſi hora tertia. Annuerunt & ſubſcripſerunt. Accepta charta poſt ſubſcriptionem acceſsi ad illum, qui ex eorum numero cæteris ſapientior & eruditior videbatur; ſenſimque manu barbam eius contingens dixi, Memineris illius: *Chriſto paſſo in carne*, ô Theopaſchi-

καὶ οὐ θεότητι, σαρκὶ παθόντος Χριστοῦ τὴν Πέτρου τοῦ Ἀποστόλου θεολογίαν, καὶ οὐ θεότητι παθόντος κατὰ τὴν Σευήρου βλασφημίαν, καθὼς νῦν ὑπεγράψατε. βουλόμενος γὰρ γυμνῶσαι πᾶσι τὴν ἐν τῇ ψυχῇ ὑμῶν βλασφημίαν, γυμνὴν θεότητα τοῦ θεοῦ λόγου ἔγραψα ἐν τῷ τοῦ χάρτου ὑπαγορεύματι, οὔτε σαρκὸς μνημονεύσας, οὔτε ἐνανθρωπήσεως, οὔτε τόκου τοῦ ἐκ τῆς ἁγίας παρθένου. ὡς γοῦν ταῦτα ἀκήκοαν, ὥσπερ ἐκ μέθης ἀνανήψαντες, πολλὰ ἠγωνίσαντο τὸν τοιοῦτον χάρτην ἀναλαβεῖν παρ᾽ ἐμοῦ. Ἐγὼ δὲ ἐπὶ πάντων ἐβόων. ὅτι περ οὐ δίδωμι τοῦτον ἕως ἂν προσενέγκω αὐτὸν τῷ Χριστῷ καθ᾽ ὑμῶν ἐν ἡμέρᾳ κρίσεως.

Ἕτερος πάλιν σκοπὸς διαλέξεως ὃν συνήραμεν πρὸς τοὺς αὐτοὺς ἑτεροδόξους ἐν Ἀλεξανδρείᾳ, λέγω δὴ πρὸς Γεώργιον τὸν πρεσβύτερον, καὶ λογογράφον τῆς ἐκκλησίας αὐτῶν, τὸν λεγόμενον κλειδοποιόν.

Συγκαθεζομένων ἡμῶν ἐν τῷ σημειογραφείῳ τοῦ καισαρείου, ὁμοίως τὰ ἀπὸ τύπου προβλήματα αὐτῶν ἔλεγον πρὸς ἡμᾶς. ὡς οὐκ ἔστι φύσις ἀνυπόστατος. λοιπὸν, δύο φύσεις εἰποῦσα ἡ σύνοδος Χαλκηδόνος ἐν αὐτῷ ἐξ ἀνάγκης πάσης εὑρίσκεται, καὶ δύο ὑποστάσεις, ἤγουν πρόσωπα λέγουσα ἐν Χριστῷ, καὶ οὐκέτι τρία πρόσωπα, ἤτοι τρεῖς ὑποστάσεις εὑρίσκεσθε λέγοντες, ἐπὶ τῆς ἁγίας τριάδος, ἀλλὰ τέσσαρας. πρὸς ταῦτα πάλιν ἡμεῖς. τί γὰρ παραβλάπτεται ἡ ἀλήθεια; κἂν εἴπωμεν δύο ὑποστάσεις ἐν τῷ Χριστῷ. οὐκ ἔστι γὰρ πρόσωπον ἡ ὑπόστασις. ἀγνοήσαντες οὖν τὸν ἡμέτερον σκοπὸν πάλιν. ὅτι ὡς κακούργοις πανούργως, καὶ οὐ κατὰ ἀλήθειαν λέγομεν ταῦτα, ἐνίσταντο ἀγανακτοῦντες, καὶ χρήσεις πλείστας, καὶ μαρτυρίας προφέροντες ἐκ τινῶν τῶν ἁγίων πατέρων, καὶ ἐξ αὐτοῦ τοῦ μακαρίου Κυρίλλου. ὅτι αἱ ὑποστάσεις πρόσωπα εἰσὶ, καὶ ἐπὶ τῆς ἁγίας τριάδος, καὶ ἐπὶ τοῦ λόγου τῆς ἐνσάρκου οἰκονομίας. ὅτι οὖν ἱκανῶς, καὶ μετὰ πολλῆς τῆς ἐνστάσεως ἐκύρωσαν, καὶ ὥρισαν, πρόσωπα εἶναι ἐκ παντὸς τρόπου τὰς ὑποστάσεις, τότε λέγω πρὸς αὐτούς. ὄντως ἐὰν πρόσωπα δηλοῦσιν αἱ ὑπο-

ta, non in diuinitate; *in carne passo*, vt tradit Petrus Apostolus, 1.Pet.4.
non autem passo in diuinitate, vt blasphemat Seuerus, cuius impietatē subscriptione vestra iam approbastis. Volens enim omnibus patefacere blasphemiam in animo vestro delitescē-tem, solam nudamq; verbi Dei diuinitatem in charta notaui, nulla mentione facta carnis, aut Incarnationis, aut ortus ex sanctissima Virgine. Vbi hæc audierunt, tanquam ex crapula ac ebrietate euigilantes & experrecti, nihil non tentarunt, vt huiusmodi chartam à me reciperent: Ego verò perpetim clamabam me non restituturum; quousq; illam Christo aduer-
9 sus vos in die iudicij attulero.

Alia disceptatio & contestatio cum iisdem Sectariis in vrbe Alexandrina, cum Georgio, inquam, cognomento Clidopæo, qui in Ecclesia eorum Presbyteri, & logographi munere fungebatur.

CONsidentibus nobis in Semeographeo Cæsarij recitarūt
nobis solita ex typo suo problemata; videlicet, *nullam esse* Typus scriptū
naturam absq; hypostasi. Quare cum Synodus Chalcedonensis concordia.
duas in Christo naturas statuerit, necessariò sequi, eam duas quoque hypostases, hoc est, personas, in eodem Christo posuisse: & ex hoc confici, iam non esse tres, sed quatuor in sanctissima Trinitate personas. Ad quæ nos; Et quid nocumenti infertur veritati, si dicamus duas in Christo esse hypostases? nam hypostasis non est persona. Cùm igitur hic quoque propositum scopumq; nostrū non animaduerterent; quod scilicet, tanquam cum malignis vafrè & versutè; non apertè & absque circumuentione ageremus; indignari cœperunt, nullaq; testimonia ex sanctis Patribus, & ex ipso etiā Cyrillo protulerunt, quibus demōstrarent; hypostases esse personas tā in sanctissima Trinitate; quàm in verbi Incarnati mysterio. Postquā ergo diu nō sine magna contētione cōfirmassent & definiuissent, personas omnino esse hypostases; tunc dixi; Reuera si hypostases significant personas, insignē S. Cyrillo irrogatis iniuriā, quippe quē, vt & vos ipsos, Nestorianū faciatis; cùm di-

αἱ ὑποστάσεις, τῷ ἁγίῳ Κυρίλλῳ προσκρούει, Νεστοριανὸν αὐτὸν, καὶ ἑαυτοῦ δεικνυώτις, φάσκοντα, ἀσύγχυτοι μεμενήκασιν αἱ χριστοῦ ὑποστάσεις, ἤτοι, ἀσύγχυτα ὑπάρχουσι τοῦ χριστοῦ τὰ πρόσωπα. τὸ γὰρ, εἰπεῖν, μεμενήκασι, τὴν αἰώνιον αὐτῶν, καὶ ἀσύγχυτον, καὶ ἐνύπαρκτον διαμονὴν παρίστησι. τὸ γὰρ παράδοξον. ὅτι οὐκ εἶπεν, ἀδιαίρετοι μεμενήκασιν αἱ ὑποστάσεις, ἀλλ᾽ ἀσύγχυτοι, τοῦτ᾽ ἔστιν, εὔδηλοι, καὶ εὐσυνόπτοι, καὶ γνωριζόμεναι, καὶ ἀριθμούμεναι, καὶ διαμένουσαι. Κατὰ τοῦτον δὴ τὸν ὅρον λοιπὸν, καὶ τὸν νόμον, ἡνίκα λέγεται, ἐκ δύο ὑποστάσεων τὸν χριστὸν συντεθέντα, ἐκ δύο προσώπων αὐτὸν λέγεται. εἰ δὲ ἐκ δύο προσώπων συνετέθη, δῆλον, ὅτι προδιεπλάσθη ἡ σάρξ, καὶ τότε ἐνῴκησεν εἰς αὐτὴν ὁ θεὸς λόγος. καὶ εἰ ταῦτα οὕτως, τί μάχεται Νεστορίῳ τὰ Νεστορίου φρονοῦντες; ὄντως, ὁ οὐρανὸς, καὶ ἡ γῆ παρελεύσονται. οἱ δὲ ὅροι οὗτοι οὐ παρελεύσονται. ὅτι ἐὰν ἡ ὑπόστασις πρόσωπον δηλοῖ, ἀδύνατόν ἐστι λέγειν, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ χριστοῦ ὑποστάσεις. καὶ εἴ τις μετὰ τὴν ἄχραντον ἕνωσιν διαιρεῖ τὰς ὑποστάσεις, καὶ τύπος ἡμῖν ἔσται ἡ κιβωτὸς τῶν τοῦ χριστοῦ φύσεων, ἤγουν ὑποστάσεων. χρήσεις γάρ εἰσιν αὗται, ὡς λέγεται τοῦ ἁγίου Κυρίλλου, καὶ ἄλλαι πλεῖσται λέγουσαι ἐν χριστῷ ὑποστάσεις. μέχρι τούτου τὰ τῆς διαλέξεως. διὰ τούτου τοῦ τρόπου σιωπημοτέρως οἱ αἱρετικοὶ αἰσχύνονται.

Περὶ τῆς φωνῆς τῆς λεγούσης, μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην, ἣν ἄνω, καὶ κάτω προφέρουσιν οἱ μὲν αἱρετικοί.

Αὐτοῦ μὲν δὴ λέγω τοῦ πανσόφου Κυρίλλου ἑρμηνεύσαντος τὴν προκειμένην αὐτοῦ φωνὴν, περιττόν τι λογίζομαι ἀμφιβάλλειν περὶ αὐτῆς. πλὴν καθὼς ὁ αὐτὸς μακάριος Κύριλλος, πρὸς Σούκενσον ἡμᾶς γράφων διδάσκει. οὐδὲν ἕτερον δηλοῖ διὰ τοῦ εἰπεῖν σεσαρκωμένην, εἰ μὴ τὴν ἀνθρωπίνην ἡμῶν φύσιν. ὅπερ μαθόντες ἡνίκα λέγει πρὸς ἡμᾶς ὁ δι᾽ ἐναντίας. μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην. εἰπὲ πρὸς αὐτόν. τίς γὰρ τῶν εὖ φρονούντων δύναται ὅλως εἰπεῖν, δύο φύσεις τοῦ θεοῦ λόγου σεσαρκωμένας; ἐπεὶ εὑρεθήσονται

πόσα-

cat; inconfusas mansisse Christi hypostases: siue inconfusas existere Christi personas. Nam vocabulum: *mansisse:* perpetuam illarum & inconfusam, & subsistentem durationem indicat; dignumque admiratione duco; quod non ait: *indiuisas* mansisse hypostases; sed *inconfusas*, hoc est, manifestas, visu cognituque faciles, numerari aptas, & permanentes. Secundum hanc igitur legem & regulam, quando docetis, Christũ ex duabus hypostasibus compositum esse; ex duabus personis compositum asseueratis; Si verò ex duabus personis compositus est; liquet prius formatam fuisse carnem; & tum demùm diuinum verbum in eam habitandi gratia venisse. Si hæc ita sese habent, qua de caussa oppugnatis Nestorium, quandoquidem cum Nestorio sententia vestra concinit? Verè cœlum & terra transibunt; at regulæ istæ & decreta nõ præteribunt; nimirum, si hypostasis significat personam, impossibile est, vt quis dicat, hypostases Christi mansisse incõfusas. Item; *si quis post immaculatam vnionem hypostases diuidit.* Denique; *Duarum in Christo naturarum siue hypostaseωn arca fœderis figuram gerit.* Hæc enim sunt, vt dicitis, sancti Cyrilli dicta, vt & alia non pauca, quæ in Christo *hypostases* nominant. Hucusque de disputatione nostra; & hoc modo breuius & expeditius in ruborem dantur hæretici.

De dicto, vnam in verbo esse naturam incarnatam, quod hæretici perpetuò nobis obiiciunt.

CVM ipse sapientissimus Cyrillus dictum hoc nobis explicet, & quam sententiam subiectam habeat, interpretetur, superfluum arbitror de sensu eius ambigere; significat enim id, quod ipse Cyrillus in epistola ad Successum indicauit, quando dixit; *naturam incarnatam*; Quo intellecto, quando aduersariorum quispiam vnam verbi diuini naturam incarnatam nominat; dic ad illum: Et quis, qui stultus non fuerit, affirmare ausit duas Christi naturas incarna-

De hoc S. Cyrilli dicto fusè disputat Damascenus lib. de composita natura Christi cõtra Acephalos, & Eulogius Alexandrinus Patriarcha apud Photium.

τέσσαρες φύσεις ἐν τῷ Χριστῷ. ἀλλ' οὐχ οὕτως, μὴ γένοιτο. οὐκοῦν τὸ εἰπεῖν μίαν φύσιν σεσαρκωμένην, ἑρμηνεύει ἐν ἑτέρῳ τόπῳ ὁ αὐτὸς σοφώτατος πατὴρ λέγων. μίαν Χριστοῦ φύσιν σεσαρκωμένην, ἀντὶ τοῦ εἰπεῖν, ὅτι ἓν πρόσωπον τῆς ἁγίας τριάδος σεσαρκωμένον. ὁ λόγος γὰρ σὰρξ ἐγένετο, ὡς φησὶν ὁ εὐαγγελιστής. τούτων δὴ οὕτως ἐχόντων, τοῦ πατρὸς μίαν φύσιν σεσαρκωμένην λέγοντος, τί δή ποτε μὴ ἀρκεῖσθε τῇ τοιαύτῃ φωνῇ; ἀλλὰ καινοτομεῖτε τὸν διδάσκαλον λέγοντες, μία φύσις ὁ Χριστός. φύσις γὰρ Χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται. ποίου τῶν πατέρων ταῦτα ἠκούσατε λέγοντος; τίς τῶν διδασκάλων μίαν φύσιν εἴρηκεν, ἤγουν ἓν γένος εἶναι τὴν θεότητα, καὶ τὴν σάρκα τοῦ Χριστοῦ μετὰ τὴν ἕνωσιν; πῶς δὲ ὅλως δυνατὸν γενέσθαι ὁμοφυὲς, καὶ ὁμογενὲς, τὸ κτιστὸν, καὶ τὸ ἄκτιστον; ὅπου γὰρ μία φύσις λέγεται, ἐκεῖ πάντως ἓν γένος καθέστηκεν, ἢ ὅλον κτιστὸν ὑπάρχον. ἢ, ὅλον ἄκτιστον. εἰ οὖν μία φύσις ὁ Χριστὸς. πάντως ἡμιγενὴς ὁ ἄνθρωπος. καθὼς, οἱ τῶν Μανιχαίων μῦθοι διδάσκουσιν. εἰ δὲ οὐχ ὁμοούσιον τὸ σῶμα τῷ θεῷ λόγῳ ἀλλὰ ἑτερούσιος πάντως, ὅτι ἑτέρα, καὶ ἑτέρα φύσις ἐστὶ, καθὰ ὁ θεῖος Κύριλλος πρὸς Εὐλόγιον φησί. τέλειος γὰρ ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι ὁ Χριστὸς, κατὰ τὰς τῶν ἁγίων πατέρων εὐσεβεῖς παραδόσεις.

Ταῦτα τὰ ὅπλα, ὦ πρόμαχοι τῆς ἁγίας ἐκκλησίας, καὶ τῆς ἀληθείας φυλάξατε ἐν καιρῷ πολέμου. καὶ ὁπηνίκα τῆς ἀγέλης ἐκείνων τῶν λύκων περιαπελάσαι ἦς, σοῦ ψυχροὺς ἐκείνους περιάγων περὶ Χριστοῦ μύθους, καὶ φαντασίαν, καὶ δόκησιν τὸν λόγον τῆς οἰκονομίας ποιούμενος, καὶ λέγων, ὅτι λεπταῖς ψιλαῖς ἐννοίαις ἤτοι νοῦ φαντασίαις νοοῦμεν τὸν Χριστὸν ἐκ δύο φύσεων μίαν φύσιν σεσαρκωμένην. μετὰ γὰρ τὴν ἕνωσιν οὐκέτι εἰσὶ δύο φύσεις. ἐθεώθη γὰρ ἡ σὰρξ, καὶ ἀνεκράθη ὥσπερ σταγὼν ὄξους ἐν τῷ πελάγει. καὶ τοιαύτη γέγονεν, οἷον καὶ τὸ, θεῶσαν αὐτήν. καὶ ὁ λόγος σὰρξ ἐγένετο, ἵνα καὶ ἡ σὰρξ γένηται λόγος: ἡ γὰρ θέλησις θεότητος μόνη, ὥσπερ καὶ * ὁμοία μόνη τοῦ λόγου καὶ οὐ δύο, φύσεις ἐπὶ Χριστοῦ. μία προσκυνητὴ, καὶ μία ἀπροσκύνητος. τὰ λοιπὰ, τὰ καλῶς μὲν τοῖς πατράσι λεγόμενα, κακῶς δὲ τοῖς αἱρετικοῖς ἑρμηνευόμενα, ὅτι αὐ-

* Lege, οὐσία, patet ex sequentibus.

δὴ

carnatas? ſic enim quatuor naturæ in Chriſto forent; quod abſit. Igitur quis ſenſus ſit, quando vnam naturam incarnatam ſcripſit, alibi idem ſapientiſsimus Pater nobis expoſuit. neque enim nomine naturæ vnius incarnatæ aliud intellexit; quàm vnam perſonam ſanctiſsimæ Trinitatis Incarnatam eſſe; Verbum enim caro factum eſt; vt Euangeliſta dicit; Hæc *Ioan. 1.* cùm ita ſeſe habeant, cumque ſanctus Pater vnam naturam incarnatam affirmarit; vt quid hac voce contenti non eſtis, ſed nouum ſenſum Doctori affingitis, quaſi dixerit; Chriſtum eſſe vnam naturam: ſolamque diuinitatem, tametſi incarnatam, Chriſti naturam? Ex quo Patre hoc didiciſtis? Quis doctorum vnam naturam, ſiue vnius eiuſdemque rationis, vnione peracta, diuinitatem & carnem Chriſti eſſe docuit? Et quo pacto fieri poteſt, vt creatum & increatum in eandem naturam idemque genus conueniant, ita vt totum vel ſit creatum, vel increatum? Si igitur Chriſtus eſt vna natura, ſequitur eum eſſe dimidiati generis hominem ſeu ſemihominem, ſicut Manichæorum fabulæ tradunt. Si verò corpus non eſt eiuſdem, ſed diuerſæ omnino à diuino verbo ſubſtantiæ, alia & alia natura ſit oportet; ſicut diuinus Cyrillus ad Eulogium affirmat. Perfectus enim eſt Chriſtus in diuinitate, & perfectus in humanitate, vt ſancti Patres piè nobis tradiderũt.

Hæc arma, ô ſanctæ Eccleſiæ & diuinæ veritatis propugnatores, tempore belli retinete. Et ſi quis de grege illo lupus ad vos accedat; afferatque frigidas illas de Chriſto fabulas, toto Incarnationis myſterio in phantaſiam inanemque exiſtimationem conuerſo, dicatque, nos nuda animi cogitatione & mentis apprehenſione CHRISTVM ex duabus naturis conſtantem, tanquam vnam naturam incarnatam concipere; nam poſt vnionem non eſſe amplius duas naturas; Carnem enim eſſe deificatam, & velut aceti guttam vaſto pelago commixtam; eam naturam induiſſe; quam habet id, à quo deificata eſt; nam Verbum eſſe carnem factum, vt & caro fieret Verbum: Voluntatem vnicam Deitatis eſſe; ſicut & ſubſtantiam vnicam verbi; neque duas eſſe Chriſti naturas, alteram capacem adorationis, alteram adorationis

διὰ τούτων. καὶ τῶν τοιούτων, τῆς δοκήσεως, καὶ φαντασίας προφέρουσι λόγους, ἐννοήθητι τοῦ Σολομῶντος λέγοντος. ὅτι, ἀποκρίνου τῷ ἄφρονι πρὸς τὴν ἀφροσύνην· καὶ εἰπὲ καὶ σύ, ἀσυγχύτως μεμενήκασι, καὶ μετὰ τὴν ἕνωσιν αἱ χριστοῦ ὑποστάσεις. καὶ εἴ τις μετὰ τὴν ἕνωσιν διαιρεῖ τὰς χριστοῦ ὑποστάσεις, ἀνάθεμα ἔστω αὐτῷ· καθὰ φησὶν ὁ θεόσοφος Κύριλλος. τύπος γάρ ἐστιν ἡ ἐν τῷ νόμῳ κιβωτὸς τῶν χριστοῦ ὑποστάσεων. τί δέ εἰσιν αἱ ὑποστάσεις; πρόδηλον, ὅτι πρόσωπα, καθὼς πάλιν ὁ αὐτὸς διδάσκει θεῖος Κύριλλος, καὶ πᾶς ὁ τῶν ἁγίων πατέρων χορός. οὕτω κατὰ τῶν ἐναντίων, διὰ τῶν ἐναντίων ὁ πιστὸς ἐναντιώθητι. οὕτως αὐτῶν πολέμησον. ἐν τούτοις ὅπλοις σφάξον μοι τὸν μιαρὸν Σευῆρον. ἐν τούτοις κατάβαλε Διόσκορον. ἐν τούτοις πάταξον Θεοδόσιον, καὶ Γάϊον, καὶ Ἰουλιανόν, καὶ ὅλον τὸ δεκακέρατον αὐτῶν, τῶν μίαν ἐπὶ χριστοῦ δογματιζόντων φύσιν.

ΚΕΦΑΛΑΙΟΝ ἙΝΔΕΚΑΤΟΝ.

Ἐν ᾧ σημαίνει ὁ ποιητής, πόθεν ἐρρήθησαν τῷ διδασκάλῳ αἱ δύο φύσεις.

Ὅπως δὲ μή τις τῶν καθ' ἡμᾶς, ἢ μεθ' ἡμᾶς δόξῃ μανέντας ἡμᾶς τὰ Νεστορίου φρονεῖν, καὶ δύο πρόσωπα, καὶ ὑποστάσεις ἐν χριστῷ ὁμολογεῖν ἀσεβῶς, ἀναγκαῖον τὸ εἰπεῖν τὴν αἰτίαν, δι' ἣν ἐρρέθη ἡ τοιαύτη φωνή. ἡ τῶν Ἄφρων, καὶ Ῥωμαίων, καὶ δυτικῶν γλῶττα, κατὰ τοὺς ἀρχαίους χρόνους, τοὺς τοῦ κηρύγματος, οὔπω δογματικῶν λέξεων, καὶ βάθους πεῖραν ἔχουσα, ὡς ἐθνικὴ καὶ βάρβαρος, οὐκ ηὐπόρει διαστεῖλαι τὴν οὐσίαν, καὶ τὴν φύσιν ἐκ τῆς ὑποστάσεως, ἀλλὰ ταὐτὸν ἔφασκε τὴν οὐσίαν τῇ ὑποστάσει, ὕπαρξιν τὰς ἀμφοτέρας λέξεις ὀνομάζουσα. καὶ ὅλως ὑπόστασιν εἰπεῖν μὴ εὐποροῦσα, ἀλλὰ τρεῖς ὑπάρξεις τὰ τρία πρόσωπα τῆς ἁγίας τριάδος λέγουσα. ἡ δὲ ὕπαρξις δύναται τρόπῳ τινι, καὶ ἀντὶ οὐσίας, καὶ ἀντὶ ὑποστά-

σεως

incapacem, & id genus alia probè quidem interdum à Patribus aſſerta, ab iſtis autem perperam intellecta; ſi quis, inquã, hæc vel his ſimilia protulerit, veniat tibi in mentem illud Salomonis: *Reſponde ſtulto ſecundum ſtultitiam ſuam*: dicitoque. *Inconfuſæ manſerunt etiam poſt vnionem Chriſti hypoſtaſes*: *Et ſi quis poſt vnionem diuidit hypoſtaſes, anathema eſto*; quemadmodum diuinus Cyrillus ait. Nam *legalis illa arca typus quidam eſt duarum in Chriſto hypoſtaſeωn*. Quid verò ſunt hypoſtaſes? Clarum, quod perſonæ, vt idem S. Cyrillus, & vniuerſus Patrum chorus docet. Sic, ô fidelis, aduerſariis per aduerſa ſeu contraria occurre. Sic eos oppugna. His abſurditatibus execrandum Seuerum macta. His percute Theodoſium, & Gaianum, & Iulianum, & totam illam decicornem turbam, quæ vnam in Chriſto naturam ſtatuit. *Prou. 26.*

CAPVT VNDECIMVM.

In quo indicat Auctor, vnde S. Cyrillus occaſionem ſumpſerit dicendi duas naturas.

CAETERVM ne quis aut eorum qui nunc viuunt, aut poſteris temporibus victuri ſunt, arbitretur, nos adeò inſanire, vt cum Neſtorio duas in Chriſto perſonas ſeu hypoſtaſes conſtituamus, & impiè profiteamur, neceſſarium duxi explicare, vnde modus ille loquendi manauerit. Afrorum & Romanorum, & omnium occidentalium lingua temporibus antiquis, & ſub primordia acceptæ prædicationis, dictionum, quæ ad dogmata pertinent, & profundorum ſenſuum nullam adhuc experientiam habens, vtpote Ethnica & barbara, non poterat eſſentiam, ſeu ſubſtantiam & naturam ab hypoſtaſi diſtinguere; ſed ſubſtantiam idem eſſe dicebat cum hypoſtaſi, & loco vtriuſque dictionis vocabulum ſubſiſtentiæ vſurpabat; cumque hypoſtaſin præ linguæ inopia nominare & expri-

στεως λαμβάνεσθαι. ὕπαρξις μὲν, ὡς ὑπάρχουσα, οὐσία δὲ, ὡς οὖσα. ὑπόστασις δὲ πάλιν, ὡς ὑφεστῶσα. ἀποροῦντες, ὡς προεῖπον, οἱ δυτικοὶ εἰπεῖν τρεῖς ὑποστάσεις ἐπὶ τῆς ἁγίας τριάδος, ἔλεγον τρεῖς οὐσίας. ἐκ τούτου τινὲς ἕτεραι χῶραι, τὴν ἑλληνίδα γλῶσσαν καλῶς ἐπιστάμεναι, καὶ τὰς λέξεις, τὰς δογματικὰς διαστέλλειν δυνάμεναι, διεμάχοντο ἐπὶ τοῦ μακαρίου Ἀθανασίου πρὸς τοὺς δυτικοὺς, φάσκοντες αὐτοῖς. ὡς οὐ χρὴ τρεῖς οὐσίας λέγειν ἐπὶ τῆς ἁγίας τριάδος. οἱ δυτικοὶ, πάλιν ἀγνοοῦντες εἰπεῖν ὑπόστασιν, διισχυρίζοντο τρεῖς λέγειν οὐσίας, ἵνα μὴ ἀνούσιον, φησὶν, εὑρεθῶμεν λέγοντες, ἤγουν, ἀνύπαρκτον τὸν πατέρα, ἢ τὸν υἱὸν, ἢ τὸ ἅγιον πνεῦμα. μεγάλης οὖν ἐνστάσεως, καὶ σχίσματος τυγχάνοντος, ὁ μακάριος Ἀθανάσιος, ὡς υἱὸς εἰρήνης θεοῦ, οἰκονόμησε τοὺς λόγους αὐτοῦ ἐν κρίσει τῇ θείᾳ ἐμπνεύσει. καὶ συγκαλεσάμενος ἀμφότερα τὰ μέρη, καὶ ἀνακρίνας. καὶ γνοὺς, ὅτι, τὸ ἓν φρονοῦσιν, ἀλλὰ διὰ τὸ στενὸν τῆς γλώττης οἱ δυτικοὶ διαμάχονται, εἰρήνευσε τὴν ἐκκλησίαν, καὶ γράφων πρὸς τοὺς Ἄφρους, συγκαταβάσει τῆς ἀπορίας αὐτῶν χρώμενος, εἶπεν τὴν οὐσίαν ὑπόστασιν. εἴπερ οὖν τοῦ ἁγίου Κυρίλλου εἰσὶν αἱ χρήσεις, αἱ λέγουσαι τὰς φύσεις, ὑποστάσεις. ἐντεῦθεν τοῦτο ἔλαβε. Ταῦτα μαρτυρεῖ, καὶ ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος εἰς τὸν ἐπιτάφιον τοῦ ἁγίου Ἀθανασίου. ὁμοίως καὶ ὁ κύριος Εὐλόγιος ὁ πάπας Ἀλεξανδρείας εἰς τὸν τόμον Λέοντος. Ἐγὼ δὲ πρὸς τοὺς αἱρετικοὺς πάλιν λέγω. ὅτι τὰ σπανίως, καὶ ἐξ ἀνάγκης λεγόμενα, οὐδὲ εἰς νόμον γίνονται, οὔτε εἰς πρόκριμα τῇ ἐκκλησίᾳ. πλὴν καὶ ἐν τούτῳ ἡ εὐσέβεια χαλκηδόνος δείκνυται. ὅτι δυναμένη εἰπεῖν ὑποστάσεις ἐν Χριστῷ πατρικῶς, οὐδαμοῦ τῇ τοιαύτῃ λέξει ἐχρήσατο. οὔτε ἐκ δύο ὑποστάσεων αὐτὸν εἴρηκεν.

mere non valeret, tres ſanctiſsimæ Trinitatis perſonas tres ſubſiſtentias appellabat. Poteſt autem ſubſiſtentia aliquo modo & pro ſubſtantia, & pro hypoſtaſi vſurpari; Eſt enim ſubſiſtentia, quà ſubſiſtit. Et eſt eſſentia, quà eſt. Et hypoſtaſis, quà ſubſtat. Cùm ergo, vt dicebam, occidentales tres in Trinitate hypoſtaſes dicere nõ valerent; dixerunt tres ὐσίας, ſeu ſubſtantias. Huius locutionis occaſione quidam alij Græci ſermonis benè periti, dogmaticasque voces accuratè diſcernere docti, temporibus S. Athanaſij, litem mouêre occidentalibus; contendentes, non eſſe tres ſubſtantias in ſanctiſsima Trinitate dicendas. Occidentales contrà, cum tres hypoſtaſes dicere nequirent, perſtabant in more tres ſubſtantias dicendi; ne Patrem, & Filium, & Spiritum ſanctum, omni ſubſtantiæ ratione priuaſſe viderentur. Magna igitur contentione & diſſenſione exorta, diuinus Athanaſius, tanquam filius pacis, diſpoſuit ſermones ſuos in iudicio, diuino vtique inſtinctu; Et conuocata vtraque parte, cognitoque, quod verbis diſſentirent, ſenſu conſentirent, ſolumque propter ſermonis patrij egeſtatem occidentales cum aliis dimicarent, pacem Eccleſiæ reddidit; Scribensque ad Africanos, hypoſtaſin nominauit ſubſtantiam, penuriæ ſermonis illius modum hunc loquendi largitus: Si igitur teſtimonia illa, in quibus naturæ vocantur hypoſtaſes, verè à S. Cyrillo profecta ſunt; hinc vtique profluxerunt. Quod & Gregorius Theologus teſtatur oratione funebri in S. Athanaſium. Similiter & * Dominus Eulogius, Papa Alexandrinus ſcribens pro tomo ſeu epiſtola decretali S. Leonis. Ego autem addo: ea quæ raro, & quaſi ex neceſsitate, prolata ſunt, non tranſire in legem, neque præiudicare Eccleſiæ. Quin & ex hoc pietas, & recta mens Synodi Chalcedonenſis deprehenditur, quòd noluit duas in Chriſto hypoſtaſes dicere; cum id patrum more faciendi facultas non deeſſet.

*De quo multa Photius in ſua Bibliotheca.

ΚΕΦΑΛΑΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

Περὶ τοῦ σωτηρίου πάθους Χριστοῦ. καὶ ὅτι θεοπασχῖται εἰσὶν, οἱ λέγοντες, τὸ, ἅγιος, ἀθάνατος, ὁ σταυρωθεὶς, καὶ παθών.

Ὅρος ἄριστος ἀνδρῶν πανσοφωτάτων τυγχάνει λόγων. αἱ πραγματικαὶ ἀντιῤῥήσεις, καὶ παραστάσεις, ἰσχυρότεραι, καὶ πιστότεραι, καὶ κραταιότεραι καθ' ὑπερβολὴν τυγχάνουσι τῶν ῥηματικῶν λέξεών τε, καὶ βιβλικῶν ῥήσεων. αἱ μὲν γὰρ πραγματικαὶ παραστάσεις, οὐδαμῶς παραγραφῆναι, ἢ ῥαδιουργηθῆναι δύνανται. αἱ δὲ ῥηματικαὶ τῶν δέλτων ἐκθέσεις, πολλάκις ὑπὸ ἀνδρῶν κακοφρόνων προσθήκας, καὶ ὑφαιρέσεις πάσχουσιν. ὡς ἔξεστι μαθεῖν τὸν φιλόπονον, καθὼς καὶ ἤδη προεῖπον, ἐκ πολλῶν ἀντιγράφων, οὐ μόνον δογματικῶν, ἀλλὰ καὶ Μωσαϊκῶν, καὶ προφητικῶν παρηλλαγμένων. καὶ γοῦν κατὰ τὸν † ἐφετινὸν χρόνον διάφορα τεύχη ψηλαφήσας, Ἱερεμίου τοῦ προφήτου, οὐχ εὗρον ὅλως ἐν αὐτοῖς τὰ τριάκοντα ἀργύρια τῆς τιμῆς τοῦ Χριστοῦ. οὔτε τὴν πρᾶσιν τοῦ ἀγροῦ τοῦ κεραμέως. εἰ οὖν αὐτῆς ἱερᾶς γραφῆς οὐκ ἐφείσαντο οἱ κακόπιστοι· πόσῳ καὶ μᾶλλον τῶν διδασκαλικῶν λόγων, καθὼς καὶ ἐν τοῖς ἔμπροσθεν πλατύτερον εἰρήκαμεν. οὐκοῦν διὰ πραγμάτων μᾶλλον ἰσχυροτέρως καταισχύνονται οἱ αἱρετικοὶ, καὶ ἄπιστοι· διαλεγομένων γὰρ ἡμῶν πάλιν πρὸς αὐτοὺς περὶ τοῦ σωτηρίου πάθους, καὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὡς εἴδομεν αὐτοὺς ἐκ τοῦ σκοποῦ τῶν χρήσεων, ὧν προέφερον, ἀγωνιζομένους παθητὸν δεῖξαι καὶ τὸν θεὸν λόγον, καὶ θνητὸν μετὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς, οὐκέτι λοιπὸν διὰ ῥημάτων, ἀλλὰ διὰ πραγματικῶν σχημάτων, καὶ ὑποδειγμάτων πρὸς αὐτοὺς ἐχρησάμεθα, ἐν πυξίῳ τινὶ διαχαράξαντες τὴν τοῦ δεσπότου σταύρωσιν. καί τινα ἐπιγραφὴν ἣν ἵνα μετὰ τὰς χρήσεις διαγράψομεν.

† L. ἐφεινὸν.

Χρῆσις

CAPVT DVODECIMVM.

De ſalutifera Chriſti paßione; & Theopaſchitas eſſe, qui vſurpant illud. Sanctus immortalis crucifixus & paſſus.

PRAECLARE à ſapientiſsimis viris dictum eſt; refutationes & probationes per rem & opera, longè eſſe firmiores, fideliores, & valentiores, quàm quę in ſolis verbis conſiſtunt, & ex libris hauriuntur: illas enim non poſſe deprauari, ac in alienum ſenſum flagitiosè detorqueri: has verò ſæpè ab improbis aut additione, aut ſubtractione corrumpi; quod quiuis harum rerum ſtudioſus cognoſcet, vt antea diximus, ex multis exemplaribus non modò dogmaticis; ſed & Moſaicis, & Propheticis monumentis; Etenim cum exoptato quodam tempore diuerſa exemplaria Hieremiæ Prophetæ in manus ſumpſiſſem, *Hier.32.* in illis penitus non reperi triginta argenteos, pretium Chriſti venditi. Neque figuli agrum venditum. Si igitur ne ipſis quidem ſacris litteris à fide orthodoxa alieni parcunt; quantò minus falſarias manus à doctorum lucubrationibus abſtinebunt, de quo iam antea copioſius dictum? Rebus igitur valentius & validius in ruborem dantur hæretici, fideique veræ expertes. Diſceptantibus enim nobis cum aduerſariis de ſalutifera paſsione & cruce Chriſti, vbi animaduertimus, eos allaborare, vt ex teſtimoniis, quæ proferebant, demonſtrarēt, Dei verbum propria cum carne paſsibile eſſe; dimiſsis probationibus in oratione poſitis, ad rerum argumenta, & exempla me conuerti, depicta in quadam tabella Domini crucifixione, additaque inſcriptione, quam teſtimoniis ſubiungemus.

Pauca

Χρήσεις ἐκ πολλῶν ὀλίγαι, ἃς προφέρουσι Θεοδοσιανοὶ, καὶ Γαϊανῖται ἀγωνιζόμενοι παθητὸν σὺν τῇ σαρκὶ δεῖξαι, καὶ τὸν ἐν αὐτῇ θεὸν λόγον, ἐκ τῆς πρὸς Κορινθίους.

Ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ. ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν.

Τοῦ ἁγίου Ἰγνατίου ἐπισκόπου Ἀντιοχείας.

Ἐάσατέ με μιμητὴν γενέσθαι τοῦ πάθους τοῦ θεοῦ μου.

Ἰουλίου ἐπισκόπου Ῥώμης.

Ἰουδαῖοι τὸ σῶμα σταυροῦντες, τὸν λόγον ἐσταύρωσαν. πρὸς ταύτην τὴν χρῆσιν ἀπεκρίθην εὐθέως λέγων αὐτοῖς. εἰ τὸ σῶμα σταυροῦντες Ἰουδαῖοι, τὸν λόγον ἀπέκτειναν. οὐκ ἦν τριὰς, ἡ τριὰς, ἀλλὰ δυὰς ἐν οὐρανῷ. ἄχρις ἂν ἀνέστη ὁ θεὸς λόγος ἐκ νεκρῶν τριήμερος.

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου.

Μή που τὸν λογισμὸν ὀκλάσῃς, αἷμα θεοῦ, καὶ πάθος ἀκούων.

Μελίτωνος ἐπισκόπου Σάρδεων. ἐκ τοῦ λόγου, τοῦ εἰς τὸ πάθος.

Ὁ θεὸς πέπονθεν ὑπὸ δεξιᾶς Ἰσραηλίτιδος.

Τοῦ ἁγίου Γρηγορίου.

Ὀλίγαι ῥανίδες αἵματος θεοῦ, κόσμον ὅλον ἡγίασαν.

Τοῦ ἁγίου Κυρίλλου κατὰ Νεστορίου.

Θεοῦ τὸ πάθος. θεοῦ ὁ σταυρός. θεοῦ ὁ θάνατος· θεοῦ ἡ ἀνάστασις. συνηγορεῖν δὲ τῇ αὐτῇ θεοπαθείᾳ φάσκουσι καὶ τὴν φωνὴν Γρηγορίου τὴν φάσκουσαν· ὅτι ὁ ἀρνούμενος τὴν χριστοῦ θεότητα, τετάχθω μετὰ τῶν θεοκτόνων Ἰουδαίων. διὸ καὶ ὁ πᾶς αὐτῶν σκοπὸς τοῦ τρισαγίου ὕμνου, ὁ φάσκων, ἅγιος, ἀθάνατος ὁ σταυρωθεὶς ὑπὲρ ἡμῶν, οὐδὲν ἕτερον σημαίνει, εἰ μὴ, ἅγιος ἀθάνατος ὁ θεὸς λόγος, ὁ παθὼν,

καὶ

Pauca ex multis teſtimonia, quæ proferunt Theodoſiani & Gaianitæ vt probent, ipſum etiam Dei verbum cum carne ſua paſſioni fuiſſe obnoxium.

Ex epiſtola ad Corinthios.

Loquimur Dei ſapientiam in myſterio, quam nemo principum huius ſeculi cognouit: ſi enim cognouiſſent, nunquam Dominum gloriæ crucifixiſſent. 1. Cor. 2.

S. Ignatij Epiſcopi Antiocheni.

Sinite me fieri imitatorem paſſionis Dei mei.

Iulij Epiſcopi Romani.

Iudæi corpus crucifigentes, crucifixerunt Verbum. Ad hoc teſtimonium ſtatim reſpondi: Si Iudæi corpus crucifigentes, occiderunt verbum, Trinitas igitur non erat Trinitas ſed ſola vt ſic dicam, *binitas* in cœlo erat, donec Verbum diuinum tertio die à mortuis reſurrexit.

S. Gregorij Theologi.

Ne animo turberis, cum ſanguinem Dei & paſſionem audis.

Melitonis Epiſcopi Sardium. Ex oratione in Paſſionem.

Deus paſſus eſt à dextra Iſraëlitica.

S. Gregorij.

Paucæ guttulæ ſanguinis Dei totum mundum ſanctificarunt.

S. Cyrilli contra Neſtorium.

Dei paſſio, Dei crux, Dei mors, Dei reſurrectio. Aiunt inſuper ſuæ de diuinitatis patibilitate perſuaſioni patrocinari Gregorium, quando dicit: *Qui Chriſti diuinitatem inficiatur,* is in numero Iudæorum, qui Deum occiderunt, numeretur. Quare illis etiam verbis, quæ triſagio hymno adiecerunt, *Sanctus, immortalis, qui crucifixus eſt pro nobis,* nihil aliud indicant, quã hoc;

καὶ ἀποθανὼν δι' ἡμᾶς. τὸν γὰρ θεὸν λόγον, λέγουσιν ἀθάνατον, καθ' ἃ καί ἐστιν ἀθάνατος. ὁμοίως καὶ τὴν φωνὴν, τὴν λέγουσαν, θεοῦ τὸ πάθος, μετὰ πάσης εὐλαβείας νοεῖν χρή. ἐπεὶ δύναταί τις κακοθελὴς ἂν. καὶ ἐπὶ θεοῦ, καὶ πατρὸς ταύτην διαλέγεσθαι· ὁμοίως ἐπὶ τοῦ ἁγίου πνεύματος. θεὸς γὰρ καὶ τὸ ἅγιον πνεῦμα. καθάπερ καὶ ὁ πατὴρ, καὶ ὁ υἱός. ὡς γοῦν ταύτας, καὶ ἑτέρας πλείους παρήγαγον ἡμῖν χρήσεις, παθητὴν, ὡς προεῖπον, ἀγωνιζόμενοι δεῖξαι τὴν θεότητα τοῦ Χριστοῦ. οἵ τε τὰ Σευήρου, καὶ Γαΐου, καὶ Θεοδοσίου φρονοῦντες, βουλόμενοι τὸν δόλον, καὶ τὸν ἰὸν τὸν κεκρυμμένον ἐν τῇ ψυχῇ αὐτῶν στηλιτεῦσαι, οὐκέτι ῥηματικῶς, καὶ γραφικῶς πρὸς αὐτοὺς παρεταξάμεθα, ἀλλὰ πραγματικῶς διὰ παραδείγματος, καὶ σχήματος ἐνυποστάτου. ἐν ᾧ, καὶ ἱκανῶς καταισχυνθέντες ἐνετράπησαν. ὡς γὰρ προεῖπον, ἐν πυξίῳ τινὶ διαχαράξαντες τὴν τοῦ δεσπότου σταύρωσιν. μετὰ καὶ ἐπιγραφῆς τινὸς ἐξετυπώσαμεν, καὶ τὸν δάκτυλον ἐπιθέντες διερωτῶμεν αὐτούς. ἦν ἡ ἐπιγραφή. θεοῦ λόγος ἐν σταυρῷ, καὶ ψυχὴ λογικὴ, καὶ σῶμα.

Σχόλιον. Ἐξορκίζομεν εἰς τὸν υἱὸν τοῦ θεοῦ, τὸν μεταγράφοντα

τὸ Βι-

Sanctum, immortale Dei verbũ, quod propter nos passum est ac mortuum. Verbum enim diuinũ vocant immortale, quod & reuera immortale est. Sic & dictũ illud; *Dei passio;* cautè & circumspectè accipi debet, quandoquidẽ aliquis male feriatus id itidem ad Patrem & sanctum Spiritum transferre posset; nam & Spiritus sanctus Deus est; sicut Pater & Filius. Cùm igitur Seueriani, Theodosiani & Gaianitæ has & id genus alias auctoritates attulissent; quibus probare conabãtur diuinitatem esse pasibilem; nos dolos reconditos, totumq; illud virus, quod in pectore eorum abditum latebat; in apertum educere, ac palam traducere volentes; omissis argumentis in sermone positis, exq; aliorum scriptis ac lucubrationibus desumptis, ad probationes ex rebus ipsis ex figurâ oculis subiectâ petitas accessimus; Quo probationis genere insigniter quoque confusi sunt: Etenim cùm Dominicam passionẽ in tabella quadam, vt antea dictum, effigiassemus, addita inscriptione; quæ talis erat; *Dei Verbum in Cruce: Et anima rationalis & corpus.* Et digitum imposuissemus; cum illis percontando disserebamus. Erat autem figura huiusmodi.

Scholium. Adiuramus per filium Dei eum, qui hunc li-

τὸ βιβλίον, ἵνα τὸν αὐτὸν τύπον ποιήσῃ τῆς σταυρώσεως. Τοῦτον τὸν τύπον προθέμενοι, ἠρωτήσαμεν αὐτούς. Ἰδοὺ ὁ χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀνελλιπὴς, καὶ ἀδιαίρετος, ἐν τῷ σταυρῷ, τοῦτ' ἔστιν, ὁ θεὸς λόγος καὶ ἡ καθ' ὑπόστασιν ἡνωμένη αὐτῷ ψυχὴ λογικὴ, καὶ τὸ σῶμα. ποῖον τῶν τριῶν τούτων ἀπέθανε, καὶ ἐνεκρώθη; καὶ ξηρὸν, καὶ ἀκίνητον γέγονε; πρόσχε μετ' ἀκριβείας, οὐκ εἶπόν σοι, ποῖον ἐσταυρώθη, ἀλλὰ, ποῖον ἐκ τῶν τριῶν τούτων, τῶν ἐν χριστῷ ἀπέθανε, καὶ ἐνεκρώθη τριήμερον; Ταῦτα ὑφ' ἡμῶν ἐρωτηθέντες, ὁμοῦ, καὶ ἐσχάτως αἰσχυνθέντες οἱ αἱρετικοὶ, λέγουσι. τὸ σῶμα ἀπέθανε τὸ τοῦ χριστοῦ. λέγομεν πάλιν, πρὸς αὐτούς. μὴ ἀπέθανεν, ἢ ἔπαθεν, ἢ ἐνεκρώθη ἡ ψυχὴ αὐτοῦ; λέγουσιν ἐκεῖνοι. μὴ γένοιτο. τότε διαπαίζοντες, καὶ μυκτηρίζοντες αὐτοὺς εἴπαμεν. εἴπατε, οὐκ αἰσχύνεσθε, ὅτι τὴν ψυχὴν αὐτοῦ, τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ, λέγετε ἀπαθῆ, καὶ ἀθάνατον, τὸν δὲ κτίσαντα αὐτὴν θεὸν λόγον, λέγετε, ἅγιος, ἀθάνατος ὁ παθὼν, καὶ ἀποθανὼν δι' ἡμᾶς ὑπὲρ τὰ κτίσματα καθυβρίζοντες τὸν κτίστην; λέγετε τοὺς ἀγγέλους ἀθανάτους, καὶ ἀπαθεῖς. λέγετε τὰς ψυχὰς ἡμῶν ἀθανάτους, * καὶ οὐκ αἰσχύνεσθε πάλιν λέγω, τὸν τούτων ποιητὴν, τὸν φύσει μόνον ὄντα ἀπαθῆ, παθητὸν, καὶ θνητὸν προσαγορεύοντες; ὑπὲρ τὰ κτίσματα τὸν κτίστην ἀτιμάζοντες. καὶ πρόσχες, ὃ λέγω. πέντε τινὰ ὑπῆρχον ἐν τῷ σταυρῷ προσηλωμένου τοῦ χριστοῦ ἐν αὐτῷ. ἓν ὁ ἥλιος. ὅστις καὶ πρῶτος τῶν ἥλων, καὶ τὴν λόγχην ἐδέξατο, καὶ ἔμεινεν ἀχώριστος τοῦ σταυροῦ, καὶ ἀπαθὴς ἐκ τῶν ἥλων· ἓν καὶ τὸ πανάγιον χριστοῦ σῶμα. ἓν καὶ ἡ ἁγία αὐτοῦ ψυχή. ἓν δὲ ὁ θεὸς λόγος. ἓν καὶ τὸ ξύλον τοῦ σταυροῦ. τὰ τέσσαρα τούτων κτιστά. ὁ δὲ θεὸς λόγος ἄκτιστος, καὶ κτίστης αὐτῶν. διεφυλάχθη τὰ δύο κτίσματα ἀπαθῆ, λέγω δὴ, ὁ ἥλιος, καὶ ἡ παναγία αὐτοῦ ψυχή. καὶ πῶς λοιπὸν ἡ θεότης αὐτοῦ ἀποθνήσκειν ἠδύνατο; ὥστε κατὰ δύο μὲν τρόπους ἀθάνατος ὁ χριστὸς, καθ' ἕνα δὲ τρόπον θνητὸς, ἤγουν τῇ σαρκί. οὐκοῦν οἱ πιστοὶ παρά σοι κρίνονται, ὦ ἀκέφαλε, Πέτρος, καὶ Παῦλος, οἱ στύλοι, καὶ κορυφαῖοι, καὶ φωστῆρες τῆς οἰκουμένης, καὶ τῆς πίστεως πρόκριτοι κήρυκες; μηκέτι κατὰ Πέτρον τὸν σὸν Κναφέα ψάλλε τὸ, ἅγιος, ἀθάνατος ὁ παθὼν θεὸς λόγος, ἀλλὰ κατὰ Πέ-

τρον

* λέγετε καὶ τοὺς δαίμονας ἀπαθεῖς καὶ ἀθανάτους.

Digitized by Google

brum tranſcribit; vt eandem crucifixi ſpeciem hoc loco efformet. Cùm igitur hanc figuram propoſuiſſemus, ſic locuti ſumus. Ecce Chriſtus filius Dei viui indeficiens, perfectus & indiuiſus in cruce pendet, hoc eſt, Deum verbum, & anima, quæ ei hypoſtaticè vnita eſt, & corpus. Quod nā ex his tribus mortem ac internecionem ſubiit, vitæque ac motus expers effectum eſt? Attende diligenter, non dixi, quod nam ex his crucifixum eſt. Sed quod nam ex his tribus in Chriſto mortem ac internecionem ſubiit in illo triduo? Hæc nobis ſciſcitantibus, ſummo dedecore ac probro affecti hæretici; reſponderunt; corpus Chriſti mortuum eſſe. Quibus nos? An non paſſa & mortua eſt anima eius? Illi; abſit. Tunc non ſine irriſione & illuſione ſubiunximus: An non pudet vos, quod cum animam à verbo creatā ſtatuatis & confiteamini impatibilem ac immortalem, de Deo verbo, qui animam condidit, canere audeatis; *Sanctus, immortalis, qui propter nos paſſus eſt ac mortuus*; magiſque in creatorem, quàm in creaturas iniurioſi eſtis? Dicitis Angelos immortales & impatibiles. Animas quoque noſtras immortales dicitis. Dæmones inſuper impaſsibiles & immortales aſſeritis: Et non pudet vos, repetam enim, horum omnium effectorem, qui ſolus naturâ eſt impaſsibilis, paſsibilem & mortalem appellare, minus honoris & gloriæ creatori, quàm creaturis deferentes. Aduerte mentem ad ea quæ dico. Quinque erant in Cruce, Chriſto in illa clauis affixo. Erat ſol; qui primus clauos & lanceam excepit, manſitq; à cruce inſeparabilis, & à clauis nihi doloris paſſus eſt. Erat & ſacratiſsimum Chriſti corpus. Erat & ſanctiſsima eius anima. Erat & Deus Verbum. Erat & lignum Crucis. Quatuor horum creata ſunt; at Deus Verbum increatus, & conditor eorū. Duę creaturæ paſsionis expertes manſerunt, ſol, inquam, & ſanctiſſima eius anima. Et quomodo diuinitas eius mori potuit? Itaque duobus modis Chriſtus immortalis eſt; vno autem mortalis, nimirum ſecundum carnem. An non igitur ô Acephale, à te iudicantur, & condemnantur fideliſsimi illi Petrus & Paulus columnæ & coryphæi, & luminaria mundi, fideique electi præcones? Ne canas amplius cum Petro Fullone. *Sanctus*.

τερον τὸν ἀλιέα, λέγει, χριστοῦ παθόντος σαρκὶ ὑπὲρ ἡμῶν. μηκέτι κατὰ Παῦλον τὸν Σαμοσατέα, ἀλλὰ κατὰ Παῦλον τὸν Ταρσέα, χριστὸν κήρυττε θανωθέντα μὲν σαρκὶ, ζωοποιηθέντα δὲ πνεύματι. σαρκὶ θνητῇ, καὶ οὐ πνεύματι τῷ ἀθανάτῳ χριστὸς τέθνηκεν. Οἱ δὲ ψάλλοντες τό, ἅγιος, ἀθάνατος, ὁ σταυρωθεὶς, καὶ παθὼν ὑπὲρ ἡμῶν, ἢ τὸν θεὸν λόγον τὸν ἀθάνατον θανατωθέντα λέγουσιν, ἢ τὴν ψυχὴν αὐτοῦ τὴν ἀθάνατον. Ἀλλ' ἐλέγχει αὐτοὺς ὁ τοῦ χριστοῦ τάφος, οὐ θεὸν λόγον νεκρωθέντα ἔχων, οὔτε ψυχὴν νοερὰν θανατωθεῖσαν, ἀλλὰ σῶμα ἔνθεον νεκρόν.

Τούτων δὴ οὕτως ἐχόντων, ὁπηνίκα ἀκούσῃς, ὅτι ὁ κύριος τῆς δόξης ἐσταυρώθη, ἢ ὅτι ὁ θεὸς πέπονθεν ὑπὸ δεξιᾶς Ισραηλίτιδος, ἢ ἐάσατέ με μιμητὴν γενέσθαι τοῦ πάθους τοῦ θεοῦ ἡμῶν, ἢ ῥανίδες αἵματος θεοῦ, ἢ θεοῦ θάνατον, καὶ ταφὴν, καὶ σταυρὸν, μηδαμῶς τῇ τοῦ θεοῦ λόγου φύσει, τὰ πάθη, καὶ τὸν θάνατον λογίσῃ, ἀλλὰ τῇ καθ' ὑπόστασιν ἡνωμένῃ αὐτῷ σαρκί. ὥσπερ γὰρ θεολογεῖται, ἡ σὰρξ διὰ τὴν πρὸς θεὸν λόγον ἄρρητον, καὶ ἀδιαίρετον ἕνωσιν, οὕτω πολλάκις ἀνθρωπολογεῖται, καὶ παθολογεῖται, καὶ θανατολογεῖται, καὶ ὁ ἐν αὐτῇ θεὸς λόγος οἰκειούμενος τὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς πάθη, οἰκονομικῶς, πῶς, καὶ συγκαταβατικῶς, μένων αὐτὸς ἀπαθὴς, καὶ ἀθάνατος φυσικῶς, καὶ ἀληθῶς, ὡς θεός. καὶ ὥσπερ ἐὰν λαβὼν ῥομφαίαν, καὶ εἰσελθὼν ἐν τῇ καμίνῳ τῶν παίδων, ἔσφαξας Αζαρίαν, οὐδαμῶς τὴν τοῦ πυρὸς φύσιν ἔβλαπτες, ἢ ἐχώριζες ἐκ τοῦ σώματος. οὕτω καὶ τῆς σαρκὸς χριστοῦ παθούσης, ἀχώριστος, καὶ ἀπαθὴς ἦν ὁ θεὸς λόγος ἐν αὐτῇ.

Οὐ μόνον δὲ εἰς τὸν περὶ τοῦ πάθους χριστοῦ λόγον συμβάλλεται ἡμῖν τὸ προκείμενον τοῦ σταυροῦ ἐκτύπωμα, καὶ ὑπόδειγμα, καὶ ἐπίγραμμα τῶν τριῶν προσηγοριῶν, λέγω δὴ τοῦ θεοῦ λόγου, καὶ τῆς νοερᾶς ψυχῆς αὐτοῦ, καὶ τοῦ παναγίου σώματος, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς λοιποῖς τῶν ἐναντίων πρὸς ἡμᾶς προβλήμασι, καὶ διαστρέμμασι. πάλιν γὰρ ἡνίκα ἡμῖν τὰ χρησείδια, καὶ κλεψύδρια προβάλλονται, καὶ τὰς λεπτὰς ἐννοίας περὶ χριστοῦ, ἤτινου φαντασίας, καὶ τὰς δοκήσεις, καὶ κράσεις, καὶ συγχύσεις, καὶ συμπλοκὰς, καὶ τὰς ἀρνήσεις τῶν

ἁγίων

ctus, immortalis, Deus Verbum, qui passus es: Sed cum piscatore Petro dicito. *Christo passo in carne pro nobis*. Neque amplius cum Paulo Samosatensi, sed cum Paulo Tarsensi prædica: *mortuum quidem carne; viuificatum autem spiritu*. Carne mortali; at non spiritu immortali mortuus est Christus. At qui canunt; *Sanctus, immortalis, qui crucifixus & passus est pro nobis*: illi aut diuinum verbum immortale mortuum ferunt, aut immortalem eius animum. Sed istos redarguit Christi sepulchrum, quod neque Verbum diuinum morte exstinctum, neq; animam rationis participē mortuam. sed corpus diuinum mortuū continuit.

Hæc cùm ita sese habeant, quotiescunque audieris; *Dominum gloriæ crucifixum esse*: aut; *Deum à dextra Israëlitidis passum*; aut; *Sinite me fieri imitatorem passionis Dei mei*. aut; *Guttæ sanguinis Dei*; aut *Dei mortem, & sepulturam, & crucem*; nolito cogitare, quasi verbum diuinum secundum naturam diuinam cruciatus & mortem sustinuerit; sed secundum carnem, quæ ei hypostaticè vnita erat. Quemadmodum enim ea, quæ Dei sunt prædicantur de carne propter ineffabilem, & indiuisam cum Verbo vnionem; sic & quæ hominis sunt, vt pati, mori, sæpè tribuuntur Verbo diuino; quod hæc & similia carnis propria per dispensationem & condescēsionem assumpsit, manens in se naturaliter, & verè tanquam Deus, omnis passionis & interitus expers. Et quemadmodum, si arrepto gladio, ingressus in fornacem, in qua erant tres illi pueri; Azariam percusisses, nihil damni ignis naturæ intulisses, neque ignem à corpore separasses; sic & carne Christi passa separationis & passionis expers permansit Verbum, quod in carne illa habitabat.

Neq; solùm proposita Crucis effigies & exemplum, & inscriptio trium vocabulorum, diuini, inquam, Verbi, & animæ intelligentia præditæ; & sanctissimi corporis, ad Dominicæ passionis rationem demonstrandam conducunt, sed & ad omnia alia problemata, peruersasq; quæstiones, quas nobis aduersarij proponunt; multum conferunt. Quando enim obiectant testimonia, & dictiunculas illas suas, & exiles nudasque cogitationes de Christo, siue mentis cōceptiones & fictiones; & opinationes, & mistiones, & confusiones, & connexiones,

&

ἁγίων πατέρων τὰς Σευηροπαραδόσεων, καὶ τὰ, τῆς σταγόνος τοῦ ὄξους, καὶ τοῦ πελάγους παραδείγματα· καὶ ἁπλῶς ἐν πάσαις αὐτῶν ταῖς προτάσεσι, ταῖς ἀρνουμέναις τὸ εἰπεῖν ἐπὶ Χριστοῦ δύο ἡνωμένας ἀδιαιρέτως φύσεις, ἡμεῖς τὸν προκείμενον τίμιον σταυρὸν, καὶ τὴν ἐν αὐτῷ τρισώνυμον ἐπιγραφὴν κατ' αὐτῶν εἰς τρόπαιον ἀήττητον προβαλλόμεθα διακωμῳδοῦντες αὐτοὺς, καὶ πειρετίζοντες, καὶ τὸν δάκτυλον ἡμῶν εἰς ἑκάστην τῶν τριῶν προσηγοριῶν ἐπιτιθέντες, καὶ διερωτῶντες αὐτοὺς, καὶ λέγοντες. τί φατὲ ἡμῖν ὦ οὗτοι προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις, σπήλαιον σκοτεινὸν, καὶ δύσβατον, λαβύρινθον λεξειδίων προφέρετε λέγοντες; ὅτι μετὰ τὴν ἄρρητον ἕνωσιν ἐθεώθη ἡ σάρξ, καὶ οὐκέτι λέγεται φύσις. τοιαύτη γὰρ γέγονεν, οἷος καὶ ὁ θεώσας αὐτὴν θεὸς λόγος. καὶ λοιπὸν οὐκέτι ἐστὶν ἐν τοῖς ἰδίοις ἰδιώμασιν, ἀλλὰ τῇ τοῦ κρείττονος ἐνικήσει μία φύσις τὸ πᾶν τοῦ Χριστοῦ γέγονε. συνανεκράθη γὰρ τὸ σῶμα τῷ πελάγει τῆς θεότητος. διὸ καὶ τοῦτο τῇ θεώσει θεὸς γέγονε.

Σχόλιον. κατ' ἐρώτησιν ἀναγνωστέον τὸ καταβατόν.

Τί ἡμῖν τοὺς ὅρους, καὶ τοὺς τοιούτους ἄνω, καὶ κάτω περισύρετε λόγους, καλῶς μὲν τοῖς ἁγίοις πατράσιν εἰρημένους, κακῶς δὲ ὑφ' ὑμῶν νοουμένους; Ἐμβλέψατε δὴ εἰς τὸν προκείμενον τοῦ σταυροῦ τύπον. καὶ εἰς τὴν τοῦ Χριστοῦ ἐν αὐτῷ τρισώνυμον ἐπιγραφὴν, καὶ εἴπατε ἡμῖν, μὴ γέγονεν ὁ θεὸς λόγος ὁμοούσιος τῇ σαρκὶ μετὰ τὴν ἕνωσιν; μὴ ἀπέστη ἡ νοερὰ ψυχὴ τοῦ εἶναι ψυχή; μὴ γέγονε τὸ σῶμα ὁμοούσιον τῷ λόγῳ; μὴ ἐστερήθη ἓν τῶν τριῶν τούτων τῆς οἰκείας ἰδιότητος; μὴ γέγονε τὸ σῶμα Χριστοῦ ἀπερίγραπτον; μὴ γέγονε θνητὴ ἡ νοερὰ αὐτοῦ ψυχή; μὴ γέγονε παθητὸς, καὶ ὁρατὸς ὁ θεὸς λόγος; οὐδαμῶς. οὐκοῦν εἰ καὶ μετὰ τὴν ἕνωσιν ἄτρεπτα, καὶ ἀσύγχυτα πάντα τὰ ἐν Χριστῷ μεμενήκασι. πῶς τὰ δύο ἀθάνατα, καὶ τὸ θνητὸν αὐτοῦ σῶμα μία φύσις λέγεσθαι δύνανται;

Ἐρώτησις πρὸς τοὺς αὐτοὺς ἐλέγχουσα τὴν θεοπασχίαν αὐτῶν. Ὃν λέγετε σταυρωθέντα, τοῦτον λέγετε καὶ ἀποθανόντα, ἢ οὔ; Οἱ αἱρετικοί. ναί. εἷς γὰρ ὁ Χριστὸς, καὶ οὐ δύο. Ὁ ὀρθόδοξος. καλῶς. λέγοντες οὖν, ἅγιος, ἀθάνατος ὁ σταυρωθεὶς, καὶ παθὼν ὑπὲρ ἡμῶν, καὶ

ἀπο-

& inficiationes sanctorū Patrum, quas à Seuero acceperunt; & illa de gutta aceti, & pelagi exempla; vno verbo, omnia illa pronunciata, quæ negant, duas in Christo vnitas naturas dici oportere; nos opponamus illis, prædictam venerandam Crucem, & tria, quæ adscripta habet, nomina, tanquam inuictum trophæum, eosque ludibrio, & irrisui exponamus; & digito ad quamlibet ex tribus dictionibus admoto & intento, hunc in modū sciscitemur. Quid dicitis vos, qui *excusatis excusationes in peccatis*, qui caliginē densam & imperuiā nobis profertis; & inextricabilem verborum labyrinthum fabricatis, dum asseritis: *Post ineffabilem illam vnionem carnem in diuinitatem migrasse; neque iam naturam dici posse; talem enim factam esse; qualis est Deus Verbum, à quo diuinitatem acceperit; neque amplius proprietatibus suis constare, sed præstantiori exsuperanti cessisse, totumq; vnam Christi naturam euasisse, corpus enim diuinitatis pelago commixtum, & deificatione Deum factum esse.* Psal. 140.

Scholium. Per interrogationem legenda sunt sequentia.

Quid nobis huiusmodi dicta vsque & vsque reponitis & occinitis, rectè quidem à sanctis Patribus prolata, perperam verò à vobis intellecta? Respicite in propositam Crucis effigiem, & in triplicē illam Christi, quæ adiecta est epigraphen, & dicite nobis, num Deus Verbum factus sit eiusdem substantiæ cum carne post vnionem? Num anima rationalis desierit esse anima? Num corpus eiusdem substantiæ effectum sit cum Verbo? Num quod ex his tribus insitis proprietatibus priuatum sit? Num eius anima rationis particeps mortalis euaserit? Num Verbum diuinum passibile & mutabile effectum sit? Nequaquam. Si igitur etiam post vnionē omnia in Christo mutationis expertia, & inconfusa perstiterūt, qua tandem ratione duo, quę in ipso sunt, immortalia, & mortale eius corpus vna natura censeri possunt?

Quæstio iisdem proposita, redarguens eos, quòd Deum passibilem faciunt. Aut eum, quem Crucifixū dicitis, dicitis etiam mortuum aut nō? Hæretici. Vtique. vnus enim Christus est, non duo. Orthodoxus. Rectè. Quando igitur dicitis: *Sanctus, immortalis, qui pro nobis crucifixus & passus est*; quem nam im-

ἀποθανών, τίνα λέγει τις ἀθάνατον ἀποθανόντα; κἂν γὰρ τὸν θεὸν λόγον εἴπῃ τις, κακῶς λέγει.* οὐ γὰρ τὴν ἀθάνατος ἡ σὰρξ ἐπὶ τοῦ σταυροῦ. κἂν δὲ πάλιν, τὴν πᾶσαν ὁλότητα τοῦ χριστοῦ εἴπῃ τις, ἅγιος, ἀθάνατος ὁ παθών. καὶ ἀποθανών, καὶ οὕτως κακῶς λέγει· τὸ γὰρ ἀθάνατος οὐχ ἁρμόζει ἐπὶ τοῦ σώματος, ὡς ἤδη προεῖπον. ὁ δὲ θάνατος ἀλλότριός ἐστι τοῦ ἀθανάτου λόγου, καὶ τῆς συναθανάτου αὐτοῦ ψυχῆς, ὥστε κατὰ πάντα τρόπον βλάσφημος ὁ τοιοῦτος ὑμῶν ὕμνος σὺν ὑμῖν, καὶ τοῦ ποιήσαντος αὐτόν.

* Videtur hic hoc vel simile quid deesse. ἀθάνατος γὰρ ὁ θεός. εἰ δὲ τὴν σάρκα εἴπῃ τις πάλιν κακῶς λέγει, οὐ γὰρ τὴν, &c.

ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

Ἀνάκρισις, ἤτοι συζήτησις, καὶ γυμνασία ὀρθοδόξου, καὶ ἀκεφάλου περὶ τινῶν χρήσεων, ὧν προφέρουσιν, ἐκ τῶν ἁγίων πατέρων, πᾶσαι αἱ αἱρέσεις, αἱ ἀθετεῖν βουλόμεναι τὴν ἔνσαρκον οἰκονομίαν τοῦ χριστοῦ, λέγω δή, αἱ ἀπὸ Οὐάλεντος, καὶ Μάνεντος, καὶ Μαρκίωνος, καὶ καθεξῆς, ἕως Εὐτυχοῦς, καὶ Διοσκόρου, καὶ Σευήρου, καὶ Θεοδοσίου, καὶ Γαϊανοῦ, τῶν μίαν λεγόντων φύσιν τῆς σαρκὸς, καὶ τῆς θεότητος τοῦ Ἐμμανουήλ.

Πρὸ μέν τοι τῆς τοιαύτης διασκέψεως ἐκεῖνο ἐροῦμεν, ὅτι εἰ μὲν αἱρετικῶν τινῶν ἀνδρῶν εἰσὶ προσθῆκαι, τοιαῦται λέξεις, μόνῳ ἔγνωσται τῷ θεῷ. Εὑρίσκομεν γὰρ τοὺς αὐτοὺς ἁγίους πατέρας ἐν ἑτέροις τόποις ἀσύμφωνα, καὶ ἐναντία τῶν τοιούτων χρήσεων εἰρηκότας ῥήματα. εἰ δὲ καὶ ὡς εἰκὸς τινὲς ἐκ τῶν τοιούτων λέξεων πατρικαί εἰσιν, ἐκεῖνο ἐροῦμεν. ὅτι τοῖς μὲν ἁγίοις πατράσιν, ἢ καταχρηστικῶς πως, καὶ ἀπονήρως ἐν ἀκακίᾳ ἐρρέθησαν, ἢ κατὰ σκοπὸν τιμητικὸν τῆς ἁγίας ψυχῆς, καὶ σαρκὸς τοῦ χριστοῦ ἐνοήθησαν. ἃς οἱ ἀρνούμενοι τὸν τῆς ἐνανθρωπήσεως λόγον, οὐ κατὰ τὸν σκοπὸν τῶν ἁγίων πατέρων ἑρμηνεύουσιν. ἀλλ' ἐπ' ἀρνήσει τῆς καθ' ἡμᾶς οὐσίας αὐτὰς ἐκλαμβάνουσι μίαν φάσκοντες γεγονέναι φύσιν τῆς σαρκὸς, καὶ τῆς θεότητος, μετὰ τὴν ἄφραστον ἕ-

νωσιν,

mortalem obiisse mortē asseritis? Nam si id asseratis de Verbo diuino, malè dicitis; * caro enim illius non erat in cruce immortalis. Si verò totum illud compositum, quod Christus appellatur, intelligitis, quando canitis: Sanctus immortalis qui passus est ac mortuus, rursus malè persuasi estis: Nam illud, *immortalis*, competere in corpus nequit, vt iam antea dixi. Mors verò in Verbum immortale non cadit, vti neque in animam, quæ cum verbo immortalitatem participat. Quocirca vndequaq; huiusmodi hymnus vester blasphemus est ac impius simul cum auctore suo.

** Videtur tale quid supplēdū:* Verbū enim immortale est: si verò de carne, rursus perperā sentitis, caro enim, &c.

CAPVT DECIMVMTERTIVM.

*Examen siue disquisitio & exercitatio Orthodoxi, & Acephali de quibusdam dictis sanctorum Patrum ab omnibus hæreticis, qui diuinam incarnationē Christi Domini oppugnant, proferri consuetis, vt à * Valente, Manete, Marcione, & aliis vsq; ad Eutychen & Dioscorum, Seuerum, Theodosium & Gaianum, qui vnam dicunt esse naturam carnis & diuinitatis in Emmanuele.*

** Valentino.*

ANTEQVAM rem ipsam aggredimur, hoc præmittimus; Num huiusmodi dicta sint hæreticorū quædam additamenta, soli Deo constare. Videmus enim alibi sanctos Patres planè dissentanea, & talibus testimoniis contraria protulisse. Quod si quædam ex his dictis, verè sunt sanctorum Patrum, vt quidem contingere potest, illud addimus, talia à sanctis Patribus impropriè, seu per abusionem & inculpatè, absque vlla impietatis suspicione, prolata esse, & ferè animo honorandi sanctissimā Christi animam & carnem, quæ, qui Incarnationis mysterium negant, perperam & contra SS. Patrum mentem nunc interpretantur, eoque rapiunt, vt nostram in Christo naturam inficiētur, dum ex carne & diuinitate vnam naturam, post ineffabi-

-γωσιν, ὡς οἷα τῆς ἁγίας σαρκὸς τοῦ Χριστοῦ διὰ τῆς συγκράσεως μεταβληθείσης εἰς θεότητος φύσιν, προφέροντες ἡμῖν τὴν τοῦ μακαρίου Γρηγορίου φωνήν, τὴν φάσκουσαν περὶ τοῦ δεσποτικοῦ σώματος. ὅτι καὶ τοῦτο τῇ θεώσει θεός. ὁμοίως καὶ τὸν μακάριον Κύριλλον λέγοντα. θεοῦ ὁ σταυρός. θεοῦ τὸ πάθος. θεοῦ ὁ θάνατος. θεοῦ ἡ ἀνάστασις. καὶ ἄλλα πλεῖστα τοιαῦτα. ἀγνοοῦσι δὲ οἱ τάλανες, καὶ ἀπαίδευτοι, ὅτι οὐ τῇ φύσει, ἀλλὰ τῇ ἑνώσει, καὶ θεώσει τοῖς ἁγίοις πατράσιν, αἱ τοιαῦται εἴρηνται φωναί. οὐ γὰρ εἶπεν ὁ θεῖος Γρηγόριος, τὸ σῶμα τῇ φύσει θεόν, ἀλλ' ἐπεὶ καὶ τοῦτό φησιν, τῇ θεώσει θεός. ὡς ἵνα τις εἴποι. ὅτι καὶ ὁ σίδηρος τῇ πρὸς τὸ πῦρ ἑνώσει ἀπαστράπτων τῇ πυρώσει πῦρ λέγεται, οὐ μέντοι, καὶ τῇ φύσει. οὐ γὰρ ἀπέστη τοῦ σίδηρος εἶναι. οὕτω καὶ ὁ πάνσοφος Κύριλλος πάλιν, οὐκ εἴρηκεν, ὅτι θεότητος ὁ θάνατος, οὐδὲ θεότητος, τὸ πάθος· ἐπεὶ ἄρα αὖ παθητόν, καὶ θνητὸν ἐποίει τὸ πλήρωμα τῆς θεότητος, ἀλλὰ θεοῦ τὸ πάθος εἶπεν. δύναται γάρ, ὡς ἤδη προείρηται, εὐσεβεῖ σκοπῷ λέγεσθαι θεὸς, διὰ τὴν ἄκραν ἕνωσιν, καὶ ὁ κυριακὸς ἄνθρωπος, εἴγε καὶ ἄνθρωποι ψιλοί, καὶ μὴ * ἡνωμένῃ θεότητι, ὠνομάσθησαν θεοί. οὐ δύναται δὲ θεότης καλεῖσθαι κτιστὸν ὑπάρχον τὸ πανάγιον σῶμα. ἵνα μὴ φανῶμεν ὁμοούσιον λέγοντες κτίσματι τὴν θεότητα τῆς ἁγίας τριάδος. ὅθεν θεὸν μὲν λέγομεν πολλάκις, καὶ ὅλον τὸ πλήρωμα τοῦ Χριστοῦ, διὰ τὴν ἄκραν ἕνωσιν, οὐ λέγομεν δὲ αὐτὸν ὅλον θεότητα, ἀλλὰ θεότητα, καὶ ἀνθρωπότητα, διὰ τὸ διάφορον τῶν φύσεων.

* ἡνωμένοι.

Καὶ ὅπως πάλιν τὸν περὶ τοῦ πάθους Χριστοῦ, καὶ τοῦ τρισαγίου αὐτοῦ ὕμνου ἀναλάβω τὸν λόγον. διερωτητέον, καὶ ἀπορητέον αὐτῶν, ψαλλόντων, καὶ λεγόντων ὑμῶν, ἅγιος, ἀθάνατος ὁ σταυρωθεὶς, καὶ παθὼν ὑπὲρ ἡμῶν, πόθεν δῆλον, ὅτι περὶ τοῦ Χριστοῦ τοῦτο λέγετε. εἰ μὲν γὰρ ἐλέγετε, ἅγιος, ἀθάνατος ὁ σταυρωθεὶς σαρκὶ ὑπὲρ ἡμῶν, εὔδηλον, ὅτι εἰς τὸν σαρκωθέντα Χριστὸν, τὸν ὕμνον ἀναφέρετε. μὴ ὀνομαζόντων δὲ ὑμῶν ὅλως σάρκα, ἢ σῶμα, ἢ ἐνανθρώπησιν, ἐπὶ τοῦ τοιούτου ὕμνου, ἀλλὰ λεγόντων ξηρᾷ τῇ λέξει, ἅγιος, ἀθάνατος, ὁ σταυρωθείς, δύναταί τις εὐλόγως ἐπιλαβέσθαι ὑμῶν, καὶ εἰπεῖν, ὡς οὐ τὸν Χριστὸν λέγετε σταυρωθέντα, ἀλλὰ τὸν ἀθάνατον πατέρα, καὶ θεόν· ἢ τὸ ἀθάνατον

πνεῦμα

lem vnionem, coaluisse tradunt, quasi videlicet sanctissima Christi caro in diuinitatis naturam per commistionem conuersa fuerit; adducuntque quoddam dictum Gregorij Nazianzeni de Dominico corpore dicentis, *ipsum deificatione Deum esse*, & B. Cyrilli, *Dei crucem, Dei passionem, Dei mortem, Dei resurrectionem* prædicantis: & id genus alia complura. Sed miseri & indocti non aduertunt, hæc & similia non esse dicta de natura diuina; sed ob vnionem & deificationem: Neque enim asseruit diuinus Gregorius, corpus naturâ Deum esse; sed perinde est, ac si quis diceret, ferrum ob coniunctionem cum igne fulgescens, ignescendo ignem esse, non vtiq; naturâ, cum ferri naturam non exuerit. Sic & sapientissimus Cyrillus nō ait: mortem diuinitatis esse; neque diuinitatis passionem; sic enim plenitudinem diuinitatis fecisset passibilem ac mortalem; sed *Dei passionem* dixit. Potest enim recto pioque sensu etiam *Dominicus homo* vocari Deus propter summam illam vnionem, vt antea dictum, quandoquidem nudos quoque, nec cum deitate vnitos homines *Deos* appellatos nouimus. Non potest autem sacratissimum Christi corpus nominari *diuinitas*, ne videamur sacrosanctæ Trinitatis diuinitatem consubstantialem statuere creaturæ. Hinc totum illud, quod Christus appellatur, crebrò vocamus Deum, idq; propter summā vnionem; at non vocamus diuinitatem; sed diuinitatem & humanitatem simul, propter diuersitatem naturarum.

Cæterùm, vt oratio ad Christi passionem, hymnumq; trisagium reuertatur, quærendū est ex istis: Quando psallitis & dicitis, *Sāctus immortalis, qui pro nobis crucifixus & passus es*, vnde vobis liquet, hęc de Christo accipi. Nam si diceretis; Sanctus immortalis, qui carne pro nobis crucifixus es; planū clarumq; foret; vos hymnum illum ad Christum incarnatum referre. At cum carnem aut corpus, aut incarnationem in hoc hymno penitus non exprimatis, sed nudè ac præcisè dicatis; *Sanctus immortalis, qui crucifixus es*, meritò poterit quis suspicari, quasi non dicatis Christum esse crucifixum, sed immortalem Patrem ac Deum, aut immortalem Spiritū sanctum. Nam cùm corpus in cruce mortale, & non immortale fuerit; manifestū

f 3 profe-

πνεῦμα τὸ ἅγιον. τοῦ γὰρ σώματος θνητοῦ ὄντος, καὶ οὐκ ἀθανάτου ἐν τῷ σταυρῷ, πρόδηλοί ἐστε ἐκ παντὸς τρόπου. ὅτι, ἢ τὸν ἀθάνατον πατέρα, ἢ τὸν ἀθάνατον θεὸν λόγον, ἢ τὸ ἀθάνατον πνεῦμα ἅγιον, λέγετε σταυρωθέντα, καὶ παθόντα, καὶ θανόντα.

Ἀκέφαλος. Καὶ πῶς πάλιν εὑρίσκομεν τὸν μακάριον Ἀθανάσιον πρὸς Ἰοβιανὸν τὸν βασιλέα γράφοντα. ὅτι ὁ λόγος σὰρξ ἐγίνετο. ἵνα καὶ ἡ σὰρξ γίνηται λόγος. εἰ οὖν λόγος γέγονε καὶ ἡ σὰρξ, πῶς δυνατὸν τοῦ λοιποῦ δύο λέγειν φύσεις; Ὁ ὀρθόδοξος. Καθὼς προείρηκα, καὶ πάλιν ἐρῶ. ὅτι περ ἐγὼ ἀμφίβολον ἔχω τὴν γνώμην, εἰ ὅλως τῶν ἁγίων πατέρων εἰσὶν αἱ τοιαῦται φωναί. καὶ ἵνα ἀποτολμήσας εἴπω· κἂν ἄγγελος ἐξ οὐρανοῦ εἴρηκε τὴν προκειμένην χρῆσιν, ἀδύνατόν τι, καὶ οὐδαμῶς γινόμενον εἴρηκεν. καὶ τοῦτο αὐτὸς ὁ μακάριος Ἀθανάσιος, καὶ Κύριλλος φάσκουσι λέγοντες· ὅτι ἀδύνατον, καὶ παντελῶς ἀμήχανον, τὴν σάρκα, εἰς τὴν τοῦ λόγου μεταστῆναι φύσιν. πῶς γὰρ δυνατὸν, τὴν μετὰ μυρίας γενεὰς, καὶ χρόνους, ὑπὸ τοῦ προαιωνίου θεοῦ λόγου κτισθεῖσαν, γενέσθαι ὁμοφυῆ, καὶ συγγενῆ τοῦ ἀκτίστου θεοῦ λόγου; εἰ δὲ ὁ λόγος σὰρξ ἐγίνετο, ἵνα καὶ ἡ σὰρξ γίνηται λόγος, πρόδηλον λοιπὸν, ὅτι καὶ ἐν τοῖς τοῦ λόγου ἰδιώμασι χρὴ ὁμολογεῖν τὴν σάρκα, τοῦτ᾽ ἔστιν, ἀπερίγραπτον, καὶ ἄκτιστον, καὶ ἄναρχον, καὶ ἀσχημάτιστον, καὶ συναΐδιον τῷ πατρί. Εἰ δὲ οὐδὲν τούτων δυνατὸν λέγειν εἶναι τὴν ἁγίαν σάρκα τοῦ χριστοῦ, πρόδηλον, ὅτι οὐ γέγονε λόγος ἡ σάρξ. εἰ δὲ οὐ γέγονε λόγος, ὥσπερ οὖν οὐδὲ γέγονεν, ἐψεύσατο, ὁ λέγων, ὅτι ὁ λόγος σὰρξ ἐγένετο. ἵνα καὶ ἡ σὰρξ γένηται λόγος. καὶ μή μοι εἴπῃ ὁ ἀκέφαλος, ὅτι οὐ τῇ φύσει εἶπεν ὁ διδάσκαλος γενέσθαι τὴν σάρκα λόγον, ἀλλὰ τῇ δόξῃ. πρὸς γὰρ τοῦτο, δύναμαί σοι κἀγὼ εἰπεῖν. ὅτι τῇ δόξῃ πάντες ἄνθρωποι δύνανται θεοὶ γενέσθαι. κατὰ τὸ, ἐγὼ εἶπον, θεοὶ ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. πλὴν ὅτι οὐδὲ κεῖται ἐν τῇ βίβλῳ τοῦ διδασκάλου, ὅτι τῇ δόξῃ. ἀλλ᾽ οὕτως ἀπολύτως, ὅτι ὁ λόγος σὰρξ ἐγένετο. ἵνα καὶ ἡ σὰρξ γένηται λόγος.

Οὐ ταύτην δὲ μόνην τὴν χρῆσιν προφέρουσιν, ὡς τοῦ ἁγίου Ἀθανασίου. ἀλλὰ καὶ ἑτέραν τινὰ φάσκουσιν, χριστὸν σαρκωθέντα δίχα ἁμαρτίας, καὶ σαρκικῶν θελημάτων. ἡ γὰρ θέλησις, φησὶν, θεότητος,

profecto euadit vestro iudicio, vel immortalem Patrem; vel immortalem Deum Verbum, vel immortalem Spiritum sanctum crucifixum, passum ac mortuum esse.

Acephalus. Et quomodo interpretabimur beatum Athanasium, qui ad Iouinianum Imperatorem scribens dixit: *Verbum caro factum est; vt & caro fieret Verbum.* Si igitur etiam caro est facta Verbum; qua ratione fieri potest, vt de cætero duas dicamus naturas? Orthodoxus. Quod antea dixi, id repeto: nimirum vehementi dubitatione me teneri, num talia dicta à sanctis Patribus sint profecta. Et vt audacius quiddam proloquar, etiamsi Angelus è cœlo prędicta verba protulisset, impossibile quid protulisset: Et ipse B. Athanasius, & Cyrillus disertè testantur, fieri non posse, vt caro in Verbi naturam transierit. Quomodo enim fieri potest, vt quæ post infinita sæcula ab æterno Verbo condita est; fiat eiusdem naturæ cum increato Dei Verbo? Si verò *Verbum caro factum est*, vt & caro fieret Verbum, planum fit, etiam Verbi proprietates concedendas esse carni; hoc est, esse incircumscriptum, increatum, principio, & figura carere, & coæternum Patri existere. Quod si nihil horum verè de carne Christi affirmare licet, perspicuum relinquitur, carnem non esse factam Verbum. Si non est facta Verbum, sicut verè non est facta; mentitus est igitur ille, qui dixit; *Verbum esse carnem factam*; *vt & caro fieret Verbum.* Neque verò obiiciat Acephalus, Magistrum non dixisse, carnem factam esse Verbum naturâ, sed gloria; nam ad hoc in promptu est responsio; omnes homines gloriâ *Deos* effici posse; iuxta illud; *Ego dixi, Dij estis, & filij excelsi omnes*; vt taceam illud, *gloriâ*, in Magistri libro non exstare; sed hoc præcisè: *Verbum caro factum est, vt & caro fieret Verbum.* Psal. 81.

Neque hoc solum dictum, tanquam Athanasij producunt, sed & istud, quod dicitur; *Christum incarnatum absque peccato, & carnalibus appetitionibus. Voluntas enim*, inquit, *sola est, diuinitatis, sicut & substantia sola Verbi.* Huius quis auctor sit, dicere,

τητος, μόνη, ὥσπερ καὶ οὐσία μόνη τοῦ λόγου. ταῦτα τίς εἴρηκεν, οὐκ ἔχω λέγειν. ἐκεῖνο δὲ ἐπίσταμαι, καὶ κηρύττω, ὅτι πᾶς ἄνθρωπος μόνην οὐσίαν τοῦ θεοῦ λόγου κηρύττων ἐν τῷ χριστῷ, οὐκ ἔχει τινὰ κλῆρον, οὐδὲ μέρος ἐν χριστῷ, ὡς ἀρνησάμενος τὸ ἡμέτερον φύραμα, καὶ τὴν καθ' ἡμᾶς φύσιν, ἣν ἀνέλαβεν ἐκ τῆς ἁγίας παρθένου, καὶ θεοτόκου ΜΑΡΙΑΣ. Εἰ γὰρ θεότης ἐστὶ μόνη ἐν τῷ χριστῷ, τί ἐγκαλοῦμεν τοῖς λέγουσιν Μανιχαίοις, ὅτι ἐν σκιᾷ, καὶ δοκήσει, καὶ φαντασίᾳ ἦν ἡ σὰρξ τοῦ χριστοῦ. καὶ ἐν τῷ ἡλίῳ ἀνερχόμενος, ἀπέθετο, καὶ αὐτὸ τὸ σκιῶδες σῶμα, ὃ περιέκειτο ἐν φαντασίᾳ. οἷς εἰσι, λέγω δὴ Μανιχαίοις, γνησίως μαθητεύσας ὁ σεμνὸς Τιμόθεος, τὴν αὐτὴν αὐτοῖς βαδίζει, καὶ συνοδεύει τῆς πλάνης τρίβον φάσκων. ὅτι φύσις τοῦ χριστοῦ μόνη θεότης ἐστὶν, εἰ καὶ σεσάρκωται. πρὸς ὃν τις εὐκαίρως αὖ τὴν τοιαύτην αὐτοῦ ἀναλαμβανόμενος φωνὴν, ἀντιπαρελθήσεται λέγων· εἰ φύσις χριστοῦ μόνη θεότης ἐστὶν, ἀκόλουθον λοιπὸν, λέγειν, ὅτι γέννησις χριστοῦ μόνης θεότητος, καὶ αὔξησις χριστοῦ μόνης θεότητος, νηπιότης χριστοῦ, μόνης θεότητός ἐστι, σπαργάνωσις χριστοῦ, μόνης θεότητος, ψηλάφησις χριστοῦ, μόνης θεότητος, πεῖνα, καὶ δίψα, καὶ κόπος, καὶ ἀγωνία, καὶ πτύσμα, καὶ αἷμα, καὶ δάκρυον χριστοῦ μόνης θεότητος. σταύρωσις χριστοῦ, μόνης θεότητος. καὶ ποῖος εἰπέ μοι ἄνθρωπος, ἢ δαίμων, τί τοιοῦτον τολμήσει εἰπεῖν; οὐκοῦν ἀσεβεῖ Τιμόθεος λέγων, φύσις τοῦ χριστοῦ, μόνη θεότης ἐστὶ, καὶ μὴ σεσάρκωσιν. Εἰ γὰρ μόνη θεότης ἐστὶν ὁ χριστὸς, ἡ δὲ θεότης ἀόρατός ἐστι, καὶ ἀψηλάφητος, καὶ ἄθυτος, καὶ ἀμέλιστος, καὶ ἄβρωτος, πρόδηλός ἐστιν ὁ Τιμόθεος ἀρνούμενος, ὥσπερ οἱ Ἰουδαῖοι τὴν θυσίαν, καὶ κοινωνίαν τῶν ἁγίων μυστηρίων, καὶ μὴ πιστεύων, μήτε ὁμολογῶν ἐν ἀληθείᾳ σῶμα, καὶ αἷμα ὁρατὸν, καὶ κτιστὸν, καὶ γηγενὲς χριστοῦ εἶναι· ὃ προσφέρων μεταδίδωσι τῷ λαῷ λέγων Σῶμα, καὶ αἷμα τοῦ κυρίου, καὶ θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ χριστοῦ. Εἰ γὰρ φύσιν χριστοῦ μόνην θεότητα εἶναι λέγει, ἀλλότριον δὲ θείας φύσεως τὸ κρατεῖσθαι, καὶ κλᾶσθαι, καὶ μερίζεσθαι, καὶ θρύπτεσθαι, καὶ ἐκχεῖσθαι, καὶ κενοῦσθαι, καὶ μεταβάλλεσθαι, καὶ ὑπὸ ὀδόντων κατατέμνεσθαι.

ære non habeo. Hoc ſcio, palamque pronuncio; omnem hominem, qui vnam tantùm diuini Verbi naturam in Chriſto prædicat, nullam neque ſortem, neque partem in Chriſto habere, vtpote qui maſſam noſtram, noſtramque naturam abneget; quam ex ſanctiſsima Virgine & Deipara aſſumpſit. Si enim ſola diuinitas eſt in Chriſto, cur reprehendimus Manichæos, affirmantes, carnem Chriſti fuiſſe talem ſola ſpecie externa; & exiſtimatione, hancque ipſam vmbratilem ſpeciem nec in re, ſed in phantaſia conſiſtentem, abiectam & à Chriſto depoſitam eſſe, poſtquam in ſolem aſcendit: quorum veſtigia, tanquam genuinus diſcipulus, ſedulo ſectatur grauis *ſcilicet* Timotheus, eandem erroris ſemitam calcans & peragrans, cùm ait; *ſolam diuinitatem eſſe naturam Chriſti, etiamſi incarnatus ſit.* Quem proprio ipſius dicto non iniuriâ quis huncin modum refutauerit. Si ſola diuinitas eſt natura Chriſti, ſequitur natiuitatem Chriſti ſolius diuinitatis fuiſſe; profectum ſeu incrementum Chriſti ſecundum ætatem ſolius diuinitatis, infantiam Chriſti ſolius diuinitatis; inuolutionem in faſciis, ſolius diuinitatis, contactum Chriſti, ſolius diuinitatis. Famem & ſitim, & laborem, & anguſtias, & ſputum, ſanguinem, & lacrymas Chriſti ſolius diuinitatis, crucifixionem Chriſti ſolius diuinitatis. Et quis, cedo, hominum vel dæmonum hæc audeat affirmare? Impius igitur eſt Timotheus, cùm ait; *natura Chriſti poſt incarnationem eſt ſola diuinitas.* Si enim Chriſtus eſt ſola diuinitas, diuinitas verò ſub viſum & tactum non cadit, neque ſacrificari poteſt, membrorum ſimul & eſus expers; liquidò conficitur, Timotheum, Iudæorum inſtar, inficiari ſacrificium & communionem ſacratiſsimorum myſteriorum corporis & ſanguinis Chriſti, neque credere vereque confiteri corpus & ſanguinem Chriſti viſibile, creatum & terreſtre eſſe, quod offerens tradit his verbis populo: *Corpus & ſanguis Domini & Dei, & Saluatoris Ieſu Chriſti.* Si enim ſolam diuinitatem naturam Chriſti eſſe aſſerit; teneri autem, & frangi, & diuidi, & in partes diſtribui, & effundi, & exhauriri, & tranſmutari, & dentibus conteri à diuinitate prorſus abhorret, in alterutram foueam Timotheus

μιμνῆσθαι. εἰς ἓν ἐκ τῶν ὁποτέρων βερέθρων ὁ Τιμόθεος περιπίπτει· ἢ παθητὸν, καὶ ῥευστὸν λέγων τὸ θεῖον. ἢ ἀρνούμενος τὸ σῶμα, καὶ αἷμα χριστοῦ, ὅπερ προσάγει, καὶ ἐσθίει ἐπὶ τῆς μυστικῆς θυσίας, καὶ μεταδίδωσι λέγων τῷ λαῷ, σῶμα, καὶ αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ· ἐχρῆν γὰρ αὐτὸν μᾶλλον πρὸς τοὺς μεταλαμβάνοντας λέγειν. θεότης μόνη τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ· λοιπὸν μῦθος παρὰ τῷ Τιμοθέῳ ὁ τῆς σαρκώσεως λόγος.

Ἀλλ' ἄπαγε. ἡ γὰρ σὰρξ οὐκ ἔστι θεότης, καθὰ ὁ τρισμακάριος Ἀθανάσιος φησὶν, ὧδέ πως λέγων. οὐ γὰρ ἦν τὸ σῶμα ὁ λόγος· ἀλλὰ σῶμα ἦν τοῦ λόγου. καὶ πάλιν ὁ αὐτὸς τὸ διάφορον τῶν οὐσιῶν τοῦ χριστοῦ κηρύττων, κατεγκαλεῖ τισι βοῶν. ποῖος ᾅδης ἠρεύξατο τὴν φωνὴν, τὴν λέγουσαν. ὁμοούσιον εἶναι τὸ σῶμα, καὶ τὸν θεὸν λόγον; εἰ δὲ οὐχ ὁμοούσιον, ἑτέρα * παντὸς, καὶ ἑτέρα φύσις ἐστὶ, καθ' ἃ ὁ πάνσοφος Κύριλλος πρὸς Εὐλόγιον τὸν οἰκεῖον αὐτοῦ τὸ τοιοῦτον εἴρηκεν ὄντα ἐν Κωνσταντινουπόλει. εἰ δὲ ἑτέρα, καὶ ἑτέρα φύσις ὁρᾶται ἐν χριστῷ, οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ μόνη τοῦ λόγου. εἰ δὲ οὐκ ἔστι μόνη τοῦ λόγου ἡ χριστοῦ φύσις, ψεύστης ἐστὶ Τιμόθεος λέγων, ὅτι φύσις χριστοῦ μόνη θεότης, εἰ καὶ σεσάρκωται.

* πάντως.

Ὁ ἑτερόδοξος φησὶν, οὐκ ἀπαρνούμενος ὁ Τιμόθεος, ἢ Σευῆρος τὴν σάρκωσιν τοῦ χριστοῦ. μίαν φύσιν ἐπ' αὐτοῦ κηρύττουσιν. ἀλλὰ τοῖς ἁγίοις πατράσιν ἑπόμενοι, ὁ μὲν γὰρ μακάριος Γρηγόριος ὁ θεολόγος φησὶν. ὅτι ὁμόθεον γέγονε τὸ σῶμα τῷ θεῷ λόγῳ, καὶ τοιοῦτον ἀπετελέσθη. οἷον, καὶ τὸ θεῶσαν αὐτό. ὁ δὲ θεόσοφος Νυσσαεύς, καὶ ὑποδείγματι κέχρηται ἐπὶ τῇ θεώσει, καὶ μεταστοιχειώσει τοῦ παναγίου σώματος τοῦ χριστοῦ φάσκων. ὅτι καθάπερ σταγὼν ὄξους βληθεῖσα ἐν τῷ πελάγει τῆς θαλάττης, οὐκέτι ἐστὶν ἐν τοῖς ἰδίοις τοῦ ὄξους ἰδιώμασιν. ἀλλὰ μετεποιήθη, καὶ συνεκράθη εἰς τὸ τοῦ πελάγους τῶν ὑδάτων ἰδίωμα. οὕτω δὴ καὶ τὸ πανάγιον ἐκεῖνο σῶμα συνανακραθὲν τῇ θεότητι, οὐκέτι ἐστὶν ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασιν.

Ὁ ὀρθόδοξος. Τὴν αὐτὴν πάλιν γνώμην σου ἡμῖν προβαλλομένου, λέγω δὴ τὴν ἀναίρεσιν τῆς ἐνσάρκου οἰκονομίας, ἀνάγκη καὶ ἡμᾶς τοῖς ἤδη προειρημένοις χρήσασθαι καὶ νῦν ῥήμασιν. εἰ γὰρ

τοιοῦ-

incidat oportet; vt aut diuinitatem paſsibilem & mutabilem ſtatuat, aut neget corpus & ſanguinem Chriſti, quæ offert & manducat in myſtica menſa, traditque his verbis populo: corpus & ſanguis Domini noſtri Ieſu Chriſti. Debebat enim potius ſumentem ita alloqui. *Sola diuinitas Domini noſtri Ieſu Chriſti.* Verumenimuerò Incarnatio apud Timotheum fabulæ locum obtinet.

Sed valeat. Caro non eſt diuinitas, vt beatiſsimus Athanaſius affirmat ſic alicubi ſcribens. Corpus non erat Verbum; ſed corpus erat Verbi. Iterum idem diuerſitatem ſubſtantiarum docens, his verbis quoſdam obiurgat. Quis orcus eructauit vocem illam, quæ ait, corpus & Verbum Dei eiuſdem eſſe ſubſtantiæ? Si verò non ſunt ejuſdem ſubſtantiæ, alia igitur & alia eſt natura, quemadmodum ſapientiſsimus Cyrillus ad Eulogium ſuum Vicarium Conſtantinopoli verſantem ſcripſit. Si verò alia & alia eſt in Chriſto natura, igitur natura illius non eſt ſola natura Verbi. Si ergo natura Verbi non eſt ſola natura Chriſti, mentitur igitur Timotheus, CHRISTI naturam eſſe ſolam diuinitatem, etiamſi incarnatus ſit.

Non abnuit hæreticus ex Timothei & Seueri ſententia, Incarnationem Chriſti in vna natura ſitam eſſe; ſed addit, hoc ab illis factum, imitatione ſanctorum Patrum, cum beatus Gregorius Theologus aſſerat, corpus ad ſimilem cum Verbo diuino deitatem euectum eſſe; Nyſſenus inſuper exemplum adducat, vt declaret, quomodo ſacratiſsimum Chriſti corpus in diuinitatem conuerſum fuerit, ſic inquiens: *Quemadmodum aceti gutta in mare proiecta non retinet amplius aceti proprietates; ſed tranſmutatur, induitq; proprietates aquæ: Sic & ſanctiſsimum illud corpus cum diuinitate commixtum non habet amplius proprietates carnis.*

Orthodoxus. Cùm iterum nobis ſententiam tuam explices, illam dico, quæ diuinam incarnationem è medio tollit; neceſſe eſt, vt & nos eadem, qua antea defenſione, vtamur.

τοιοῦτον γέγονε τὸ ἅγιον σῶμα, οἷος ὁ θεώσας αὐτὸ θεὸς λόγος. καὶ
οὐκ ἔτι ἐστὶν ἐν τοῖς τῆς ἀνθρωπίνης φύσεως ἰδιώμασι, πρόδηλον
λοιπὸν, ὅτι οὐκέτι ἐστὶ περιγραπτὸν, οὐκέτι ἐστὶ μεταβατικὸν, οὐκέτι ἐστὶν
ἐκπορευτὸν, οὐκέτι ἐστὶ ψηλαφητὸν, οὐκέτι ἐστὶν ὁρατὸν, οὐκέτι σχῆμα
ἀνθρώπου ἔχει Χριστὸς, οὐκέτι μέλη, οὐκέτι χεῖρας, οὐκέτι πό-
δας, οὐκέτι σῶμα, οὐκέτι πλευράν. καὶ πῶς λέγει; ὄψονται, εἰς ὃν
διεκέντησαν. εἰ γὰρ οὐκέτι ἐστὶ τὸ σῶμα Χριστοῦ ἐν οἵῳ δή ποτε ἀνθρω-
πίνῳ ἰδιώματι, ἀλλὰ μεταστοιχειώθη, εἰς τὰ τοῦ πελάγους τῆς θεότητος
ἰδιώματα, πῶς λέγει τοῖς μαθηταῖς μετὰ τὴν τριήμερον αὐτοῦ ἔγερσιν.
καὶ πρὸς ἀφθαρσίαν τοῦ σώματος μεταποίησιν. ψηλαφήσατέ με, καὶ
ἴδετε. ὅτι πνεῦμα σάρκα, καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔ-
χοντα. πῶς οὖν τοὺς τύπους τῶν ἥλων ἐψηλάφησεν ὁ Θωμᾶς; περὶ ὧν,
φησὶν, ὁ αὐτὸς Νυσσαεὺς οὕτως. σκόπησον, ὅσον εἰσέδυ τὸ δόρυ ἐν τῇ
πλευρᾷ. ὥστε καὶ χεῖρα ὅλην μαθητοῦ πρὸς ψηλάφησιν δέξασθαι.
ᾧ συμφωνεῖ, καὶ ὁ θεόσοφος Ἐπιφάνιος λέγων· εἰπὲ Μαρκίων,
πῶς ἡ κλάσις τοῦ ἄρτου γέγονεν; ἐν φαντασίᾳ, ἢ σώματος ἐνεργοῦν-
τος ὀγκηροῦ;

Εἰ δὲ πρὸς ταῦτα διαπορεῖ λέγων ὁ δι' ἐναντίας. ὅτι καὶ πῶς
τινὲς τῶν πατέρων φάσκουσι, ὥσπερ καὶ ὁ Νυσσαεὺς, μηκέτι εἶναι τὴν
σάρκα τοῦ κυρίου ἐν τοῖς ἀνθρωπίναις αὐτῆς ἰδιώμασιν, μανθανέτω ὁ
ἀπαίδευτος. ὅτι οὐ καθ' ὃ αὐτὸς ὑπολαμβάνει, οἱ ἅγιοι πατέρες
τὰς τοιαύτας φωνὰς εἰρήκασιν, ἀλλὰ κατὰ τόνδε τὸν τρόπον. ἐν ἀρχῇ
ποτὲ τότε ἄφθαρτος, καὶ ἀθάνατος ὑπὸ θεοῦ γεγονὼς ὁ ἄνθρωπος
διὰ τῆς ἁμαρτίας γέγονε φθαρτὸς, καὶ θνητὸς, καὶ ὑλικὸς, καὶ ῥυ-
στὸς, καὶ βροτὸς, καὶ πολυπαθὴς, καὶ ἔλλυπος, καὶ ἔγκοπος, καὶ ἔνδα-
κρυς, καὶ ὑπονηλός. σαρκωθεὶς οὖν ὁ θεὸς λόγος, καὶ λαβὼν τὸ ἡμέτε-
ρον φύραμα, ἀνεκάθηρε, καὶ ἠλευθέρωσεν αὐτὸ πάντων τῶν προσ-
γινομένων αὐτῷ διὰ τῆς ἁμαρτίας ἰδιωμάτων, καὶ παθημάτων. ὅτ'
αν οὖν ἀκούσῃς διδασκάλου λέγοντος, μηκέτι εἶναι τὴν σάρκα τοῦ
Χριστοῦ ἐν τοῖς τῆς σαρκὸς ἰδιώμασιν, οὕτω νόησον, ὅτι οὐκέτι ἐστὶν ὁ κατ'
αὐτὸν νοούμενος ἄνθρωπος, ἐν τοῖς διὰ τῆς ἁμαρτίας προσγινομέ-
νοις τῷ ἡμετέρῳ σώματι φθαρτοῖς πράγμασιν, ἀλλὰ μεταστοιχειώθη

διὰ

mur. Si enim ſacrum Chriſti corpus eiuſmodi effectum eſt, cuiuſmodi erat Verbum diuinum, à quo deificationem accepit, ita vt iam humanæ naturæ proprietatibus careat, manifeſtum eſt illud iam non eſſe amplius circumſcriptum, neque de loco ad locum mobile; neque ire aut exire aptum, neque tactile, neque aſpectabile; neque humana figura conſtabit Chriſtus, neque amplius habebit membra, neque manus, neque pedes, neque corpus, neque latus; & quomodo ait Propheta: *Videbunt in quem transfixerunt?* Si enim corpus Chriſti *Zach.12.* nulla omnino amplius proprietate humana præditum eſt; ſed prorſus in attributa immenſæ diuinitatis conceſsit, qua tandem ratione ait diſcipulis poſt reſurrectionem ſuam: corpore iam in incorruptionem tranſmutato. *Palpate me, & videte, Luc.24.* *quia ſpiritus carnem & oſſa non habet, ſicut me videtis habere.* Quomodo fixuras clauorum contrectauit Thomas; de quibus i- *Ioan.20.* dem Nyſſenus iſta. *Conſidera, quantum in latus lancea intrauit, vt & totam diſcipuli manum capere potuerit.* Cui concinit quoque diuinus Epiphanius. *Dic, Marcion, quomodo panis fractio facta eſt, num ſecundum exiſtimationem tantùm; an operante corpore, mole ſua prædito?*

Quod ſi aduerſariorum quiſpiam ad hæc reſpondeat; Etiam ex ſanctorum Patrum numero quoſdam nominatim Nyſſenum affirmare, carnem Domini non amplius ſubiectam eſſe proprietatibus humanis, nouerit imperitus & rudis ſectarius ſanctos Patres nõ eodem ſenſu, quo ipſi ſolent, huiuſmodi loquendi formulas vſurpaſſe. Sed longè diuerſo. Initio enim conditus eſt homo à Deo corruptionis expers, & immortalis: ac per peccatum effectus eſt corruptibilis, mortalis, materiæ cõcretioni ac mutationi, interitui, variisq; cruciatibus, triſtitiæ, laboribus, lacrymis, ſomnoq; obnoxius. Diuinum igitur verbum, caro factũ, aſſumptam maſſam noſtram emundauit & liberauit, ab omnibus incommodis & calamitatibus, quæ ei per peccatum obtigerant. Quando igitur audis Doctorem aſſerentem, Chriſti carnem non cõſtare amplius proprietatibus carnis, ſic accipe: humanam illam naturam à Chriſto aſſumptam, non amplius ſubiacere illis moleſtiis, quę corpori noſtro ex peccato euenerunt: ſed per vnionẽ cum diuinitate,

διὰ τῆς ἑνώσεως τῆς θεότητος, καὶ τῆς τριημέρου ἐγέρσεως τὸ πανάγιον αὐτοῦ σῶμα ἐπὶ τὸ κρεῖττον. καὶ οὐκέτι ἐστὶν ἐν τοῖς προτέροις ἰδιώμασιν. οὐκέτι ἐστὶ θνητὸν, οὐδὲ φθαρτὸν, οὐδὲ ῥευστὸν, οὐδὲ ἔγκοπον, οὔτε ἐνδεές· ἀλλὰ μετεποιήθη ἀπὸ θνητοῦ εἰς ἀθάνατον, ἀπὸ φθαρτοῦ, εἰς ἄφθαρτον, καὶ γέγονε τὸ ὑλικὸν, ἄϋλον, τὸ σαρκικὸν, πνευματικὸν, τὸ παθητὸν, ἀπαθὲς, τὸ ῥευστὸν, ἄρευστον, τὸ ἔμπνουν, ἄπνουν, τὸ ἔνυδρον, ἄνυδρον, τὸ ἐνδεὲς, ἀνενδεὲς, τὸ παχυμερὲς, λεπτομερὲς, τὸ πρόσκαιρον, αἰώνιον. οὐ μέντοι καὶ ἀπερίγραπτον, οὐδὲ ἀσχημάτιστον, οὔτε ἀμετάστατον, οὔτε ἀψηλάφητον, οὔτε ἀόρατον, οὔτε ἄκτιστον, οὔτε ἄναρχον. ταῦτα γὰρ μόνης θεότητός εἰσιν ἰδιώματα.

Οὐκοῦν ὁ εὐσεβὴς, καὶ ὀρθόδοξος τῶν πατέρων λόγος οὐκ οἶδε νῦν τὸ πανάγιον χριστοῦ σῶμα ἐν τοῖς παρεισάκτοις διὰ τῆς παρακοῆς φυσικοῖς ἡμῶν ἰδιώμασιν, ἀλλὰ τοῖς, πρὸ τῆς ἁμαρτίας θεοκτίστοις τοῦ Ἀδὰμ κατ᾽ εἰκόνα θεοῦ καὶ ὁμοίωσιν, πράγμασιν. οὕτως εὐσεβῶς νοητέον, καὶ ἐκληπτέον τὰς τῶν πατέρων φωνάς. ὅσον μὲν γὰρ ἦν δυνατὸν, καὶ δεκτικὸν τὸ πανάγιον σῶμα, μετέβαλεν ἐκ τῆς καθ᾽ ὑπόστασιν αὐτῷ ἡνωμένης τοῦ λόγου θεότητος· ἵνα τὸ μοναδικὸν τοῦ προσώπου χριστοῦ μάθωμεν. τινῶν δὲ, καὶ ἀμέτοχον γέγονεν. ἵνα τὸ διάφορον διδαχθῶμεν τῶν φύσεων. καὶ διὰ τοῦτο εἰ καὶ ἡνώθη τῷ ἀπεριγράπτῳ θεῷ λόγῳ ἡ σὰρξ, οὐ γέγονεν ἀπερίγραπτος, οὔτε ἀΐδιος, εἰ καὶ τῷ ἀϊδίῳ γέγονε σύζυγος, οὔτε μὴν ἀόρατος, εἰ καὶ τὸν ἀόρατον ἔνδον φέρει, οὔτε μὴν ἀσχημάτιστος, εἰ καὶ ἐν ἀσχηματίστῳ τὴν ὕπαρξιν ἔλαβεν, οὔτε ἄκτιστος, εἰ καὶ ἐξ ἀκτίστου εἰς κτίσιν ἦλθεν, καὶ τοῦτον ἐν ἑαυτῇ ἀδιάστατον ἔχει. εἰ δὲ ξηραῖς, καὶ ἀβασανίστοις προσέχεις ταῖς γραφικαῖς, καὶ διδασκαλικαῖς φωναῖς, πολλαῖς, καὶ ὀλεθρίαις ἀτοπίαις περιπίπτεις, καὶ τοῦτο εὐθέως ἐκ τῆς προκειμένης τοῦ πανσόφου Γρηγορίου φωνῆς ἀποδείξω. Ἰδοὺ ὡς σταγόνα ὄξους τὴν ἡμετέραν φύσιν ἔφησεν ἀνακραθεῖσαν τῷ πελάγει τῆς θαλάττης, εὔδηλον, ὅτι ἀόρατος λοιπὸν, καὶ ἀνύπαρκτος, καὶ ἀψηλάφητος γίνεται· Εἰ οὖν τὸ κυριακὸν σῶμα τῇ πρὸς τὸ πέλαγος τῆς θεότητος ἑνώσει ἀόρατον γέγονεν, ἀόρατον δὲ φύσει, καὶ ἀψηλάφητον ὑπάρχει, καὶ τὸ τῆς θεότητος πέλαγος, ἄρα οὖν φαντασία λοιπὸν,

καὶ

& per resurrectionem post triduum factam, sanctissimũ Christi corpus in melius commutatum ac reformatum esse; neq; iã prioribus corporis cõditionibus & affectionibus subdi. Non enim amplius est mortis & corruptionis capax, non mutationis, non laboris ac molestiarum, neq; egestatis, sed transmutatum est ex mortalitate in immortalitatem, ex corruptione in incorruptionem; & materiale, euasit immateriale; carnale, spirituale; patibile, impatibile; fluxile; omnis fluxus expers. fami obnoxium, supra omnem famem. Aqueum, absq; aqua. Egenum, nullius indigum: spissum, tenue & subtile. Temporarium, æternum; non tamen incircumscriptum; non expers figuræ, non immobile, non intactile, non inaspectabile, non increatum, non absque principio. Hæc enim solius diuinitatis proprietates sunt.

Igitur sancti Patres piè & orthodoxè Christi corpus illis proprietatibus carere tradunt, quæ ex peccato exstiterunt, nõ illis, quas initio creationis suæ habuit Adamus à Deo conditus. Sic nimirum sanctorum Patrũ dicta accipi debent. Quantum igitur fieri poterat, & corporis natura ferebat, mutatum est ex hypostatica cum diuinitate vnione, vt vnitatem personę disceremus: In quorundam verò communionem non est admissum, vt diuersitatẽ naturæ inde cognosceremus. Quapropter licet incircumscripto Deo Verbo sit vnita caro, non tamẽ incircumscripta euasit; neq; æterna, quantumuis cum æterno iugata: neque inaspectabilis, etiamsi inaspectabilem, quasi intus circumferat. Neq; figuræ expers, quanquam in figuræ experte subsistentiam acceperit: neq; increata, licet increati beneficio inter creaturas numeretur, huncq; indiuulsè in se contineat. Quod si ad nuda Scripturæ & Doctorum verba attendas, absq; vlla disquisitione & examine, in multas & perniciosas absurditates incidas oportet. Et hoc confestim ex allato sapientissimi Gregorij testimonio planum faciam. Ecce, naturam nostram ait, vt guttã aceti, diuinitatis pelago commixtam esse. At clarum est, omnem guttam in mare iniectam euanescere, & desinere esse, neque amplius sub tactum cadere. Si igitur corpus Domini per vnionem, cũ diuinitatis quasi immenso mari, inaspectabile effectum est; naturâ autem suâ diui-

καὶ δόκησις ἀρθήσεται πᾶσα ἡ ἐπὶ γῆς διαγωγὴ τοῦ Χριστοῦ, ἀπ' αὐτῆς τῆς ἐκ παρθένου γεννήσεως, καὶ καθεξῆς μέχρι τῆς αὐτοῦ εἰς οὐρανοὺς ἀναλήψεως. οὐκοῦν οὐ συγχύσει πραγμάτων, ἀλλὰ παραβολῇ ὑποδειγμάτων ὁ θεῖος Γρηγόριος τῇ προσηγορίᾳ τοῦ ὄξους, καὶ τῆς θαλάττης ἐχρήσατο. τὸ εὐτελὲς τῆς ἡμετέρας φύσεως, πρὸς τὸ ἄπειρον μέγεθος τοῦ ἀκαταλήπτου πελάγους τῆς θεότητος ἐνδεικνύμενος. οὐ γὰρ ἂν σύγκρασιν, καὶ ἀφανισμὸν κηρύττειν ἔμελλε τῶν Χριστοῦ φύσεων, ὁ πρὸς Εὐνόμιον λέγων: ὅτι ποία φύσις Χριστοῦ ἐπὶ τοῦ πάθους ῥαπίζεται; καὶ ποία ἐξ ἀϊδίου δοξάζεται; φανερὰ γὰρ ταῦτα φησὶν ὁ πατήρ. κἂν μή τις ἑρμηνεύσει τῷ λόγῳ· ὅτι αἱ μὲν ὕβρεις τοῦ δούλου εἰσὶν ἐν ᾧ ὁ δεσπότης: ἡ δὲ τιμὴ τοῦ δεσπότου, περὶ ὃν ὁ δοῦλος. ταῦτα ὁ διδάσκαλος λέγων, καὶ δοῦλον ὀνομάσας τὴν σάρκα, ἤγουν τὴν μορφὴν τοῦ δούλου, πῶς λοιπὸν αὐτὴν ἀφανισθεῖσαν, καὶ συγχυθεῖσαν ὡς σταγόνα ὄξους ἐν πελάγει ἠδύνατο λέγειν; ὥστε οὐ πρὸς σύγχυσιν, ἀλλὰ πρὸς ἄκραν ἕνωσιν τὸ ὑπόδειγμα αὐτοῦ ὁρᾷ.

Ὁ αἱρετικὸς πρὸς ταῦτα. οὐκ ἀπαρνούμενοι οἱ πατέρες τὴν τοῦ Χριστοῦ σάρκα, τὰς τοιαύτας εἰρήκασι φωνάς, ἀλλὰ τῇ τοῦ κρείττονος ἐκνικήσει, καὶ θεώσει. ὅθεν, καὶ ὁ ἀποστολικὸς πατὴρ Διονύσιος ὁ Ἀρεοπαγίτης, πάντα τὰ ἀνθρώπινα, καὶ φυσικά, καὶ ἀδιάβλητα ἡμῶν, ὑπὲρ φύσιν, καὶ οὐ κατὰ φύσιν λέγει εἶναι ἐν τῷ Χριστῷ. φησὶ γὰρ ἐν ταῖς θεολογικαῖς αὐτοῦ στοιχειώσεσι, ὡς ἐξ Ἱεροθέου τοῦ ἁγιωτάτου οὕτως περὶ Χριστοῦ. τὸ δὲ πάντων καινὸν, καινότατον. ὅτι ἐν τοῖς φυσικοῖς ἡμῶν, ὑπὲρ φύσιν ἦν. ἐν τοῖς κατ' οὐσίαν, ὑπερούσιος. πάντα τὰ ἡμῶν, ἐξ ἡμῶν ὑπὲρ ἡμᾶς ὑπερέχων. ὅθεν καὶ πρὸς Γάϊον ἐπιστέλλων ὁ αὐτὸς πατὴρ φάσκει· ὅτι οὐ κατὰ ἄνθρωπον ὁ Χριστὸς ἐνήργει τὰ ἀνθρώπινα, καὶ φυσικὰ ἡμῶν πράγματα, ἀλλ' ὑπὲρ ἄνθρωπον, λοιπὸν τὰ ἀνθρώπινα ἔπραττεν.

Ὁ ὀρθόδοξος. Ἐν πάσαις μὲν ταῖς θείαις, καὶ ἱεραῖς γραφαῖς, καὶ ἀναγνώσεσι τῆς θείας εὐλαβείας, καὶ φόβου θεοῦ δέεται ὁ ἄνθρωπος, πολλῷ πλέον δὲ ἐν τοῖς περὶ θεοῦ ῥήμασί τε, καὶ κηρύγμασιν. Ἀλλ' οἱ αἱρετικῶν παῖδες ἐοίκασιν μονοφθάλμοις τισὶν ἀνθρώποις.

diuinitatis pelagus, nec ſub aſpectum, nec ſub tactum venit; omnis igitur Chriſti in terris conuerſatio & actio nihil aliud fuerit, quàm phantaſia quædam, & inanis perſuaſio. ab ortu ex Virginis vtero, & deinceps vſque ad Aſcenſionem in cœlos. Diuinus ergo Gregorius mentionem fecit pelagi, & aceti, nō vt res ipſas confunderet; ſed vt exemplo aliquo tenuitatem & paruitatem naturæ noſtræ cum infinito & incomprehenſo illo diuinitatis pelago comparatæ demōſtraret. Neq; enim credibile eſt, eum confuſionem & abolitionem naturarum in Chriſto introducere voluiſſe, qui hæc aduerſus Eunomium ſcribit. *Quæ nam Chriſti natura in paſſione colaphis cæditur? Et quæ ab æterno glorificatur?* Planum porrò eſt, quid ſibi voluerit iſte Pater, licet nulla accedat interpretatio; nempe iniurias illas redundaſſe in ſeruum, in quo Dominus habitabat, gloriam verò & honorem in Dominū, quem ſeruus circumdabat. Cùm hæc Doctor aſſerat, carnemque ſeruum, aut formam ſerui appellarit, qua tandem ratione dicere potuit, carnem euanuiſſe & commixtam fuiſſe inſtar guttæ in vaſto pelago? Itaq; non ad confuſionem, ſed ad ſummam vnionem declarandam exemplum eius ſpectat.

Hæreticus. Sancti Patres huiuſmodi vocibus vſi ſunt, nō vt carnem Chriſti negarent; ſed vt oſtenderent id, quod excellētius eſt præualuiſſe; alterumq;, quod minus eſt præſtās, deitate ſua donaſſe. Vnde etiā Apoſtolicus Pater Dionyſius Areopagita ait: omnia humana; quæ ex natura profluunt, neq; digna quæ repudientur, eſſe in Chriſto ſupra naturam, non ſecundū naturā. Nam in Theologicis ſuis initiamentis, quaſi ex ſanctiſſimi Hierothei perſona ita de Chriſto ſcribit: *Omnium mirabilium mirificiſſimum eſt; eum in his, quæ nobis ſunt naturalia, ſupra naturā fuiſſe; & in his, quæ ſunt ſecundum ſubſtantiā ſupra ſubſtantiā, ita vt in omnibus noſtris, & quæ ex noſtris acceperat, ſupra nos excelleret.* Quare idē Pater in epiſt. ad Gaiū ait; *Chriſtū non ſecundū hominē actiones humanas & naturales exercuiſſe; ſed ſupra hominē omnia humana egiſſe.*

Orthodoxus. In omnibus quidem diuinæ Scripturæ locis indiget homo reuerentia & timore Dei, maxime verò, vbi ſermo eſt de Deo. Et hæretici quidem ſimiles ſunt monoculis; quædam enim Patrum dicta intelligunt; alia verò prætere-

θρώποις, τὰ μὲν τῶν πατέρων καθορῶντες, τὰ δὲ παρορῶντες. ὁ γὰρ πατὴρ οὕτως εἰπών. ὅτι πάντα τὰ καθ' ἡμᾶς ὑπὲρ ἡμᾶς εἶχεν ὁ χριστός. ὁ αὐτὸς πάλιν εἴρηκεν, ἐν τῷ περὶ ἑνώσεως, καὶ διακρίσεως κεφαλαίῳ. ὅτι ἐκ παρθενικῶν αἱμάτων ἐσαρκώθη. ὅπερ παχύ τι ῥῆμα, καὶ τοῖς ἰδιώταις βαρὺ καταφαίνεται. ὡς μὴ ῥηθὲν ὑφ' ἑτέρου τινὸς τῶν διδασκάλων. οὐκοῦν ἐχρῆν πάντα τὰ τοῦ πατρὸς ῥήματα, εὐσεβῶς ἐκλαμβάνειν. εἰ γὰρ οὐδὲν τῶν καθ' ἡμᾶς φυσικῶν εἶχεν καθ' ὁμοιότητα ἡμῶν ὁ χριστὸς, ἀλλὰ πάντα ὑπὲρ ἡμᾶς, ψεύδεται Παῦλος λέγων, αὐτὸν γενόμενον ἄνθρωπον ἐκ σπέρματος Δαυὶδ, τὸ κατὰ σάρκα ἀσπόρως. καὶ πρὸς τὰ παιδία κεκοινωνηκέναι σαρκὸς, καὶ αἵματος, καὶ πεπειραμένον κατὰ πάντα τρόπον καθ' ἡμᾶς, δίχα μόνης τῆς ἁμαρτίας.

Σχόλιον. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς, καὶ αἵματος, δοκεῖ μοι, ἔνθεν ἔλαβεν ὁ Διονύσιος τὴν φωνὴν, ὡς Παύλου γενόμενος μαθητής.

Εἰ οὖν ἐν ὁμοιώματι ἀνθρώπων γέγονεν ἄνθρωπος καθ' ἡμᾶς ὤν. εἴγε πεπείραται τῶν ἡμετέρων δίχα μόνης τῆς ἁμαρτίας. ὡς Παῦλος νομοθετεῖ. εἰ δὲ ἐν πᾶσι τοῖς ἀνθρωπίνοις, οὐ κατὰ ἄνθρωπον, ἀλλ' ὑπὲρ ἄνθρωπον ἦν, πῶς δυνατὸν λοιπὸν λέγειν, αὐτὸν ὁμοούσιον ἡμῶν εἶναι κατὰ τὴν ἀνθρωπότητα; ὁμοουσιότης γὰρ κυρίως ἐστὶν ἡ τῶν φυσικῶν ἰδιωμάτων τοῦ ὁμοφυοῦς ἀπαράλλακτος ταυτότης. οὐκοῦν οὐκ ἀπαρνούμενος ὁ Διονύσιος τὸ τοῦ σώματος τοῦ χριστοῦ πρὸς ἡμᾶς ὁμοούσιον, καθάπερ οἱ αἱρετικοὶ νομίζετε, εἴρηκε, τὸ ἐν πᾶσι τοῖς φυσικοῖς ἡμῶν, ὑπὲρ φύσιν αὐτὸν εἶναι, καὶ οὐ κατὰ ἄνθρωπον ἐνεργεῖν τὰ ἀνθρώπινα, ἀλλὰ διότι οὐκ ἀπὸ σπορᾶς, ἀλλ' ἐκ τοῦ θεοῦ λόγου, καὶ σὺν τῷ θεῷ λόγῳ καθ' ὑπόστασιν ἐν τῇ μήτρᾳ ὑπέστη τὸ ἀνθρώπινον ἡμῶν τῆς ψυχῆς, καὶ τοῦ σώματος τέλειον φύραμα. καὶ λοιπὸν σὺν θεῷ ὑποστὰν, καὶ ἔνθεον, καὶ σύνθεον γεγονὸς, οὐ ψιλάνθρωπα εἶχε τὰ ἀνθρώπινα, ἀλλὰ θεάνθρωπα. θεανδρικῶς μὲν, καὶ ἀδιαστάτως τυγχάνοντα ἐν τῷ μοναδικῷ προσώπῳ χριστοῦ. ὅμως φυλάττοντα ἀσύγχυτον ἑκατέρων τὴν οἰκείαν ἰδιότητα, καὶ δηλοῦντα σαφῶς, ὅτι τὰ μὲν τῶν φυσικῶν, καὶ ἀδιαβλήτων ἡμῶν

πραγ-

unt. Nam Pater iste,qui dixerat, Christum omnia nostra supra nos habuisse: in capite de vnione & discretione etiam asseruerat: Christum ex Virginis sanguine incarnatū esse:quod rudibus ac indoctis admodum crassè dictum videtur, quasi apud alios Patres prorsus inauditum. Par igitur erat, vt omnia huius Patris verba reuerenter recitarentur. Si enim Christus prorsus nihil naturalium secundū nos similitudine quadam habuit, sed omnia supra nos, mentitur ergo Paulus,cùm ait factum ex semine Dauid secundum carnem absque semine, & *cum pueris communicasse carni & sanguini*, & *tentatum per omnia pro similitudine absq; peccato.* *Rom.1.* *Heb.2.& 3.*

Scholium. Cùm igitur pueri communicauerint carni & sanguini,videre mihi videor,vndénam Dionysius Pauli discipulus hanc loquendi formulam acceperit.

Si ergo Christus factus est homo in similitudinem hominum secundum nos, sequitur non omnia, quæ in nobis sunt supra nos in ipso fuisse. Et si omnia nostra expertus est, excepto solo peccato,vt Paulus affirmat; sique,quoad humana,nō secundum hominem,sed supra hominem erat; quo pacto asserit, eum eiusdem esse nobiscum substātiæ quod ad humanitatem attinet? Nam esse eiusdem substantiæ nihil aliud est, quàm in iisdem naturalibus proprietatibus inuariabilis conuenientia. Ergo minimè negare voluit Dionysius corpus Christi eiusdem nobiscum esse substantiæ, vt arbitrantur hæretici,quando dixit; *Omnia,quæ naturâ nobis insunt, esse in Christo supra naturam;& Christum secundum hominem humana non agere:* sed hoc ideo affirmauit, quia corpus illud non erât ex semine,sed ex diuino Verbo,cumque Verbo diuino hypostaticè, etiam in vtero matris,humana nostra animæ & corporis massa subsistebat,& quidem perfecta; & de cætero cum Deo subsistens diuinum quiddam per diuinitatis participationē euasit. Quo fit, vt humana non habuerit nudè, hominum instar; sed Dei simul & hominum more, *theandricè* quidem, hoc est, diuino simul ac humano modo, & indiuulsè in vna singulari Christi persona subsistentia; at nihilominus vtriusque naturæ proprietatem inconfusam conseruantia; quæ manifesto indicio

πραγμάτων ὁ χριστὸς ἐν τῇ οἰκείᾳ σαρκώσει πεποίηκεν ὑπὲρ ἄνθρωπον, τὰ δὲ κατ' ἄνθρωπον, καὶ κατὰ τὸν νόμον τὸν κοινὸν τῆς ἡμῶν φύσεως. τινὰ δὲ πάλιν, καὶ ταπεινοτέρως τῶν ἡμετέρων πραγμάτων, ἐν τῇ οἰκείᾳ σαρκὶ διεπράξατο. ἵνα τὰ τῶν αἱρετικῶν ἐμφράξῃ στόματα. τὸ γάρ, ὀφθῆναι τὸ εἶδος χριστοῦ ἐν τῷ σταυρῷ ἄτιμον, καὶ ἐκλεῖπον ὑπὲρ πάντας τοὺς ἀνθρώπους ὥς φησιν ὁ Ἡσαΐας. καὶ πάλιν, τὸ, ὀφθῆναι ἄγγελον ἐνισχύοντα αὐτόν. καὶ τὸ παρὰ τῶν λῃστῶν πλουτῆσαι αὐτὸν ἐκ τῆς ἐδωδῆς τῶν ἥλων ἑκουσίως. καὶ, τὸ, μώλωπας, καὶ τύπους τραυμάτων δεῖξαι ἐν ἀφθάρτῳ σώματι, καὶ τὸ, ἐν εὐτελεστάτῃ μορφῇ κηπωροῦ ὁραθῆναι φύσιν ἀθανάτου, καὶ πνευματικοῦ σώματος. καὶ τὸ, ἐπὶ τεσσαράκοντα ἡμέρας συναυλίζεσθαι, καὶ ἐσθίειν, καὶ πίνειν, καὶ συνδιαιτᾶσθαι βροτοῖς, καὶ φθαρτοῖς ἀνθρώποις, τὴν ἄχραντον ἐκείνην, καὶ ἔνθεον, καὶ ἀνενδεῆ, καὶ ἄϋλον, καὶ ἀθάνατον τοῦ δεσποτικοῦ σώματος, μετὰ τὴν ἀνάστασιν, φύσιν. ὄντως πάνυ πτωχείας τινός, καὶ συγκαταβάσεως, καὶ εὐτελείας, καὶ ταπεινώσεως μὴ ἁρμοζούσης τῇ ἀθανάτῳ φύσει, τοῦ παναγίου ἐκείνου σώματος χριστοῦ τυγχάνει. ταῦτα γὰρ ἅπαντα οὐκ εἰσὶν ὑπὲρ ἄνθρωπον, ἀλλὰ καὶ μᾶλλον πτωχότερα τῆς καθ' ἡμᾶς φύσεως· οὐδεὶς γὰρ ἀνθρώπων ἐκ νεκρῶν ἐν τῇ ἀναστάσει ἐγειρόμενος, τοῦ λοιποῦ ἐσθίει, καὶ πίνει βρῶσιν ἰχθύων ὀπτῶν, ἢ ἀπὸ μελισσίου κηρίον. οὐδεὶς δίκαιος, οὔτε δὲ ἁμαρτωλὸς ἀνίσταται ἔχων ἐν τῷ σώματι μώλωπας, καὶ ἥλους, καὶ τραυμάτων τύπους· οὐδεὶς δίκαιος ἐν εὐτελεστάτῃ μορφῇ κηπωροῦ ἐκ νεκρῶν ἀνίστανται, εἴγε ὅτι οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος.

Εἰ δὲ λέγει μοι ὁ αἱρετικός, ὅτι οἰκονομικῶς ταῦτα χριστὸς πεποίηκε πρὸς πίστωσιν τῶν μαθητῶν, καὶ εἰς νόμον οὐκ ἀναφέρονται, κἀγώ σοι εὐθέως ἐρῶ. ὅτι οἰκονομικῶς κατῆλθε, καὶ ἐσαρκώθη, καὶ λοιπὸν μὴ λεγέσθω ἀληθὴς ἡ οἰκονομικὴ αὐτοῦ ἐνανθρώπησις. εὕρεμα γάρ ἐστι τοῦτο πρῶτον τοῦ Μάνεντος. τὸ γὰρ οἰκονομικῶς, ἀντὶ τοῦ φαντασιωδῶς ἐφεῦρεν ὁ Μάνης.

Δειξάτων τοίνυν ἡμῖν, ὅτι τινὰ ὁ χριστός, καὶ εὐτελεστέρως τῶν

sunt; Christum in sua incarnatione, nonnulla ex iis, quæ natura nobis insunt, nec detrectari aut repudiari queunt, egisse supra hominem; quædam verò secundum hominem & ex naturæ nostræ communi præscripto: quædam verò nostrarum rerum abiectius & contemptius peregit, vt hæreticorum ora obturaret. Nam quod in cruce species eius inhonora est visa, & *deficiens super filios hominum*, vt Isaias ait: quodque Angelus ipsum confortans apparuit; & præ dolore crucifixionis spontè ante latrones animam efflauit, vibicesque & signa vulnerum in immortali quoque corpore monstrauit: & in vili hortulani figura sese ostendit, cùm iam immortali & spiritali corpore præditus esset; quodque quadraginta dies cum mortalibus versari, manducare, & bibere voluit, post resurrectionem natura illa Dominici corporis diuina, nullius indiga, spiritualis & immortalis, id reuera egestatis cuiusdam & demissionis, & vilitatis, & humilitatis sanctissimo illi corpori nequaquam conuenientis argumentum est: Hæc enim omnia non erant supra hominem, sed potius indigentiæ, cui natura nostra subiacet, indicia. Nullus enim hominum in resurrectione à mortuis excitatus amplius comedit, ac bibit, aut esu piscium assatorum, aut faui mellis opus habet. Nullus neque ex iustorum, neque ex iniustorum numero resurgit vibicibus, cicatricibus & signis vulnerum in corpore adhuc insignitus. Nullus iustorum in simplicissima hortulani specie resurgit; quia tunc iusti fulgebunt sicut sol.

Isaia 53. *Luc. 22.* *Luc. 23.* *Ioan. 20.* *Ibid.* *Act. 1.* *Matth. 13.*

Si obiiciat hæreticus, Christum hæc omnia fecisse per dispensationem vt discipulos in fide corroboraret, neque pro lege haberi debere; ego confestim occurram; Christum etiam per dispensationem de cœlo descendisse, & incarnatum esse; non ergo amplius censeatur vera eius, quæ per dispensationē contigit, incarnatio. Hoc enim commentum primus excogitauit Manes. Nam vocabulum *œconomicè*, seu per dispensationem loco eius, quod est *phantasticè*, perque meram solamque imaginationem & fictionem, inuenit Manes.

Cùm itaque iam demonstratum sit, Christum licet verus

τῶν καθ' ἡμᾶς ἑκουσίως διεπράξατο, καίπερ θεὸς ἀληθὴς ὑπάρχων, ἀναγκαῖον λοιπὸν εἰπεῖν, καὶ ἅπερ καθ' ὁμοιότητα ἡμῶν, κατὰ τὸν νόμον τῆς φύσεως πεποίηκε. καὶ πάλιν, ἅπερ ὑπὲρ ἄνθρωπον, καὶ ὑπὲρ φύσιν, ἐν τοῖς φυσικοῖς ἡμῶν, ὡς θεὸς, καὶ ποιητὴς τῆς φύσεως ἐξειργάσατο, καινοτομήσας τοὺς ὅρους, καὶ τοὺς νόμους, καὶ τὴν τάξιν τῆς ἀνθρωπίνης ἡμῶν φύσεως, καὶ ὑπάρξεως. τὸ μὲν οὖν ἄνευ ὕλης, καὶ σπορᾶς ὑποστῆσαι ἄνθρωπον ἐν τῇ μήτρᾳ τῆς παναγίας Παρθένου, τοῦτο ὑπὲρ ἡμᾶς, καὶ θεῖα, ὡς ἀληθῶς θεοῦ ἐνέργεια. τὸ δὲ κατὰ πρόσβασιν ἐνναμηνιαῖον αὔξειν, καὶ ἐξογκοῦσθαι τὸ βρέφος, καὶ τὴν κοιλίαν τῆς θεοτόκου Μαρίας, τοῦτο καθ' ἡμᾶς, καὶ τῆς ἡμετέρας φύσεως φυσικῆς, καὶ κοινὴ κοιήσεως γαστρὸς, καὶ σώματος αὐξητικὴ ἐνέργεια. πάλιν τε τὸ φυλάξαι σώας τὰς σφραγίδας τῆς παρθενίας μετὰ τόκον, τοῦτο θεότητος ἔργον ὑπὲρ ἡμᾶς. τὸ δὲ, προελθεῖν, καὶ χωρισθῆναι τῆς μήτρας, τοῦτο καθ' ὁμοιότητα ἡμῶν πεποίηκεν ὁ Χριστὸς, βρέφος ἀληθῶς γενόμενος, καὶ τεχθεὶς, καὶ θεὸς σεσαρκωμένος. διὸ εὐθέως ἔδειξεν ὡς θεὸς παρθενικοὺς μαζοὺς ὑπὲρ φύσιν γαλακτορρόουντας, προσέδραμε τῶν μαζῶν νηπιοπρεπῶς κλαυθμυριζόμενος κατὰ τὸν νόμον τῆς νηπιαζούσης ἡμῶν φύσεως, καθ' ὁμοιότητα ἡμῶν ἀπαράλλακτον τὴν περιτομὴν, καὶ ἐκβολὴν ἐποιήσατο τῆς σαρκός.

Εἰ γὰρ λέγετε, ἀληθεύειν Παῦλον, τὸν φάσκοντα περὶ Χριστοῦ. ὅτι πεπείραται πάντων τῶν ἡμετέρων κατὰ πάντα τρόπον, δίχα μόνης τῆς ἁμαρτίας. πάντως, ὅτι διὰ πάντων τῶν ἡμετέρων ἦλθεν, ἵνα πάντα θεώσῃ, καὶ ἁγιάσῃ ὡς θεὸς τῇ ἑνώσει. ἐκοῦν θεὸς σεσαρκωμένος ὢν, ἐξ αὐτῆς ἄκρας ἑνώσεως ὁ Χριστὸς, ἐταπείνωσεν ἑαυτὸν ἑκουσίως, καὶ διὰ πάντων τῶν ταπεινῶν, καὶ πτωχῶν ἰδιωμάτων τῆς μορφῆς ἐμοῦ τοῦ δούλου ἐν κόσμῳ ἐφανερώθη, μὴ ἐκπεσὼν τοῦ εἶναι θεός. ἑκουσίως καθ' ὁμοιότητα ἡμῶν πεποίηκε τὸν ἐνναμηνιαῖον χρόνον ἐν μήτρᾳ. καθ' ὁμοιότητα ἀνθρώπων σμικροπρεπὲς νήπιον ἐτέχθη. καθ' ὁμοιότητα ἡμῶν τὴν ὄρεξιν τοῦ μητρικοῦ γάλακτος, καὶ τὸν μαζὸν ἐπεζήτησεν ἑκουσίως, ἐν ὁμοιώματι ἀνθρώπων, ὡς νήπιος, μετὰ χρόνον τοῦ τόκου τὰ νηπιώδη ψελλίσματα προεβάλετο

ἐκ

Deus esset, quasdam actiones, etiam viliores, quàm pro naturæ nostræ conditione, obiisse; necesse est, vt iam dicamus, quænam egerit, etiam secundũ similitudinem nostram, & ex præscripto naturæ nostræ: quæq; supra hominẽ, & supra naturam, tanquam Deus & conditor naturæ operatus fuerit, fines & leges, & ordinem humanæ naturæ nostræ, & subsistentiæ transgressus. Igitur quod absq; * materia & semine in vtero sacratissimæ Virginis homo factus est; id supra nos est; & soli virtuti diuinæ adscribendum. At quod nouem mensium incremẽto infans est adauctus, Virginisq; vterus intumuit, hoc nobis & nostræ naturæ consentaneum est; quia nimirum operatio naturalis est & communis tam vterum, quàm partum augere solita. Rursus incorruptum seruare post partum virginitatis signaculum, id diuinitatis opus est, longè vires nostras excedens. At verò ex vtero egredi, & ab illo seiungi, id ad similitudinem nostram Christus fecit, verè infans factus, & natus, & vt Deus carnem indutus. Quapropter statim Virginea vbera supra naturam lacte compleuit. Accurrit ad vbera, infantium instar, vagiens secundum legem infantilis naturę nostræ: secundum similitudinem nostram inuiolabilem carnis circumcisionem & abiectionem passus est.

** Extrinsecus à principio actiuo subministrata.*

Si enim existimatis, Paulum verè de Christo affirmasse eum nostra omnia omnimodo expertum esse, excepto peccato; planè oportet, vt per omnia nostra quasi transierit: vt omnia, tanquam Deus, qer vnionem diuinitate donaret ac sanctificaret. Itaque cum ex summa illa vnione Christus Deus incarnatus esset, sponte sua seipsum humiliauit; seque mundo patefecit per omnia illa humilitatis & abiectionis argumenta, quæ serui formæ competunt, sic tamen, vt à gloria Dei nequaquam excideret. Sponte ad similitudinem nostram nouem mensium moram in vtero traxit. Ad similitudinem hominum paruulus infans in lucem editus est. Ad similitudinem nostram lac maternum appetiit, & sponte vbera quæsiuit. Ad similitudinem hominum post partum velut infans modo infantili, tenello ore balbutiuit. Ad similitudinem nostram paulatim humi reptare & manuduci desinens,

ἐκ τοῦ στόματος. καθ' ὁμοιότητα ἡμῶν κατὰ βραχὺ μετὰ τὸν, νηπιώδη συρτικὸν ἐπὶ τοῦ ἐδάφους περίπατον χειροκρατούμενος, τὸ περιπατεῖν, καὶ καλεῖν, ὑπὸ τῆς μητρὸς ἐδιδάσκετο. καθ' ἡμᾶς τὴν τῶν τριχῶν, καὶ ὀνύχων ἔκφυσιν κατὰ μικρὸν περιεβάλετο. καθ' ἡμᾶς τὴν αὔξησιν, καὶ τὴν περιγραφὴν, καὶ τὴν παχύτητα τοῦ σώματος εἶχεν. οὐχ ὑπὲρ ἡμᾶς τὴν αὔξησιν τῆς ἡλικίας ἐποιήσατο, οὐδὲ τἄλλα τὰ τοῦ σώματος. ἵνα μὴ φαντασία, καὶ δόκησις νομισθῇ αὐτοῦ ἡ σάρκωσις. οὐ ξένην, οὐδὲ ὑπὲρ ἄνθρωπον εἶχεν τὴν τοῦ σώματος διάπλασιν. οὐχ ὑπὲρ ἄνθρωπον εἶχεν τὸ τῶν μελῶν σχῆμα. μορφὴν γὰρ δούλου ὁ δεσπότης περιέκειτο. οὐκοῦν καὶ σῶμα δούλου, καὶ παχύτητα δούλου, καὶ σχῆμα δούλου, καὶ τὸ παχυμερὲς τοῦ δούλου, καὶ τὸ θνητὸν τοῦ δούλου, καὶ τὰς ἐκκρίσεις τοῦ δούλου, τὰς δι' ὀφθαλμῶν, καὶ διὰ στόματος, καὶ ῥινῶν, καὶ ἱδρώτων, καὶ τῶν δύο τῶν καθ' ἡμᾶς μελῶν, τῶν βρώσεων, καὶ πόσεων ἐκκριτικῶν. οὐ γὰρ τὸ ὑγιὲς, καὶ ἄφθαρτον σῶμα ἐνεδύσατο, τὸ πρὸ τῆς ἐκπτώσεως τοῦ ἀνθρώπου. τὸ γὰρ ὑγιὲς, καὶ ἄφθαρτον, καὶ ἀθάνατον ἰατρείας οὐκ ἔχρῃζεν. οὐκοῦν τὸ νοσῆσαν, καὶ παρατραπέν μου σαρκίον ὁ θεὸς λόγος ἔλαβε, τὸ φθαρτὸν, τὸ ῥευστὸν, τὸ παχυμερὲς, τὸ ἐνδεὲς, τὸ θνητὸν, τὸ παθητὸν, τὸ ἐμπόνον, τὸ ἔνδιψον, τὸ ἔγκοπον, ὅπως τούτων πάντων αὐτὸ ἐλευθερώσῃ.

Λοιπὸν μή μοι κακῶς παρερμήνευε τὰς τῶν πατέρων, καὶ τὰς Διονυσίου φωνάς. Εἰ γὰρ, ὡς σὺ, ὁ αἱρετικὸς νομίζεις, οὐδὲν τῶν ἀνθρωπίνων πραγμάτων τῶν φυσικῶν λέγω καθ' ἡμᾶς εἶχεν, ἢ ἐνήργησεν ὁ χριστὸς, πρόδηλον λοιπὸν, ὅτι οὐδὲ ὁμοούσιος ἡμῶν ἦν κατὰ τὴν σάρκα, οὐδὲ ὁμόσχημον ἀνθρώπων ἦν αὐτοῦ τὸ σῶμα. οὐδὲ κατὰ ἄνθρωπον τὰ μέλη· οὔτε καθ' ἡμᾶς ἡ νηπιότης, οὔτε ἡ αὔξησις, οὐδὲ ὁ τῆς γαστρὸς τῆς μητρὸς ὄγκος, οὔτε ὁ χρόνος, οὔτε ἐν ἀληθείᾳ ἔφυγεν, οὔτε νηπιοπρεπῶς ηὔξησεν, οὐδ' ἄλλο τι τῶν θεοκτίστων, καὶ ἀδιαβλήτων ἡμῶν κατὰ φύσιν ἐνήργησεν, οὔτε ἔσχεν, οὔτε ἔπραξε· λοιπὸν, οὔτε ὁ ὕπνος αὐτοῦ ἀληθής ἐστιν ὕπνος. οὔτε ὁ θάνατος ἀληθὴς θάνατος. οὔτε ἡ κέντησις, ἀληθὴς κέντησις. οὔτε ὁ χωρισμὸς τῆς ψυχῆς αὐτοῦ ἐκ τοῦ ἀχράντου σώματος ἀληθὴς χωρισμός. οὔτε ἡ τρῆ-

per ſe incedere,& loqui edocebatur à matre. More nobis vſitato capilli, & vngues procreuerunt. More nobis conſueto corpus eius incrementum cepit, circumſcriptionemque & craſsitiem habuit: neque ſupra morem noſtrum ætate,& mole augeſcere voluit; ne Incarnatio eius ſola phantaſia, & inanis fictio exiſtimaretur. Neq; corpus illius peregrino modo, aut inſolito formatum eſt; neque ſupra hominem membrorum figuram habebat. Nam formam ſerui induit Dominus; igitur & corpus ſerui; & denſitatem ſerui; carunculamque corruptibilem ſerui,& ſpeciem ſerui, ſpiſſasq; partes ſerui, & mortalitatem ſerui,& excretiones ſerui per oculos,per os,per nares,per ſudorem. Perque duo illa membra,quibus cibus & potus egeruntur. Neq; enim nulli moleſtiæ obnoxium,aut corruptionis neſcium corpus induit,quale erat hominis ante lapſum. Nam id quod moleſtiæ nulli ſubiacebat,interitus & mortis expers,nulla medicina egebat. Igitur ægram & malè habitam acceptamque carnem meam aſſumpſit Verbum, corruptibilem videlicet, fluxilem, denſam, indigam, mortalem,paſsibilem, fami, ſiti & laboribus expoſitam;vt ab *his omnibus illam liberaret.*

Quocirca deſine prauis interpretationibus Patrum, & Dionyſij dicta peruertere. Nam ſi, vt tu Hæretice credis,nihil eorum, quæ nobis à natura inſunt, habuit aut egit Chriſtus,manifeſtum relinquitur, eum diuerſæ à nobis ſecundum carnem ſubſtantiæ fuiſſe: neque corpus eius fuiſſe eiuſdem figuræ cum corporibus aliis; neque membra ſimilia membris hominum; neque infantiam, neque incrementum & profectum; neque virginei vteri tumorem, neque tempus; quin neque verè fugit;neque infantium inſtar creuit; neque aliorum quidpiam quæ in natura noſtra à Deo effecta ſunt, & repudiari non poſſunt, aut egit, aut habuit. Quo fit, vt neque ſomnus eius fuerit verus ſomnus: neque mors vera mors; neque vulneratio eius vera vulneratio; neque ſeparatio animæ ex illibato corpore,vera ſeparatio. neq; cum membra eius diſcreta & dilacerata ſunt; latuſque apertum, verè diſſecta ac dilacerata ſunt, vereque latus apertum. Si enim

σις τῶν μελῶν, καὶ τῆς πλευρᾶς τομή, ἀληθής ἐστι σώματος πληγὴ, καὶ τομή. Εἰ γὰρ πάντα, τὰ καθ' ἡμᾶς, ὑπὲρ ἡμᾶς ἔπαθε, καὶ ἔπραττε, μηδὲν λοιπὸν ἔξω αὐτοῦ κατὰ νόμον τῆς φύσεως ὅλως εἴπῃς μήτε σῶμα, μήτε σχῆμα, μήτε μέλος, μήτε ὕπνον, μήτε μορφὴν, μήτε ἀριθμὸν ἐτῶν, μήτε ζωὴν, μήτε κίνησιν, μήτε περιγραφὴν σώματος, μήτε θάνατον. ἀλλ' οὐχ οὕτως αἱ θεῖαι γραφαὶ, καὶ ὁ Παῦλος νομοθετεῖ. Ἄκουσον γὰρ αὐτοῦ ἐν πάσαις ταῖς θεοφθόγγοις αὐτοῦ ἐπιστολαῖς, καὶ εὑρήσεις, ὅτι τὸν μὲν ἡμέτερον θάνατον κοίμησιν ὀνομάζει, τὸν δὲ τοῦ χριστοῦ θάνατον, οὐ κοίμησιν, ἀλλὰ θάνατον κυρίως προσαγορεύει. περὶ μὲν γὰρ ἡμῶν φησὶν, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων. καὶ ὅτι πάντες μὲν οὐ κοιμηθησόμεθα, καὶ οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. καὶ ἄλλα μυρία τοιαῦτα. περὶ δὲ χριστοῦ, ὅτι ἀπέθανε κατὰ τὰς γραφὰς, καὶ ὅτι τὸν θάνατον αὐτοῦ καταγγέλλομεν, καὶ ὅτι θανατωθεὶς μὲν σαρκὶ, καὶ ἁπλῶς ἐν διαφόροις τόποις τὸν ἡμέτερον κοίμησιν λέγει· ἵνα σημαίνῃ τὴν ἐξ ὕπνου ἡμῶν πάντων ἀνάστασιν. τὸν δὲ τοῦ χριστοῦ θάνατον ὀνομάζει· ἵνα τοὺς αἱρετικοὺς καταισχύνῃ, τοὺς ἐν φαντασίᾳ λέγοντας γενέσθαι τὴν σάρκωσιν, καὶ τὰ λοιπὰ ἀνθρώπινα τοῦ χριστοῦ. τοῦτο δὲ οὐ Παῦλος ἐλάλησεν, ἀλλ' ὁ χριστὸς ὁ ἐν αὐτῷ οἰκῶν, αὐτὸς τὸν θάνατον τὸν ἴδιον ὠνόμασεν. ὁ καὶ μετὰ θάνατον, καὶ μετὰ τὴν ἀνάστασιν πιστωσάμενος ἡμῖν τὸν λόγον τῆς σαρκώσεως, διὰ τῆς βρώσεως, καὶ τῶν τύπων τῶν ἥλων, ὡς προείρηται. εἰ οὖν οὐ μόνον καθ' ἡμᾶς, τὰ καθ' ἡμᾶς, ἀλλ' ἔστιν ὅτε πτωχοτέρως τῶν καθ' ἡμᾶς δείκνυσιν ὁ χριστὸς ἐν ἑαυτῷ τὰ καθ' ἡμᾶς ἑκουσίως, καὶ οἰκονομικῶς, πῶς δύνασαι τὸν εἰπεῖν, ὅτι οὐδὲν ὅλως τῶν ἀνθρωπίνων ἐνήργησεν κατὰ τὴν φύσιν ἐπὶ γῆς, καὶ εἰ δεῖ περὶ τούτου ἀκριβέστερον εἰπεῖν, ἐροῦμεν καὶ ἡμεῖς τῷ θεοσόφῳ Κυρίλλῳ ἑπόμενοι. ἐκεῖνος γὰρ φησὶν, ὅτι αἱ μὲν τοῦ σωτῆρος φωνῶν εἰσὶ θεοπρεπεῖς. αἱ δὲ ἀνθρωποπρεπεῖς. ἄλλαι δὲ πάλιν μέσην τινὰ ἔχουσαι τάξιν. οὐκοῦν εἰ λαλεῖ ὁ χριστὸς θεϊκῶς, λαλεῖ δὲ καὶ ἀνθρωπικῶς, φθέγγεται δὲ πάλιν, καὶ ὁμαδικῶς, τοῦτ' ἔστι θεανδρικῶς. πάντως λοιπὸν ὅτι καὶ πάντα τὰ κατ' αὐτὸν πράγματά τε, καὶ ἐνεργήματα, τὰ μὲν ἐποίει κατὰ τὴν θεότητα· τὰ δὲ, κατὰ τὴν ἀνθρω-

πότητα.

omnia noſtra ſuſtinuit ac egit ſupra nos, nihil igitur penitus in illo ſecundum naturæ præſcriptum inerat: non corpus, non figura, non membrum, non ſomnus, non forma, non annorum numerus, non vita, non motio, non circumſcriptio corporis, non mors. At non ita ſacræ litteræ. Non ita Paulus docet. Nam in omnibus epiſtolis eius inuenies, eum, noſtram quidem mortem nominare dormitionem, mortem verò Chriſti non dormitionem, ſed propriè mortem. Nam de nobis ſic loquitur. *Nolumus vos ignorare fratres de dormientibus.* 1. Theſſal. 4.
Et: *non omnes dormiemus:* Et; *non præueniemus eos, qui dormierunt;* 1. Cor. 15.
Et huius generis complura. At de Chriſto ait: *mortuus eſt ſe-* 1. Theſſal. 4.
cundum ſcripturas. Et; *mortem eius annunciamus.* Et; *mortificatus* 1. Cor. 15. 1. Cor. 11.
quidem carne; diuerſiſque locis mortem noſtram ſimpliciter 1. Pet. 3.
dormitionem nominat, vt ſignificet communem omnium quaſi ex ſomno, reſurrectionem: Chriſti verò exceſſum, mortem appellat, vt hæreticos pudefaciat; qui Incarnationem Chriſti, & quæ humanitatis ſunt; phantaſiæ duntaxat, & externæ ſpeciei adſcribebant. Hoc autem non protulit Paulus, ſed Chriſtus, qui in Paulo habitabat. Ipſe etiam obitum ſuum propriam ſuam mortem nominauit, qui Incarnationis myſterio poſt reſurrectionem quoque fidem per eſum & clauorum ſigna conciliare conatus eſt, vt antea dictum. Si igitur noſtra in Chriſto non ſolùm more noſtro; ſed & interdum vilius & abiectius, quàm pro more noſtro, eluceſcunt, volente Chriſto, perque diſpenſationem; qua ratione aſſeueras, eum nihil omnino ex humanis ſecundum naturæ legem in terris egiſſe? Et ſi quid de hoc accuratius dicendum erit, dicemus & nos, imitati diuinum Cyrillum, cuius ſunt hæc: *Vocum, quæ de Saluatore enunciantur, alias quidem competere Deo; alias homini: alias verò, eſſe quaſi medias.* Igitur ſi Chriſtus loquitur vt Deus; loquiturque vt homo; & ſi loquitur, vt vtraq; natura conſtãs, hoc eſt, Theandricè, planè ſequitur, omnia iſta eſſe res quaſdã, & operationes ipſi cõſentaneas. Et alia quidẽ faciebat ſecundum diuinitatem; alia ſecundũ humanitatem: alia communiter ſecundum totam perſonæ rationem.

θεότητα. τὰ δὲ πάλιν κοινῶς, κατὰ τὴν προσωπικὴν αὐτοῦ ὁλότητα. θεότητα δὲ λέγω ἀχώριστον σαρκός. καὶ ἀνθρωπότητα, ἀδιαίρετον θεότητος. καὶ τούτων οὕτως ἐχόντων, πῶς κατηγορῶν τοῦ τόμου Λέοντος Τιμόθεος ὁ ὑμέτερος πρόμαχος, οὕτω φησὶν ἐν τῷ συγγράμματι αὐτοῦ. Φύσις γὰρ τοῦ χριστοῦ μόνη θεότης. εἰ καὶ σεσάρκωται. ὡς ὑμεῖς μίαν φύσιν ἐν τῷ χριστῷ δογματίζετε. καὶ ταύτην θείαν; εἴπατε λοιπὸν ἡμῖν ὦ σοφοί, αὕτη ἡ μία, καὶ τιμία, καὶ ἁγία, καὶ προσκυνητὴ φύσις, ἣν ὁμολογεῖτε θείαν, ἐπὶ τοῦ χριστοῦ τοῦ υἱοῦ, τοῦ θεοῦ, τελεία ἐστὶ, καὶ ζῶα, καὶ ἀνελλιπὴς μετὰ τὴν ἕνωσιν ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ ἐν πᾶσιν, οἷς ἔπραξεν ὁ χριστὸς, ἢ οὔ; πρὸς ταῦτα ἀποκρίνονται ὁμοθυμαδὸν οἵ τε Σευηριανοὶ, οἵ τε Γαϊανῖται, καὶ λέγουσιν. Ναὶ τελεία ἐστὶ, καὶ ἀνελλιπὴς, καὶ ἀμέτριστος μετὰ τὴν ἕνωσιν ἡ φύσις τοῦ χριστοῦ. ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, μηδαμῶς μερισμὸν, ἢ τομὴν, ἢ μείωσιν ὑφισταμένη, ἢ διαίρεσιν· εἷς γάρ ἐστιν ὁ χριστός. καὶ μία ἡ φύσις αὐτοῦ, καὶ οὐ δύο.

Σχόλιον. Οὕτως ἐρωτήσατε αὐτοὺς, καὶ ὑμεῖς. καὶ οὕτως ἁρμόσασθε πρὸς αὐτοὺς κατὰ τὸν προκείμενον σκοπὸν τοὺς μὲν Ἰακωβίτας περὶ φύσεως. τοὺς δὲ Ἁρμασίτας, περὶ θεανδρικῆς ἐνεργείας.

Ἀπόκρισις ἡμῶν πρὸς αὐτούς. καὶ γὰρ ὁμολογουμένον ἐστιν, ἐὰν μία φύσις ἐστὶν ὁ χριστὸς, καὶ αὐτὴ πᾶσα θεότης γνωρίζεται, ὡς οὐ δύναται ὅλως μείωσιν τινὰ, ἢ ἔλλειψιν, ἢ ὑφαίρεσιν, ἢ διάζευξιν ἢ ἐλάττωσιν, ἢ ἀναπλήρωσιν παθεῖν. ἡ γὰρ θεία φύσις ἀεὶ, καὶ εἰς τὸν αἰῶνα ὁμοίως, καὶ ἀνελλιπῶς, καὶ ἀμειώτως ἡ αὐτὴ ὑπάρχει, μήτε ἔλλειψιν, μήτε προσθήκην παθεῖν δυναμένη, ἀλλ᾽ ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, ὁμοία, καὶ σῶα, καὶ ἀνελλιπὴς τυγχάνουσα. εἰ οὖν φύσις χριστοῦ, καὶ ἐνέργεια μία, καὶ αὕτη θεία, ὀφείλει πάντως ὁ χριστὸς, ἐν παντὶ τόπῳ, ὅμοιος, καὶ ἀνελλιπὴς εὑρίσκεσθαι ὡς θεός. δεῦρο μοι λοιπὸν, ὦ αἱρετικὲ, καὶ ἀμφὶ τῷ ποδὶ ἀκολούθει μοι ἐν τέτρασι τούτοις τόποις ἐν τῷ πάθει τοῦ χριστοῦ. λέγω δὴ, νεκροῦ αὐτοῦ τυγχάνοντος ἐν τῷ μνήματι τοῦ Ἰωσήφ. εἶτα, ἀπὸ τοῦ μνήματος ἐλθέ μοι ἐπὶ τὸν ᾅδην. καὶ ἀπὸ τοῦ ᾅδου ἄγωμεν ἐπὶ τὸν παράδεισον. καὶ ἀπὸ τοῦ παραδείσου, πάλιν ἐλθὲ ἐκτὸς τοῦ τάφου ἐν τῷ κήπῳ, ἔνθα αὐτὸν ἐθεάσατο ἐν σχήματι κηπωροῦ ἡ Μαγδαληνὴ

Μαρία

Dico autem diuinitatem eſſe à carne inſeparabilem; & humanitatem à diuinitate indiuiſam. Quæ cùm ita ſeſe habeant, quomodo Timotheus, propugnator veſter Leonis epiſtolam vellicans ſuo in libro ait : *Sola diuinitas eſt natura Chriſti, etiamſi incarnata ſit.* Dicite nobis, ô ſapientiſsimi, quomodo vnam in Chriſto naturam conſtituatis, & hanc diuinam? Eſtne hæc vna, veneranda, ſancta & adoranda natura, quam confitemini diuinam in Chriſto filio Dei, perfecta, integra, indeficiens poſt vnionem omni tempore & loco in omnibus, quæ Chriſtus fecit; an non? Ad hæc Seueriani & Gaianitæ concorditer reſpondent : *Vtique : perfecta eſt, & indeficiens, & indiuiſibilis poſt vnionem natura Chriſti in omni tempore, loco, rebusq́ vniuerſis : omnis partitionis, aut ſectionis, aut imminutionis, aut diuiſionis prorſus expers. Vnus enim Chriſtus eſt, & vna eius natura, non duæ.*

Scholium. Sic & vos interrogate ipſos ad præſcriptum modum, Iacobitas quidem de natura : Harmaſitas verò de operatione Theandrica.

Reſponſio noſtra ad illos. In confeſſo eſt apud omnes; ſi Chriſtus vna duntaxat natura conſtat, eaque non eſt alia, quàm diuinitas, fieri non poſſe, vt aut imminutionem, aut defectionem, aut ſubtractionem, aut diſiunctionem, aut decrementum, aut complementum ſubeat. Diuina enim natura ſemper, & in omnem perpetuitatem eodem modo ſeſe habet, neque deceſsionis, neque acceſsionis vllius capax; quia omni tempore & loco, & in omni re ſibi ſimilis, integra & indeficiens perſeuerat. Si ergo vna eſt natura Chriſti & operatio, & illa diuina, omnino oportet, vt Chriſtus in omni loco eodem modo affectus appareat, abſque vllo defectu & indigentia. Adeſto ergo hæretice, & ad quatuor loca paſsibus æquis me ſubſequere; ſub paſsionis Chriſti tempus. Et primū quidem ad ſepulchrum, in quo exanimis iacuit. Deinde à ſepulchro deſcende ad inferos. Ab inferis tendamus ad paradiſum. Redux ex paradiſo præſentem te ſiſte extra ſepulchrum in horto, vbi illum ſpecie hortulani Maria Magdale- Ioan. 20.

Digitized by Google

Μαρία. Εἰ γὰρ μόνη θεότης ἐστὶν ὁ Χριστὸς, ὡς λέγετε, ὁμοίως, καὶ ἀνελλιπὴς ἐν παντὶ τόπῳ ὡς θεὸς εὑρίσκεται. ἀνελλιπὲς γὰρ τὸ θεῖον. καὶ πῶς λοιπὸν ἐν τῷ τάφῳ ἐλλιπής ἐστι ὁ Χριστός, ψυχῆς νοερᾶς χωρισθείσης ἐξ αὐτοῦ, ἡνίκα εἶπεν· πάτερ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου; κατέλθωμεν, καὶ ἐν τῷ ᾅδῃ, καὶ ἴδωμεν ἐκεῖ τὸν Χριστὸν, πῶς σκυλεύει τὸ δεσμωτήριον. Ἐρωτήσωμεν τὸν Ἀδὰμ, ἐρωτήσωμεν τὰ σώματα, καὶ τὰ στόματα τῶν ἀναστάντων ἁγίων, ὅπως εἴπωσιν ἡμῖν, πῶς ἑωράκασιν ἐν τῷ ᾅδῃ Χριστόν. ποίῳ σώματι, ποίᾳ φύσει, ποίᾳ μορφῇ ἦλθε, καὶ κατῆλθεν ἐν τοῖς καταχθονίοις; πῶς ἐν ἴχνεσιν ἀβύσσου περιεπάτησε; ποίᾳ φύσει ἠνοίγησαν φόβῳ πύλαι θανάτου; ποίαν ἰδέαν ἰδόντες οἱ πυλωροὶ τοῦ ᾅδου ἔφριξαν; Ἆρα τὴν θείαν φύσιν ἑωράκασι γυμνήν; Ἄπαγε. θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε. Ἀλλὰ τίς ἄρα τὴν σάρκα τοῦ δεσπότου ἐθεάσατο; οὐδαμῶς. αὕτη γὰρ ἔνθεος ἐν τῷ τάφῳ νεκρὰ, καὶ ἀκίνητος ἔκειτο. οὐκοῦν ἐν μὲν τῷ σταυρῷ, καθὼς φησιν ὁ προφήτης, εἴδομεν τὸν Χριστόν. καὶ οὐκ εἶχεν εἶδος, σωματικὸν, οὐδὲ κάλλος. ἀλλὰ τὸ εἶδος τοῦ σώματος αὐτοῦ, ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐν δὲ τῷ τάφῳ εἴδομεν αὐτόν. καὶ οὐκ εἶχε ψυχὴν, οὔτε ἀνθρώπου πνεῦμα. ἐν δὲ τῷ ᾅδῃ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχε σῶμα, οὔτε αἷμα, οὔτε ὀστέα, οὔτε πάχος, οὔτε ὑλικὸν εἶδος, ἀλλὰ μόνην ψυχὴν νοερὰν ἔνθεον, σώματος κεχωρισμένην. ἐν δὲ τῷ παραδείσῳ σὺν τῷ λῃστῇ, καὶ οὐκ εἶχεν οὔτε ψυχὴν, οὔτε σῶμα, ἀλλὰ μόνῃ τῇ θεότητι, τῇ πανταχοῦ παρούσῃ συμπαρῆν τῷ λῃστῇ, ὥσπερ καὶ πρότερον τῷ Ἀδὰμ γυμνὸς, καὶ ἀσώματος συμπαρῆν ὡς θεὸς, ὡς μόνος οἶδεν αὐτὸς, ὁρώμενος αὐτῷ, καὶ μένων ἀόρατος. Αὖθίς τε μετὰ τὴν τριήμερον ταφὴν εἴδομεν Χριστὸν ἀναστάντα, καὶ εἰς ἑαυτὸν, ὡς Γρηγόριος φησὶν ἐπανελθόντα, καὶ πάλιν σῶμα, καὶ ψυχὴν, καὶ νοῦν, καὶ θεὸν ἅμα τυγχάνοντα, καὶ τῇ Μαρίᾳ ἐν τῷ κήπῳ πρώτῃ ὀφθέντα.

Τούτων δὴ οὕτως ὑπὸ Χριστοῦ πεπραγμένων τε, καὶ τετελεσμένων, παριστῶσι νῦν οἱ αἱρετικοὶ, φάσκοντες, ὅτι μία φύσις ὁ Χρι-

στὸς

na vidit. Si enim Chriſtus ſola diuinitate conſtat, vt ais; hæc autem omni loco ſibi ſimilis, & abſque omni defectu perſtat, eſt enim indeficiens diuinitas; quomodo igitur Chriſtus in ſepulchro indeficiens permanſit, ſeparata ab ipſo anima rationis participe? quando dixit: *Pater in manus tuas commendo ſpiritum meum.* Deſcendamus etiam in infernum, ibique Chriſtum contemplemur, quomodo carcerem illum ſpoliet. Interrogemus Adamum. Interrogemus corpora, & ora Sanctorum, qui reſurrexerunt, vt nobis dicant, qua ſpecie Chriſtum apud inferos aſpexerint; quo corpore, qua natura, qua forma venerit, & deſcenderit ad ſubterraneos illos ſpecus. Quomodo in *abyſſi veſtigiis* ambulauerit. Cuius naturæ formidine *portæ mortis ſint recluſæ.* Quam ſpeciem orci ianitores intuiti exhorruerint. Num diuinam naturam ſolam viderũt? Apage. Deum enim nemo vidit vnquam. Quid ergo? Num carnem Chriſti viderunt? Nequaquam. Diuina enim caro iacebat in ſepulchro exanimis & immobilis. Itaque, Chriſtum in cruce vidimus; Et vt Propheta ait, neque ſpeciem, neq; decorem habet; ſed ſpecies corporis eius inhonora eſt, & *deficiens præter filios hominum.* Vidimus illum etiam in ſepulchro, & non habebat animam, aut ſpiritum hominis. Vidimus illum in inferno, & non habebat corpus, neque ſanguinem, neque oſſa, neque denſitatem, neq; vllã ex materiei concretione conflatam formam, ſed ſolam animam rationalem diuinam, ab omni corpore ſeiunctam. In paradiſo vidimus illum cum latrone, & nec animam, nec corpus habebat, ſed ſola diuinitate vbique præſente aderat. Aderat latroni, quemadmodum antea inferno abſque vlla corporis mole. Aderat vt Deus, eo, quem ipſe ſolus intelligit modo, viſus à ſe ipſe, & tamen inuiſibilis permanens. Rurſus poſt triduanam ſepulturam vidimus Chriſtum reſurrexiſſe; & ad ſeipſum, vt Gregorius dicit, reuertiſſe: iterumque corpus, & animam, & mentem, & Deum ſimul eſſe; & Mariæ in horto primùm apparuiſſe.

Luc. 23.
Ioan. 1.
Eſaia 53.

His hunc in modum à Chriſto actis, ac peractis, adſint Hæretici, qui blaterant Chriſtum eſſe vnam naturam, & hanc non

στός, καὶ αὕτη πᾶσα θεότης ἐστί. καὶ ἀκουέτωσαν Ἰακώβου τοῦ Ἀποστόλου περὶ θείας φύσεως θεολογοῦντος, καὶ λέγοντος. ὅτι οὐκ ἔστι παρὰ τῇ θείᾳ φύσει παραλλαγή. εἰ οὖν οὐκ ἔστι παρὰ τῇ θείᾳ φύσει οἱαδή ποτε παραλλαγή, ἀλλὰ πᾶσα ταυτότης, καὶ ἰσότης, καὶ ἀνελλιπὴς, καὶ πάγιος τελειότης, ποίας, εἰπέ μοι, φύσει χριστοῦ, τὰς τοιαύτας, καὶ τοσαύτας ἀτρέπτως ἐναλλαγὰς λογισώμεθα, τὰς ἐλλείψεις, τὰς ἀναπληρώσεις, τὰς διαστάσεις, τὰς ἀποκαταστάσεις, τὴν τῆς ψυχῆς διαίρεσιν ἀπὸ σώματος, τὴν ἐν τῷ ᾅδῃ μακρὰν ἀναχώρησιν, τὴν πρὸς τὸ ἴδιον ἔνθεον σῶμα αὐτῆς σύνθεον ἔλευσιν. σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ θεός μου, περὶ τοῦ θεοῦ λόγου ὁ προφήτης βοᾷ. καθὰ καὶ αὐτὸς ὁ θεὸς λόγος φησὶν, ὅτι ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. εἰ οὖν ἐν τοῖς τοῦ θεοῦ λόγου ἰδιώμασι μετεποιήθη, καὶ ὁ καθ' ὑπόστασιν ἡνωμένος αὐτῷ ἄνθρωπος, πῶς ἐν μὲν τῷ σταυρῷ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος; ἐν δὲ τῷ τάφῳ ἀτελὴς ἦν, καὶ ἐλλιπὴς ψυχῆς νοερᾶς. ἐν δὲ τῷ ᾅδῃ ἐλλιπὴς ἦν σώματος τοῦ ἰδίου ἡ ψυχή. ἐν δὲ τῷ παραδείσῳ κατ' αὐτὴν τὴν ἡμέραν τοῦ πάθους, συμπαρῆν ἐκεῖ τῷ λῃστῇ· οὐδὲ τὸ σῶμα εἶχεν ἐκεῖ, οὐδὲ τὴν ψυχὴν ἐν ᾅδου οὖσαν. καὶ ἵνα συντόμως εἴπω, ἐὰν δείξωσιν ἡμῖν οἱ αἱρετικοὶ, παντὶ ἀνελλιπῆ τὸν χριστὸν ἐν τῷ τάφῳ, καὶ ἐν τῷ ᾅδῃ, καὶ ἐν τῷ παραδείσῳ μετὰ ψυχῆς, καὶ σώματος ὄντα τῇ ἡμέρᾳ τοῦ πάθους, εὔδηλον, ὅτι μία οὐσία, καὶ ἐνέργεια, καὶ οὐ δύο ἐστὶ, καθὰ καὶ προκατέθεντο εἰπόντες, ὅτι περ ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, ἀνελλιπῶς παριστῶμεν εἶναι τὴν φύσιν τοῦ χριστοῦ.

Πρὸς οὓς πάλιν τὰ αὐτὰ λέξω. εἰ μία φύσις ἐστὶν ὁ χριστὸς, καὶ αὕτη θεία, πόσον μέρος αὐτῆς ἔλειψεν, ὅτε ἔκειτο ἐν τῷ τάφῳ νεκρός; καὶ εἰ ὅλως δυνατὸν ἔλλειψιν ὑπομεῖναι θείαν φύσιν, πόσον μέρος αὐτῆς τίθετε τὴν ψυχὴν; καὶ πόσον τὸ σῶμα; εἰ γὰρ μία οὐσία ὁ χριστὸς, πάντως ὅτι τρίτη μοῖρα ταύτης ἐστὶν ὁ λόγος, καὶ τρίτη τὸ σῶμα, καὶ πάλιν τὸ ἄλλο τρίτον μέρος ἡ ψυχή. διὸ ἵνα μὴ ταῖς τοιαύταις ὑμῶν ἀπάταις, καὶ φρενοβλαβείαις περιπέσωμεν, ὁρῶντες ἡμεῖς εἰς τὸν κυριακὸν ἔνθεον ἄνθρωπον, τὰς τοιαύτας, καὶ

τοσαύ-

non aliam, quàm diuinam, audiantque Iacobum Apoſtolum de natura diuina dicentem: *Non eſſe apud Deum tranſmutationem.* Iac. 1.
Si ergò nulla penitus mutatio in natura diuina locum habet, vtpote quæ ſemper ſit eadem, ſibique par, & indeficiens, fixaque, ac ſtabilis perfectio, cedo, cui nam naturæ has tantas viciſsitudines, ac mutationes immutabiliter adſcribemus? Defectus inquam illos, & inſtaurationes, ſeiunctiones, & reparationes, ſeparationem animæ à corpore; longinquam ſeceſſionem ad inferos, reditumque ad proprium diuinumq; ſuum corpus. *Tu es ipſe Rex meus, & Deus meus,* clamat de Deo Verbo Propheta. Sicut & ipſum Verbum diuinum teſtatur: *Videte videte, quoniam ego ſum, & non mutor.* Itaque ſi natura humana Verbo hypoſtaticè vnita, in Verbi diuini proprietates trãſmutata conceſsit: quomodo in cruce non habuit ſpeciem, neque decorem? Quomodo in ſepulchro corpus imperfectum erat, & anima rationis capace deſtitutum? Quomodo apud inferos anima proprio corpore caruit? In paradiſo autem, ipſo paſsionis die, aderat latroni; ibi & corpore carebat, & anima, vt quæ apud inferos verſaretur. Et vt breuiter omnia complectar, ſi nobis hæretici demonſtrarint, Chriſtum omnimodo eſſe indeficientem, ipſoq; die Paſsionis fuiſſe vnà cum corpore & anima in ſepulchro, in inferno & in paradiſo, tum euidenter eluceſcet, vnam eſſe in Chriſto naturam & operationem, non duas, quandoquidem neceſſe eſt, vt iam antea affirmarunt, naturam Chriſti omni loco, tempore, & in omni re defectus expertem perſtare.

Pſal. 43.
Malach. 3.

Quibus eadem iiſdem verbis oggeram, ſi Chriſtus eſt vna natura, & hæc diuina; quotam partem ſui reliquit, quando in ſepulchro mortua iacuit? Et ſi omnino fieri poteſt, vt aliquid de diuina natura decedat, quota pars erit eius anima? quota corpus? Si enim Chriſtus eſt vna natura, oportet, vt tertia eius pars ſit Verbum: & tertia corpus: & alia tertia, anima. Quapropter vt huiuſmodi impoſturas fraudeſque ac pernicioſas decipulas veſtras euitemus; neque vobiſcum tot, & tantas immutabiles mutationes, & inuariabiles variationes, ad-

li. ditio-

τοσαύτας ἀτρέπτας ἐναλλαγάς τε, καὶ προσλήψεις, καὶ ὑφαιρέσεις, καὶ μεταστάσεις, καὶ προκοπὰς, καὶ μορφώσεις, καὶ αὐξήσεις, καὶ μεταποιήσεις. καὶ βουλόμενοι τὴν θείαν, καὶ ἄτρεπτον, καὶ ἀναλλοίωτον τοῦ θεοῦ λόγου φύσιν ἐλευθέραν δεῖξαι πάσης παραλλαγῆς, καὶ μεταβολῆς, καὶ ἀλλοιώσεως, καὶ νεκρώσεως, τούτου χάριν, καὶ τὴν τοῦ χριστοῦ ἀνθρωπότητα φύσιν, ἤγουν ἀλήθειαν προσαγορεύομεν, καὶ οὐδέποτε τὴν Σευήρου, καὶ Τιμοθέου δύσφημον δεξόμεθα φωνὴν, τὴν λέγουσαν. ὅτι φύσις χριστοῦ μόνη θεότης ἐστίν.

Ἀλλὰ τί πάλιν ἡμῖν προβάλλονται οἱ σεμνοὶ οὗτοι τῶν αἱρετικῶν ῥήτορες; φάσκουσι γάρ· ὅτι εἰ μὴ θεότης ἐστὶν ὁ χριστὸς, πῶς τὸ πτύσμα αὐτοῦ τυφλὸν ἰάσατο; πῶς τὸ δάκρυον αὐτοῦ τὸν Λάζαρον ἤγειρε; πῶς ἐπὶ γῆς Σαμαρείτιδος διψήσας οὐκ ἔπιεν; πῶς μετὰ τὴν νηστείαν τῶν τεσσαράκοντα ἡμερῶν πεινάσας, οὐκ ἔφαγεν; ἀλλ' οὐδὲ ὑπνώσαντα αὐτὸν, εἰ μὴ ἅπαξ ἐν τῷ πλοίῳ ἀκηκόαμεν; οὐδὲ πίοντα, ὡς ἔτυχε, δείκνυσι τὸ εὐαγγέλιον; ἅπερ ἅπαντα ἀπόδειξις εἰσὶν, ὅτι θεία γέγονε καὶ ἡ σάρξ, καὶ οὐκ ἦν ἐν τοῖς ἀνθρωπίνοις ἰδιώμασι. καὶ διὰ τοῦτο μία φύσις ὁ χριστός.

Ἀπόκρισις ὀρθοδόξου. Εὔκαιρον ἡμῖν νῦν πρὸς ὑμᾶς εἰπεῖν. τὸ, ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ, τοῦ πιστεύειν οἷς ἐλάλησαν περὶ χριστοῦ ἀπόστολοι, καὶ προφῆται. βουλόμενοι γὰρ, ὡς νομίζετε, θεότητα δεῖξαι ὅλον τὸν χριστὸν· αὐτῇ τῇ θεότητι αὐτοῦ καθάπερ Μανιχαῖοι, καὶ Ἀρειανοὶ προσκρούετε, παθητὴν αὐτὴν, καὶ τρεπτὴν, ὡς τὰ κτίσματα δεικνύοντες. ἀμέλει γοῦν ὁ θεῖος, καὶ πάνσοφος ἐν διδασκάλοις Μελίτων, ἐν τῷ περὶ σαρκώσεως χριστοῦ λόγῳ τρίτῳ, λίαν ἐπιμέμφεται ἐξηγητὴν τὸν βουλόμενον ἐκ τῶν μετὰ τὸ βάπτισμα ὑπὸ χριστοῦ πραχθέντων παραστῆσαι, ἢ πιστώσασθαι τὸ ἀληθὲς τῆς ψυχῆς, ἢ τοῦ σώματος αὐτοῦ, ἢ τῶν φυσικῶν, καὶ ἀναμαρτήτων αὐτοῦ πραγμάτων, λέγω δὴ πείνης, δίψης, ὕπνου, δακρύου, πτύσματος, ἱδρῶτος, ἐκκρίσεως τῆς διὰ ῥινὸς, καὶ ἐκκρίσεως, καὶ ἀποβολῆς τῆς φθειρομένης, καὶ πεττομένης βρώσεως, καὶ πόσεως φυσικῶς. οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν κατὰ ψυχὴν ὁμοίως ἀδιαβλήτων, καὶ φυσικῶν ἡμῖν ὄντων, τουτέστι τῆς λύπης, καὶ ἀγωνίας, καὶ ἀθυμίας. φησὶ γὰρ κατὰ Μαρκίωνος συντάττων ὁ θεόσοφος Μελίτων. ἀπηρνεῖτο γὰρ καὶ ὁ Μαρκίων, καθάπερ

ditiones, deceſsiones, tranſitiones, profectus, figuras, incrementa & viciſsitudines in Chriſto homine conſtituamus; ipſamque diuinam Verbi naturam ab omni prorſus mutatione. variatione, alteratione, & interitu liberam demonſtremus; ipſam itidem Chriſti humanitatem appellamus naturam, ſeu veritatem: neque vllo pacto blaſphemam Seueri & Timothei vocem admittimus; dicentium, ſolam diuinitatem eſſe naturam Chriſti.

Quid amplius obiiciunt nobis grauiſsimi iſti hæreticorum Rhetores ac patroni? Aiunt; *Si Chriſtus non erat diuinitas, quomodo ſputum eius cæco medicinam fecit? Quomodo lacrymæ eius Lazarum excitarunt? Quomodo cum Samaritana muliere colloquens, ſitiensq́, non bibit? Quomodo poſt quadraginta dierum ieiunium eſuriens non manducauit? Sed neque dormiiſſe, niſi ſemel in naui, legimus, ſed neque ex Euangelio conſtat, eum, vt ſors ferebat, bibiſſe. Quæ omnia argumento ſunt, carnem Chriſti diuinam euaſiſſe, neque amplius humanis proprietatibus ſubiectam fuiſſe: Quamobrem vna tantùm Chriſtus eſt natura.* *Ioan.9. Ioan.11. Ioan.4. Matth.4. Matth.8. Marc.4.*

Reſponſio Orthodoxi. Non abs re erit vobis occinere illud: *O ſtulti & tardi corde ad credendum iis, quæ locuti ſunt Apoſtoli & Prophetæ.* *Luc.24.* Cùm enim oſtendere velitis, Chriſtum totum, nihil aliud eſſe, quàm diuinitatem; in ipſam diuinitatem, inſtar Manichæorum & Arianorum, iniurioſi & contumelioſi eſtis; quia illam paſsionibus & mutationibus, more creatarum rerum, ſubiicitis. Certè diuinus & ſapientiſsimus inter Doctores Melito in tertio de Incarnatione ſermone, grauiter inuehitur in illos interpretes, qui comprobare nituntur ex factis Chriſti poſt baptiſmum veritatem corporis & animæ, itemque naturalium, & omnis peccati expertium operationum eius, famis. inquam, ſitis, ſomni, laboris, lacrymarum, ſputi, ſudoris, excretionis per nares, egeſtionisque corrupti, & naturaliter concocti cibi ac potus: neque horum duntaxat, ſed & eorum, quæ animæ noſtræ à natura ineſſe ſolent: hoc eſt, triſtitiæ, mœroris, & deiectionis. Nam contra Marcionem diſputans ſic ait cœleſti cognitione excellens Meli-

θάπερ Σευῆρός τε, καὶ Γαϊανὸς τὴν ἔνσαρκον χριστοῦ οἰκονομίαν, τὰς αὐτὰς προτάσεις, καὶ χρήσεις εὐαγγελικάς· ὥσπερ καὶ νῦν οὗτοι πρὸς ἡμᾶς οἱ Μαρκίωνος τοῦ Ποντικοῦ μαθηταί. πρὸς ὃν λίαν ἐχεφρόνως ὁ Μελίτων ἀπεκρίνατο φάσκων. ὡς οὐδὲ μία ἀνάγκη τοῖς νοῦν ἔχουσιν, ἐξ ὧν μετὰ τὸ βάπτισμα ὁ χριστὸς ἔπραξε, παριστᾶν τὸ ἀληθὲς, καὶ ἀφάνταστον τῆς ψυχῆς αὐτοῦ, καὶ τοῦ σώματος τῆς καθ' ἡμᾶς ἀνθρωπίνης φύσεως. τὰ γὰρ μετὰ τὸ βάπτισμα φησὶν ὑπὸ χριστοῦ πραχθέντα, καὶ μάλιστα τὰ σημεῖα, τὴν αὐτοῦ κεκρυμμένην ἐν σαρκὶ θεότητα ἐδήλουν, καὶ ἐπιστοῦντο τῷ κόσμῳ. θεὸς γὰρ ὤν, ὁμοῦ τε καὶ ἄνθρωπος τέλειος ὁ αὐτὸς, τὰς δύο αὐτοῦ οὐσίας ἐπιστώσατο ἡμῖν. τὴν μὲν θεότητα αὐτοῦ, διὰ τῶν σημείων ἐν τῇ τριετίᾳ τῇ μετὰ τὸ βάπτισμα, τὴν δὲ ἀνθρωπότητα αὐτοῦ, ἐν τοῖς τριάκοντα χρόνοις, τοῖς πρὸ τοῦ βαπτίσματος. Ἐν οἷς διὰ τὸ ἀτελὲς, τὸ κατὰ σάρκα ἀπέκρυβε τὰ σημεῖα τῆς αὐτοῦ θεότητος, καίπερ θεὸς ἀληθὴς προαιώνιος ὑπάρχων.

Σχόλιον. Σημειωτέον, ὅτι ψευδῆ εἰσι, καὶ ἀπόβλητα τὰ λεγόμενα παιδικὰ θαύματα τοῦ χριστοῦ. καὶ οὐ πεποίηκε σημεῖον προφανῶς ἐν ἀνθρώποις ἐπὶ γῆς, ὡς φησὶ τὸ εὐαγγέλιον πρὸ τοῦ σημείου τοῦ οἴνου τοῦ ἐν Κανᾶ τῆς Γαλιλαίας. ἐν τῷ γάμῳ μετὰ τὸ αὐτοῦ βάπτισμα. ἀλλὰ πᾶσαν ὅλην τὴν τριακονταετηρίδα, καθ' ὁμοιότητα ἡμῶν κατὰ πάντα τρόπον ἐβίωσε, καὶ διῆξε δίχα μόνης τῆς ἁμαρτίας, * καθ' ἃ Παῦλος μαρτυρεῖ. καίπερ θεὸς ὢν ἀληθὴς, καὶ πρὸ σαρκὸς, καὶ μετὰ σάρκωσιν.

* καθά.

Εἰ οὖν πεπείραται ὁ χριστὸς, πάντων τῶν ἡμετέρων κατὰ πάντα τρόπον ἐπὶ τριάκοντα χρόνους, ὥς φησιν ὁ Παῦλος, μανθανέτωσαν οἱ αἱρετικοί, ὅτι τεχθεὶς ὁ θεὸς ἐκ τῆς ἁγίας Παρθένου ἑκουσίως, φωνῇ μετὰ κλαυθμοῦ νηπιοπρεπῶς ἐδάκρυσεν ὡς ἄνθρωπος. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ παντὸς αὐτοῦ τοῦ ἐνιαυσιαίου, καὶ διετοῦς, καὶ τριετοῦς νηπιάζοντος χρόνου, Ἰησοῦς ὁ πεπειραμένος κατὰ πάντα τρόπον, καθ' ὁμοιότητα ἡμῶν, μυριάκις ἔκλαυσε τὸν φυσικὸν, καὶ νηπιώδη κλαυθμόν. μυριάκις ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἔφαγε, καὶ ἔπιεν. ἑκουσίως κατὰ τὴν τῆς φύσεως τῶν παίδων πεῖναν, καὶ δίψαν, ἐσθίων, καὶ πίνων. μυριάκις ὕπνωσε κατὰ τὸν ὕπνον φυσικὸν, καὶ ἀναμάρτητον.

to: negabat enim etiam Marcion, sicut Seuerus & Gaianus, diuinam Christi Incarnationem, iisdem testimoniis Euangelij aduersus Melitonem vsus; quibus nunc isti Marcionis Pontici discipuli aduersus nos vtuntur. Cui valdè scitè & opportunè respondit Melito in hunc modum. *Non esse necessarium his, quos ratio non fugit, ex actionibus Christi post baptismum adstruere, & demonstrare animæ & corporis eius; & humanæ naturæ nobiscum conuenientis veritatem, & ab omni fictione remotionem. Nam quæ post baptismum à Christo gesta sunt,* inquit Melito, *maximè miracula, latentem eius diuinitatem potissimum mundo comprobabant & confirmabant: cùm enim idem Deus simul & homo perfectus esset, duas naturas suas nobis patefecit; diuinitatem quidem per miracula triennio illo post baptismum patrata: humanitatem verò suam triginta illis annis baptismum antegressis, quibus carnis vilitas tegebat & abscondebat diuinitatis signa, tametsi reuera Deus esset sempiternus.*

Scholium. Obserua, falsa & supposititia esse; quæ vocantur puerilia Christi miracula; neque enim apertè, luce palam miraculum edidit in terra, vt dicit Euangelium, ante miraculum illud in Cana Galilææ, vbi aquam in vinum mutauit: *Ioan. 2.* sed totos illos triginta annos, exemplo & more nostro transmisit, excepto solo peccato, vt testatur Paulus; quanquam *Heb. 2.* verus Deus esset, & ante, & post assumptam carnem.

Si igitur Christus probauit omnia, & tentatus est per omnia, quæ nobis accidunt, triginta illis annis; nouerint Hæretici, eum ex sanctissima Virgine, quasi Deum sponte sua natum, simul tamen vt hominem, infantium instar, flebili voce illacrymasse; neque hoc tantùm tempore; sed toto illo infantiæ anno, biennio & triennio, Iesum tentatum per omnia ad similitudinem nostram, infinities fleuisse, naturalemque & infantilem ploratum edidisse; infinities esuriuisse & sitiuisse, comedisse & bibisse, sponte sua more infantium esurientium, sitientium, manducantium & bibentium: infinities somnum naturalem, & ab omni reprehensione alienum cepisse, infinities exspuisse, perque nares, & os excre-

 uisse,

πον. μυριάκις ἔπλυσε, καὶ τὸ ῥυπαρὸν τοῦ σώματος ἔδειξε, καὶ διὰ ῥινῶν, καὶ διὰ στόματος. μυριάκις ἐκοπίασεν ὑποτασσόμενος ἑκουσίως, καὶ δουλεύων ἐν τῇ τοῦ δούλου μορφῇ τοῖς ἑαυτοῦ γονεῦσιν, ὥς φησιν ὁ Λουκᾶς. μυριάκις ἠγωνίασε, καὶ ἐλυπήθη ὡς νήπιος, χωρὶς πάθους, καὶ ἁμαρτίας. σῶμα γὰρ εἶχεν ὁ χριστὸς ἁμαρτίας ἐλεύθερον, οὐ μὴν τῶν σωματικῶν ἀναγκῶν ἀπηλλαγμένον, καθ' ἃ διδάσκει ὁ χρυσόστομος Ἰωάννης ἐν τῇ εἰς τὸ κατὰ Ματθαῖον ἑρμηνείᾳ. Εἰ γὰρ ἀπηρνήσατο τὰς φυσικάς, καὶ ἀδιαβλήτους ἀσθενείας, καὶ ἐνδείας τῆς ἡμετέρας φύσεως, ἄρα ἂν αὐτὴν τὴν φύσιν παραπηρνήσατο, καθ' ἃ πάλιν καὶ τοῦτο ὁ αὐτὸς χρυσόστομος ἡμῖν ὑπηγόρευσεν. οὐκ οἴκοθεν δὲ ταῦτα ὁ θεόσοφος πατὴρ ὑπηγόρευσεν, ἀλλὰ Παύλῳ μαθητεύσας, καὶ ἑπόμενος. ἀκήκοε γὰρ αὐτοῦ ἐν τῇ πρὸς Ἑβραίους περὶ χριστοῦ λέγοντος.

Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκός, καὶ αἵματος, καὶ αὐτός, ἤγουν ὁ χριστός, μετέσχε παραπλησίως τῶν αὐτῶν παθημάτων. λεγέτω μοι λοιπὸν ὁ αἱρετικός, ποῖά εἰσι τὰ παθήματα τῆς σαρκὸς τῶν νηπίων, τὰ φυσικά, καὶ ἀδιάβλητα, ὧν ὁ χριστὸς μετέσχεν, εἰ μὴ πεῖνα, καὶ δίψα, καὶ ὕπνος, καὶ κόπος, καὶ ὅσα ἄλλα πρὸ βραχέως ὁ λόγος ἠρίθμησεν; Ἐπήγαγε γὰρ εὐθέως ὁ Ἀπόστολος λέγων περὶ χριστοῦ. οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι ἵνα ἐλεήμων γένηται. καὶ πάλιν μετὰ βραχέα φησίν. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν. πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. πεπειρασμένον δὲ τίνος; πρόδηλον, ὅτι τῶν φυσικῶν ἡμῶν ἀδιαβλήτων ἀσθενειῶν, δι' ἃς ἑκουσίως ἐνηνθρώπησεν. ὅτ' ἂν οὖν ἀκούσης Παύλου μαρτυροῦντος, ὅτι πεπείραται ὁ χριστὸς τῶν τῆς φύσεως ἡμῶν ἀσθενειῶν κατὰ πάντα, χωρὶς μόνης τῆς ἁμαρτίας, μηκέτι λοιπὸν καθ' ἡμῶν ἀγανακτήσης λεγόντων, ὅτι πεῖραν ἔσχεν ὁ χριστὸς γεννηθεὶς πάντων τῶν νηπιακῶν, καὶ φυσικῶν ἡμῶν τοῦ σώματος ἰδιωμάτων, καὶ ἀμέμπτων παθημάτων. διὰ γὰρ τοῦτο τὰς προκειμένας ἤγαγον μαρτυρίας. ἵνα μή

μοι

uisse, vt corporis naturam fluxilem demonstraret. Infinities fatigatum esse, quippe qui voluntariè subiectus fuerit, & in serui forma propriis parentibus seruierit, vt Lucas dicit; Infinities molestias pertulisse, & tristatum esse, vt infantem, absque tamen turbidis motibus & peccato: nam Christi corpus à peccato immune erat; non tamen à corporeis necessitatibus, quemadmodum docet Ioannes Chrysostomus in expositione super Matthæum. Si enim naturales & *indetrectabiles* naturæ nostræ imbecillitates, & indigentias repudiasset; prius vtique ipsam naturam repudiasset, & assumere renuisset; vt idem Chrysostomus docet : neque verò doctrinæ huius quasi domi suæ natæ primus auctor pater iste fuit; sed tanquam discipulus à Paulo accepit; quem in epistola ad Hebræos hæc dicentem audiuerat.

Luc. 2.

Heb. 2.

Quia ergo pueri communicauerunt carni & sanguini, & ipse similiter Christus participauit eisdem passionibus & affectionibus. Dicat Hæreticus; quæ nam sint istæ infantium in carne passiones, & affectiones naturales & indetrectabiles, quarum Christus particeps esse voluit, nisi fames, sitis, somnus, labor, & alia, quæ paulò ante commemorauimus? Statim namque subdidit Apostolus de Christo : *Non enim Angelos apprehendit; sed semen Abrahæ apprehendit. Vnde debuit per omnia fratribus similari, vt misericors fieret.* Et paulò pòst addit. *Non enim habemus Pontificem, qui non possit compati infirmitatibus nostris, tentatum verò per omnia pro similitudine absque peccato.* Et quorum nam Pontifex iste experimenta cepit? Manifestum arbitror, quod imbecillitatum & infirmitatum, quæ nobis à natura insitæ sunt, quæque calumnia vacant; quas, vt in se susciperet, volens libensque humanam naturam induit. Quando igitur audieris, Paulum testificantem, Christum experientiam cepisse omnis imbecillitatis, quæ in natura nostra inest, excepto solo peccato; non est, quòd posthac succenseas nobis affirmantibus, Christum omnibus infantium proprietatibus, & inculpatis affectionibus subiacuisse. Eo enim fine prædicta testimonia adduxi, ne quæreres, vnde constet, Christum, omnia,

Heb. 4.

μοι εἴπης, ὅτι καὶ πόθεν δῆλον, ὅτι πεῖραν ἔσχεν ὁ Χριστὸς πάντων τῶν φυσικῶν ἡμῶν, καὶ καθαρῶν, καὶ ἀδιαβλήτων πραγμάτων, ἄνευ φθορᾶς, καὶ ἁμαρτίας γενόμενος ἄνθρωπος.

Ὅρα γοῦν ὅτι καὶ αὐτὴ ἡ θεομήτωρ, καὶ θεοτόκος Μαρία, ἡ ἐκ πνεύματος ἁγίου συλλαβοῦσα, καὶ τεκοῦσα ἀπόρως αὐτὸν Χριστὸν τὸν θεὸν, υἱὸν αὐτῆς, καὶ τέκνον αὐτῆς ὠνόμαζε πάντοτε αὐτὸν, ἕως τῆς αὐτοῦ ἀπὸ γῆς ἀναλήψεως· καίπερ ὁρῶσα αὐτὸν θεοσημείας ποιοῦντα, καὶ νεκροὺς ἀνιστάντα, ἀλλ' ἐπειδὴ ἐν τῇ νηπιότητι αὐτοῦ, καὶ πάσῃ τῇ τριακονταετηρίδι, πρὸ τοῦ βαπτίσματος πεπειραμένον πάντων, καθ' ὁμοιότητα ἡμῶν, εἶδεν αὐτὸν, τούτου χάριν υἱὸν αὐτῆς ὠνόμαζεν αὐτὸν, καίπερ θεὸν ὄντα ἀληθινόν. Εἰ δὲ σκληρά σοι, καὶ βαρέα, καὶ ἄπιστα τὰ λεγόμενα φαίνεται, εἰπέ μοι, τί δή ποτε μύρα ἤγαγον ἐν τῷ τάφῳ Χριστοῦ αἱ γυναῖκες; θεότης γὰρ ἡ εὐώδης, καὶ * ἄβρωτος, οὐ χρήζει μύρων. ἀλλὰ τὸ ὑλικὸν, καὶ φθορᾶς, καὶ ἀποφορᾶς δεκτικόν. δι' ἣν καὶ Νικόδημος ἀνθρώπινόν τι λογισάμενος, μετὰ ἀλόης ἐσμύρνισε τὸ ἔνθεον Χριστοῦ σῶμα. τοιγαροῦν ἔχοντες συνηγόρους ἡμῶν, καὶ μάρτυρας ἀψευδεῖς, τοὺς αὐτόπτας, καὶ ὑπηρέτας, καὶ συγχρόνους τοῦ Χριστοῦ κατὰ σάρκα γενομένους, τούτοις μᾶλλον, καὶ οὐκ ἄλλοις πειθαρχήσομεν. οὗτοι γὰρ ἡμῖν καταγγέλλουσι τὴν ὑπομάζιον τοῦ Ἰησοῦ γέννησιν, τὴν γαλούχησιν, τὴν ἐπὶ τῆς φάτνης ἀνάκλισιν, τοῦ μικροφυοῦς τοῦ μεγάλου θεοῦ παλαιστιαίου μεγέθους τοῦ σώματος, τὸ δάκρυον, τὸ νηπιῶδες, τὸν ὕπνον, τὴν ἀφθεγξίαν τοῦ στόματος, πρὸ τοῦ γινώσκειν τὸ παιδίον καλεῖν πατέρα, ἢ μητέρα, ὡς Ἡσαΐας φησί. τὴν κατὰ πρόσβασιν τῶν τριχῶν, καὶ ὀνύχων, καὶ τῶν μελῶν αὔξησιν· τὴν καθ' ἡμέραν τῆς τοῦ σώματος μορφῆς τρανοτέραν μόρφωσιν. τὴν κατὰ πρόσβασιν ἐξ ἀδυναμίας παιδικῆς τῶν νεύρων, καὶ ὀστῶν, καὶ χειρῶν, καὶ ποδῶν στερέωσιν· τὴν μετὰ χρόνον τῶν ὀδόντων κατὰ φύσιν βλάστησιν. τὴν, μετὰ τὸ γάλα στερεωτέρας βρώσεως μετάληψιν. τὴν χειροκρατουμένην διδαχὴν τοῦ περιπάτου.

* C. A. mēdose ἄβρωμος.

Εἰ δὲ ἐπὶ τοῖς λεγομένοις ὁ αἱρετικὸς ἀγανακτεῖς, καὶ φρίττεις.

quæ natura nobis inſeuit, quæque omni culpa, & reprehenſione carent, expertum eſſe, abſq; ſemine & peccato, humanâ naturâ indutum.

Conſidera igitur ipſam etiam Deiparentem Mariam, quæ ex Spiritu ſancto abſque ſemine concepit, & peperit; ipſum Chriſtum Deum; Filium ſuum ſemper ac vbique nominaſſe, vſque ad aſcenſionem in cœlum, quanquam videret miracula diuinitus ab illo patrari, mortuoſque excitari. Sed cùm non ignoraret, eum tricennali illo temporis ſpatio ante baptiſmum expertum eſſe omnia, more ac exemplo noſtro, ea de cauſſa *filium* appellauit, tametſi verus Deus eſſet. Quod ſi hæc tibi dura, grauia, & ſupra fidem videntur, cedò, precor, quamobrem mulieres vnguenta ad ſepulchrum attulerint. Nam diuinitas, fons omnis fragrantiæ & immortalis, nullis eget vnguentis, ſed id quod ex materia compingitur, & corruptioni, ac interitui ſubiacet; cuius gratia ipſe etiam Nicodemus humanum quiddam cogitans aloë, & myrrha diuinum Chriſti corpus inunxit. Quocirca cũ patroni & teſtes veraciſsimi nobis illi ipſi ſuppetant; qui viderunt, & ſermonis miniſtri fuerunt, & ſimul cum Chriſto Incarnato vitã egerunt; his potius, quàm aliis obtemperemus oportet. Iſti enim annunciant nobis Ieſu vbera ſugentis natiuitatem, lactiſq; paſtum, & in præſepio palmum vix excedentis corporis, magni Dei reclinationem, qui puſillus naſci dignatus eſt, lacrymas inſuper infantiles, ſomnum; loquendique impotentiam, *priuſquam puer vocare noſſet patrem vel matrem*, vt Iſaias ait; item pilorum, vnguium & membrorum incrementum; quotidianam corporeæ figuræ expreſsiorem formationem; neruorum, oſsium, manuum & pedum ex imbecillitate infantili ad validiores firmioreſque vires progreſſum & profectum: Dentium, qui temporis ſucceſsione fieri aſſolet, exortum; poſt lactis vſum ſolidioris cibi eſum; denique inſtitutionem illam, qua manuductus incedere, pedibusque niti didicit.

Si autem, ô Hæretice, hæc audiens indignaris, quid ages.

Luc.1. *Luc.2.* *Actor.1.* *Matth.28.* *Ioan.19.* *Luc.1.* *1.Ioan.1.* *Iſaia 8.*

τεις, τί λοιπὸν δράσεις, εἰ ἀκούσῃς σαρκὸς, καὶ αἵματος ἐκτετμημένου περιτομῆς ἐκκοπὴν, καὶ ἀποβολὴν ἀπὸ χειρὸς γινομένην; ἢ πάλιν, τριχῶν, καὶ ὀνύχων αὐτῶν οὐσιωμένων διάφορον κουρὰν, καὶ ἀπόρριψιν; Νόμος γὰρ θεοῦ διατάττεται Ἰουδαίοις, κείρεσθαι. καὶ μὴ τρέφεσθαι πλοκάμους. ἑκὼν δέ σοι πάρειμι σιγήσων, τὴν τῶν θρόμβων τοῦ αἵματος, καὶ τῆς πλευρᾶς εἰς γῆν ἐξ Ἰησοῦ καταῤῥυσίν τε, καὶ ἐξ ἐνυποστάτου σαρκὸς θεοῦ ἀφαίρεσιν. Ἴσως δέ σε μηδὲ τοῖς εὐαγγελίοις πιστεύειν μαρτυροῦσιν, ὅτι προέκοπτεν ὁ Ἰησοῦς σοφίᾳ, καὶ ἡλικίᾳ, τὴν νηπιώδη καταλιπὼν, καὶ πρὸς τὴν παιδιώδη, καὶ μειρακιώδη, καὶ πρὸς ἔφηβον, καὶ ἔννομον, καὶ τελείαν, μεθιστάμενος ἡλικίαν. Εἰ γὰρ μὴ κατὰ νόμον τὸν φυσικὸν κατεδέξατο ἑκουσίως τὰ τῆς φύσεως τοῦ σώματος, ἀδιάβλητα μάλιστα περὶ τοῦ βαπτίσματος, διὰ τί θεὸς ὢν παντοδύναμος, μὴ εὐθέως, ἡνίκα ἐτέχθη, ἐπὶ τῆς φάτνης ἐλάλησε; διὰ τί εὐθέως τεχθεὶς οὐκ ἐπεριπάτησε; τίνος χάριν μὴ εὐθέως πατέρα, καὶ μητέρα ἐκάλεσε; διὰ τί εὐθέως μὴ ὀδόντας, καὶ τρίχας, καὶ τὰ λοιπὰ μέλη τὰ τοῦ σώματος, πεπληρωμένα ἐτέχθη ἔχων; διὰ τί δὲ μὴ, καὶ μορφήν τινα κρείττω, καὶ λαμπροτέραν τῆς ἀνθρωπίνης μορφῆς ἠμφιέσατο; Εἰ γὰρ ταῦτα πεποίηκεν, εὐθέως ἂν ἐγίνωσκον, καὶ οἱ γονεῖς, καὶ ὁ κόσμος, ὅτι θεός ἐστι, καὶ οὐκ ἄνθρωπος. καὶ εἰ τοῦτο ἔγνων, οὐκ ἂν αὐτὸν υἱὸν ἴδιον ἐκάλουν· οὐκ ἂν αὐτὸν ὑποτάσσεσθαι αὐτοῖς, καὶ δουλεύειν καταδέξαιτο, μᾶλλον δὲ ὥς φησιν, ὁ Βατανεώτης, ὁ νεαρὸς, εἰ ὑπὲρ ἄνθρωπον ἄνθρωπος πιστευθῆναι ἠβούλετο ὁ Ἰησοῦς. διὰ τί μὴ μᾶλλον συνήγαγεν ἐκ πάντων τῶν ἐθνῶν ἐν τῇ Σιὼν Ἰουδαίους, καὶ Ἕλληνας, ὥσπερ ἐπὶ τῇ Πεντηκοστῇ πεποίηκε. καὶ οὕτως ὁρώντων πάντων κατῆλθεν ἐξ οὐρανοῦ ἄνθρωπος, ὥσπερ μέλλει κατέρχεσθαι τῇ δευτέρᾳ παρουσίᾳ αὐτοῦ. καὶ ὥσπερ ὤφθησαν πᾶσιν αἱ γλῶσσαι αἱ τοῦ πυρός. καὶ ὥσπερ ὅλου τοῦ Ἰσραὴλ θεωροῦντος κατῆλθεν ἐν εἴδει πυρὸς, ἐπὶ τοῦ Σινᾶ ὄρους, καὶ θεωρήσας ἐπίστευσεν ὁ λαός.

Ταῦτα δὴ καὶ Ἀμμώνιος ὁ Ἀλεξανδρεὺς πρὸς τὸν Ἁλικαρ-

νασσέα

ſi audias, circumciſionem octauo die à natali peractam; quæ carnis ſuæ parte priuatus eſt? aut capillorum vel vnguium ex ipſo enatorum diuerſam abſciſsionem ac reſectionem? Iudæis enim capillos tondere præceptum erat, non nutrire. Cæterùm ſilentio libens inuoluam guttas ſanguinis, ex latere Ieſu in terram delabentes, & ex carne in Deo ſubſiſtente ablationem. Forſan neque fidem habes Euangeliis teſtantibus, Ieſum *profeciſſe ſapientia & ætate*, relicto ſtatu infantili, & ad pucrilem & iuuenilem, ephebiſque competentem ſecundum præfinitas naturæ leges gradu facto. Si enim non ex præſcripto naturalis legis omnia quæ in corpore noſtro à natura inſita ſunt, voluntariè ante baptiſma aſſumpſit, maximè illa, quæ reſpui nequeunt, qua de cauſſa, cùm Deus eſſet, non derepente ſimul atque in lucem exſtitit, in præſepi locutus eſt? Cur non ſtatim ab ortu ſuo ambulauit? Qua de cauſſa confeſtim patrem ac matrem non compellauit? Cur non abſq; mora dentes, & pilos, & reliqua corporis membra perfecta habuit? Cur non ſpeciem quandam humanâ auguſtiorem & ſplendidiorem induit? Nam ſi hæc feciſſet, ſtatim cognouiſſent parentes & mundus, ipſum Deum eſſe & non hominem. Et ſi hoc cognouiſſent; filium non nominaſſent. neque paſſi fuiſſent, vt ipſis ſubderetur ac ſeruiret. Imò ſi, vt Bataneotes Iunior dicit, CHRISTVS videri voluit homo ſupra hominem, cur non in Sion ex omnibus nationibus Iudæos & Græcos congregauit, vt in Pentecoſte ab illo factum eſt, ipſiſque inſpectantibus, homo ex cœlo deſcendit, eo modo, quo in ſecundo aduentu venturus eſt; & quo linguæ ignitæ cunctis apparuerunt, & quo ipſe in ſpecie ignis ſupra montem Sinai viſus eſt, vniuerſo Iſraële præſente, & credente.

Luc. 2. Ezech. 44. Luc. 3. Actor. 2. Exod. 19.

Hæc eadem ſcribit Ammonius Alexandrinus contra Ha-

ναστεία γράφων φησίν. ὅτι εἰ ὑπὲρ ἄνθρωπον κατὰ πάντα τρόπον ἠβούλετο ὁ Χριστὸς γνωρισθῆναι τὸ σῶμα αὐτοῦ, τί ὅλως ἦν χρεία γυναικὸς, καὶ μητρὸς Μαρίας; τίς ἦν χρεία ἐνναμηνιαίου ἐν γαστρὶ οἰκήσεως; ὁ γὰρ τὸν Ἀδὰμ ἐκ τοῦ μὴ ὄντος, εἰς τὸ εἶναι ποιήσας, ἄνευ γυναικὸς, καὶ μητρὸς, καὶ τόκου, ἠδύνατο καὶ ἑαυτῷ κατασκευάσαι ἄνθρωπον, καὶ οἰκῆσαι εἰς αὐτὸν, καὶ ἐπιδημῆσαι ἐν τῷ κόσμῳ. πάλιν τί εἰ μὴ ὁμοιωθῆναι ἡμῖν ἠβούλετο κατὰ τὴν σάρκα, δίχα μόνης τῆς ἁμαρτίας, κατὰ πάντα τρόπον, διὰ τί μὴ ἀστρῷον σῶμα ἠμφιέσατο; ἢ ἡλιόμορφον; ἢ κρυσταλλοειδὲς, καὶ λάμπον, οἷον ἦν τὸ πρόσωπον τοῦ Ἀδὰμ, ὅτε γέγονε; καὶ τὸ πρόσωπον Μωσέως, ἐν τῷ ὄρει Σινᾶ; ὡς γὰρ θεὸς αὐτῶν ὑπάρχων λαμπροτέραν ἐκείνων μορφὴν ἐνδείξασθαι, καὶ ἔχειν ὀφείλει, πρὸς τὸ πιστωθῆναι τῷ κόσμῳ ὅτι θεὸς ὑπάρχει. διὰ τί δὲ οὐχ ὡράθη, καὶ συνανεστράφη, ὡς ὡράθη, καὶ συνανεστράφη τῷ Ἀδάμ; μὴ ἐσθίων, μὴ πίνων, μὴ κοιμώμενος, μὴ κοπιῶν, μὴ πτύων, μὴ δακρύων, μὴ πάσχων; ὁ γὰρ τὸν Ἀδὰμ μὴ πτοήσας, μὴ δὲ καταπλήξας ἐν τῷ συνδιάγειν αὐτῷ, ἠδύνατο καὶ ἡμῖν ὁμοίως ἐπιφανῆναι, καθὰ πάλιν, καὶ τῷ Ἀβραὰμ, καὶ τῷ Ἰακὼβ, πρόσωπον πρὸς πρόσωπον ὡράθη, καὶ οὐκ ἐπάταξεν αὐτόν. ὁμοίως καὶ οἱ προφῆται, καὶ ὁ Ναβουχοδονόσωρ, καὶ Μωσῆς, καὶ ἄλλοι μυρίοι ὀπτασίαν δίχα σώματος ἑωράκασι θεοῦ. οὐ μόνον δὲ ἀλλὰ καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, ὄψεται Χριστὸν ἐρχόμενον ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ. καὶ τοῖς Ἀποστόλοις δὲ ἐν ἀφθαρσίᾳ, καὶ ἀθανασίᾳ ὢν μετὰ τὴν ἀνάστασιν συνηυλίσθη ἐπὶ ἡμέρας τεσσαράκοντα. διὰ τί οὖν μὴ ἀγγελικῇ φύσει ἐπεφάνη τῷ κόσμῳ, ἀλλὰ φθαρτῇ, καὶ θνητῇ, καὶ ῥευστῇ σαρκί;

Ὁ ὀρθόδοξος. Ὅτι γὰρ εἰ ὤφθη Χριστὸς κρείττονά τινα, καὶ παράδοξον μορφὴν ἔχων, εὐθέως ἐπιστεύετο, ὅτι θεὸς ὑπάρχει. ἐκ γραφικῆς ἱστορίας τὸ λεγόμενον παραστῆσαι πειράσομαι. ποιήσας ὁ θεὸς τὸν Ἀδὰμ, κατ᾽ εἰκόνα, καὶ ὁμοίωσιν θεοῦ, ἐνέθηκεν εἰς τὸ πρόσωπον αὐτοῦ διὰ τοῦ ἐμφυσήματος τὴν χάριν, καὶ ἔλλαμψιν, καὶ ἀκτῖνα, τοῦ παναγίου πνεύματος, εἶτα διὰ τῆς παρακοῆς, καὶ τῆς ἁμαρτίας ἀποσβεσθείσης τῆς τοιαύτης χάριτος ἐκ τοῦ προσώπου αὐτοῦ,

ἐγύ-

licarnasseum; videlicet, si Christus volebat corpus suum per omnia & omni modo communem hominum legem transcendere; quid opus erat fœminâ & vtero Mariæ? Ad quid nouem mensium in vtero mora? Nam qui Adamum, cùm non esset, formauerat vt esset; absque muliere, vtero & partu, poterat vtique etiam sibi humanam naturam condere, inque illa habitare, & in mundo peregrinari. Præterea si nobis similis esse nolebat in omnibus, absque solo peccato, cur non induit cœleste corpus; lucens ac rutilans solis instar aut crystalli, qualis erat facies Adami, quando conditus est, aut Moysis in monte Sinai? quippe, vt illorum Deus, longè fulgentiorem & nitidiorem formam assumere & poterat & debebat, vt suam diuinitatem mundo testatam redderet. Cur non nobis etiam conspiciendum sese præbuit, nobiscumq; versatus est, eo modo, quo visus est ab Adamo, cumque eodem versatus, neque manducans, neque bibens, neq; dormiens, neque delassatus, neque exspuens, neque lacrymans, neque quidquam patiens? Nam qui tali congressu suo Adamum nec perterrefecerat, neque formidine vlla perculerat, poterat vtiq; & nobis simili modo apparere, sicut & olim Abrahamo & Iacob facie ad faciem apparuit, & non percussit eum. Pari modo & Prophetæ, & Nabuchodonosor, & Moyses, & alij innumeri visionem Dei, expertem corporis viderunt. Neque isti duntaxat, sed & vniuersa hominum natura videbit Christum venientem in gloria Patris sui: & cum Apostolis post Resurrectionem iam in incorruptione & immortalitate per quadraginta dies egit; Cur igitur nō in Angelica natura mundo sese cōspiciendū exhibuit, sed in corruptibili, mortali, & fluxili carne?

Exod. 34. *Gen. 2.* *Actor. 1.*

Orthodoxus. Si Christus excellentiore specie in lucem prodiisset, statim Deus creditus ac habitus fuisset; id quod ex sacrarum litterarum historia planum facere tentabo. Cū Deus creasset Adamum secundum imaginem & similitudinem suam indidit in faciem eius per spiraculum, gratiam & illustrationem, & sancti Spiritus radium. Deindè hac gratia per peccatum & trāsgressionem exstincta, & ex vultu abstersa, genuit Cain & Abel. Post hoc audi, quid scriptura dicat: Vixit Adam

Gen. 2.

ἐγέννησε τὸν Κάϊν. ἐγέννησε τὸν Ἄβελ. μετὰ δὲ τούτους, ἄκουσον τί φησιν ἡ γραφή; Ἔζησε δὲ Ἀδὰμ ἔτη διακόσια, καὶ τριάκοντα, καὶ ἐγέννησεν υἱόν, κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, τοῦτ᾽ ἔστιν, οἵαν εἶχεν ἀπ᾽ ἀρχῆς, ὅτι γέγονεν ὑπὸ θεοῦ εἰκόνα, καὶ ἔλλαμψιν ἐπὶ τοῦ προσώπου αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, τοῦτ᾽ ἔστιν ἐξανάστασις. ἐπειδὴ εἶδεν ἐν αὐτῷ ἀνακαινισθεῖσαν τὴν ἀρχαίαν, καὶ παράδοξον ἐκείνην ἐπὶ τοῦ προσώπου μορφήν, καὶ χάριν, καὶ ἔλλαμψιν τοῦ παναγίου πνεύματος. ἣν θεασάμενοι ἐπὶ τοῦ προσώπου τοῦ Σήθ, ἅπαντες οἱ κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἄνθρωποι, εὐθέως προσηγόρευσαν αὐτὸν θεόν. καὶ διὰ τοῦτο περὶ τῶν υἱῶν αὐτοῦ εἶπεν ἡ γραφή. ὅτι ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ, τοῦτ᾽ ἔστιν οἱ υἱοὶ τοῦ Σήθ, τὰς θυγατέρας τῶν ἀνθρώπων, τὰς ἐκ τοῦ γένους τοῦ Κάϊν, ἔλαβον ἑαυτοῖς γυναῖκας, μετεῖχον γὰρ καὶ αὐτοὶ τῆς χάριτος τοῦ ἁγίου πνεύματος, ἕως εἶπεν ὁ θεός, ὅτι οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις. μέν τοιγε ὁ Σὴθ ἐπὶ ἐννεακοσίους πέντε χρόνους διέμεινεν ἐν μέσῳ τῶν ἀνθρώπων, ἔχων τὴν τοιαύτην παράδοξον τοῦ προσώπου μορφήν, ὀνομαζόμενος ὑπὸ πάντων θεός. καὶ ὁ Ναβουχοδονέσωρ δὲ τὴν παράδοξον ὄψιν τοῦ τετάρτου, υἱὸν θεοῦ ἐκάλεσεν. καὶ ὁ Μανωὲ τὴν ἐξαίρετον τοῦ ἀγγέλου μορφήν, θεὸν προσηγόρευσεν. ὁμοίως καὶ ὁ Ἰακώβ, τὴν ξένην τοῦ παλαίσαντος αὐτῷ ὄψιν θεὸν ὠνόμασε. καὶ ἡ ἐγγαστρίμυθος παραδόξους μορφὰς θεασαμένη θεοὺς αὐτοὺς προσηγόρευσε. καὶ Μωσῆς δὲ ἐπὶ τεσσαράκοντα χρόνους διέμεινεν ἐν ἐκείνῃ τῇ παραδόξῳ τοῦ προσώπου μορφῇ.

Καὶ τίνος χάριν ὁ πάντων τούτων τὰ πρόσωπα οὕτω δοξάσας Χριστός, οὐκ ἔδειξε τοῖς ἀνθρώποις ἐν ἑαυτῷ τοιαύτην μορφήν, ὅπως πιστωθῇ, ὅτι θεὸς ὑπάρχει ἀληθῶς, καὶ τούτου χάριν κρείττονα παρὰ τὴν ὑλικήν, καὶ γηΐνην, καὶ φθαρτὴν ἔχει μορφήν; ἀλλ᾽ ἐταπείνωσε, καὶ ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου ἑκουσίως λαβών. ὅθεν καὶ ἐν αὐτῇ τῇ ταπεινώσει ταπεινοτέρως ἐταπείνωσεν ἑαυτόν. οὐ γὰρ υἱὸς βασιλέως ἐπὶ γῆς γέγονεν. οὐχ υἱὸς ἀρχιερέως. οὐχ υἱὸς δυνάστου. οὐ μητρὸς βασιλίδος. ἀλλὰ γονέων πτωχῶν, κώμης οἰκτρᾶς Ναζαρέτ. οὐ μητροπόλεως τινός. οὐ τῆς Ἱερουσαλήμ, ἀλλὰ τινὸς πτωχοῦ. Ἰωσὴφ

τέκ

annos ducentos & triginta, & genuit filium ad imaginem, & similitudinem suam, hoc est, qualem imaginem & splendorem ab initio in facie habuerat, quando à Deo creatus est: *Et vocauit nomen eius Seth* (quod est, *resurrectio*) quandoquidem animaduertebat veterem in illo faciei decorem, & admirabilem gratiam, formam, & nitorem Spiritus sancti instauratum ac reparatum. Quem omnes, qui eo tempore vitam agebant, in facie Seth intuiti, è vestigio illum nominarunt Deum; eaq; de caussa de filiis eius dicit Scriptura: *Videntes filij Dei*, hoc est, filij Seth, *filias hominum*, illas nimirum, quæ erant ex genere Cain, *acceperunt eas sibi vxores*; nam & ipsi participes erant gratiæ Spiritus sancti, donec dixit Deus: *Non permanebit Spiritus meus in his hominibus*: Tametsi ipse Seth quinque supra nongentos annos inter homines mansit, hac admiranda faciei specie insignitus, & ab omnibus *Dei* appellationem sortitus. Et Nabuchodonosor quarti illius plenam admirationis visionem, quasi *filij Dei* nominauit. Et Manue eximiam Angeli speciem conspicatus, *Deum* vocauit. Sic & Iacob peregrinam, & eximiam formam eius, qui secum luctatus fuerat, Deum appellauit. Et Pythonissa insuetas formas intuita, Deorum nomen illis tribuit. Moyses quoque quadraginta annis admirabilem illam vultus formam retinuit.

Gen 4. *Ibidem.* *Gen.6.* *Ibidem.* *Gen.5.* *Dan.3.* *Iudic.13.* *Gen.32.* *1.Reg.28.* *Exod.34.*

Qua de caussa verò Christus, qui horum omnium vultus tantâ gloriâ insignierat; similem speciem sibi quoque non indidit, inditamque publicè hominibus exhibuit; vt deitati suæ fidem conciliaret; assumpta in hunc finem formâ, quæ terrestri hac & caduca longè excellentior esset? Sed *humiliauit, & exinaniuit semetipsum formam serui* voluntariè *accipiens*; vnde etiam in ipsa sua humiliatione humilius seipsum humiliauit: non enim patre Rege in terris progenerari voluit; non summo Pontifice, non Principe, aut quopiam procerum, non matre Regina; sed parentibus egenis; in abiecto vico Nazareth; non in Metropoli, non Hierosolymæ, sed in loco vili. Inops erat Ioseph. Opificium eius miserandum. Vita egestati subiecta. Vnde & Bethleemi non erat illis locus

Philip.2. *Luc.2.*

πτωχός, ἡ τούτου τέχνη οἰκτρά, ὁ βίος αὐτοῦ πτωχός. ὅθεν, καὶ ἐν Βηθλεὲμ οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι οὔτε μὴν πλῆθος δούλων, καὶ ζώων, καὶ ἡμιόνων. διὸ καὶ πᾶσα ἡ ἐπὶ γῆς τοῦ Χριστοῦ διατριβή, ἐν πτωχείᾳ, καὶ πεζοπορίᾳ γέγονεν, ὁ κύριος τοῦ οὐρανοῦ, καὶ τῆς γῆς ἀδούλωτος ὤν, οἶκον ἐκ οἴκου μετερχόμενος, καὶ ξενοδοχούμενος, καὶ ἐκ τῶν συνακολουθούντων αὐτῷ γυναικῶν τρεφόμενος, ὁ πᾶσι τὴν ζωήν, καὶ τὴν τροφὴν χαριζόμενος. ταῦτα δὲ πάντα τὰ πτωχοπρεπῆ οὐκ ἀσκόπως ὁ Χριστὸς πεποίηκεν. ἀλλ' ἐπειδὴ δι' ὑψηλοφροσύνης ἔπεσεν ὁ ἄνθρωπος, νομίσας γενέσθαι θεός, τούτου χάριν, διὰ πολλῆς, καὶ ἀφάτου ταπεινοφροσύνης πεποίηκεν ὁ Χριστὸς πάντα τὰ τῆς ἐνσάρκου οἰκονομίας αὐτοῦ, ἐπὶ τοσοῦτον ταπεινώσας ἑαυτόν, ὥστε καὶ αὐτὰ αὐτοῦ τὰ ἐντάφια ἱμάτια, οὐκ ἐξ οἰκείων γονέων, ἀλλὰ ἐκ τοῦ Ιωσὴφ ἐκομίσατο ἑκουσίως.

Διὸ ἐπιγνόντες τὸν σκοπὸν τῆς ἑκουσίου Χριστοῦ ταπεινώσεως, ὅτι ἑαυτὸν ἐκένωσε, καὶ ἐπτώχευσεν, ἵνα τὴν ὑπερηφανίαν τοῦ ἐχθροῦ καταργήσῃ, μὴ δειλιάσωμεν μετὰ Παύλου εἰπεῖν. ὅτι πεπείραται Ἰησοῦς πάντων τῶν ἡμετέρων παθημάτων δίχα μόνης τῆς ἁμαρτίας. καὶ μάλιστα ἔχοντες τὰς προειρημένας αὐτοῦ πρὸ τοῦ βαπτίσματος παραστάσεις, καὶ τὰς νηπιώδεις, ἕως εἰς ἄνδρα τέλειον, αὐξήσεις, τὰς πείνας, τὰς δίψας, τοὺς κόπους, τὰ δάκρυα. καὶ τὰ λοιπά, τὰ καθ' ἡμᾶς, ἅτινα τοῖς αἱρετικοῖς ἀντιτεθέντες, λέγω δή, ἅπερ ἐν τοῖς τριάκοντα χρόνοις καθ' ἡμᾶς ἑκουσίως διεπράξατο. μηκέτι περὶ ὧν μετὰ τὸ βάπτισμα ὁ Χριστὸς ἐπεδείξατο ἀνθρωπίνων ζυγομαχήσωμεν. μὴ περὶ ὕπνου, μὴ περὶ βρώσεως, ἢ πόσεως, ἢ κόπου, ἢ δακρύων, ἢ λύπης ἢ ἀγωνίας, ἢ ἑτέρου τινὸς ὑλικοῦ· ἵνα γὰρ καὶ μηδὲν ὅλως ἀνθρώπινον διεπράξατο μετὰ τὸ βάπτισμα ἐν τοῖς τρισὶ χρόνοις, μήτε ἔφαγε, μήτε ἔπιε, μήτε ὕπνωσε, μήτε ἐκοπίασε, μήτε ἔπτυσε, μήτε ἔκλαυσεν, ἀρκοῦσιν ἡμῖν εἰς τὸ βεβαιῶσαι τὸ ἀληθὲς τῆς αὐτοῦ ἀνθρωπότητος, πάντα, ὅσα ἔπραξε καθ' ἡμᾶς ἐν τοῖς τριάκοντα χρόνοις τοῖς πρὸ τοῦ βαπτίσματος. νόμος γάρ ἐστιν ἐξ ἀποστολικῶν κανόνων, ὁ ἐπιτρέπων τῆς τῶν πλειόνων μαρτυριῶν, ἢ χρήσεων εἶναι τὴν ψῆφον ἐπὶ παντὶ ζητήματι, καὶ δόγματι συντείνοντι εἰς Χριστόν.

πλὴν

cus in diuersorio : neque multitudo seruorum, animalium, & mulorum. Hinc & tota Christi in terris commoratio paupertatis plena erat, ita vt & itinera pedes conficeret. Dominus cœli, ac terræ seruo carebat, deque domo in domum transibat, hospitiis alienis exceptus, & pia mulierum ipsum sequentium liberalitate sustentatus, qui vitam, & alimentum vniuersis suppeditare consueuerat. Hæc omnia egestatis indicia, ac specimina sine caussa non edidit, aut subiit Christus; sed cùm homo per arrogantiam ac elationem corruisset, ratus, se fore Deum, ideo Christus immensa & ineffabili submissione ac humilitate omnia quæ ad Incarnationem spectant, peregit; & tantopere sese abiecit; vt etiam vestes sepulchrales, non à propriis parentibus, sed à Iosepho volens acceperit. *Gen.3.*

Quapropter cognito fine & consilio voluntariæ humilitatis Christi, quòd scilicet semetipsum exinaniuerit, & egestati subiecerit, vt superbiam hostis edomaret ac euacuaret, ne trepidemus cum Paulo dicere; *Eum tentatum esse per omnia nobis accidere solita, excepto solo peccato.* Præsertim cùm habeamus argumenta baptismum antegressa, de quibus antea diximus: incrementum videlicet ab infantili ætate vsq; ad perfectionem virilem, famem, sitim, labores, lacrymas, & id genus alia nobis propria, quæ triginta integris annis perpetrata cum hæreticis opponimus, non amplius multum laborabimus aut cõtendemus de humanarum actionum speciminibus, quæ post baptismum Christus edidit; Tacebimus de somno; de esu ac potu, de labore, de fletu, de tristitia, de anxietate, aliisque materiæ innatis affectionibus. Licet enim triennio illo post baptisma nullã prorsus humanam actionẽ exercuisset; licet neq; comedisset, neq; bibisset, neq; somnum cœpisset, neq; fatigatus fuisset, neq; exspuisset, neq; fleuisset, sufficerẽt tamẽ nobis ad veritatem humanæ naturæ illius demonstrandã ea, quæ per triginta annos ante baptismũ, more nostro, operatus est. Lex nãq; est à Canonibus Apostolicis deriuata, quæ in omni quæstione, & dogmate ad Christũ pertinẽte, pluribus testimoniis & auctoritatibus decisionẽ supremumq; calculum permittit. *Heb.2.*

Πλὴν τῷ ἐπεσκεμμένως ἐγκύψαντι τοῖς ἁγίοις εὐαγγελίοις, πτωχότερα, καὶ εὐτελέστερα, καὶ ἀτιμότερά εἰσιν, ἅπερ Χριστὸς πέπονθε, καὶ ἔπραξεν ἑκουσίως μετὰ τὸ βάπτισμα αὐτοῦ, ὑπὲρ πάντα, ὅσα πεποίηκεν ἀνθρώπινα καθ' ἡμᾶς πρὸ τοῦ βαπτίσματος αὐτοῦ. καίπερ θεὸς ὤν, ἀληθινὸς, καὶ πρὸ σαρκὸς, καὶ μετὰ σάρκωσιν· τί γὰρ εἰπέ μοι τούτου πτωχότερον ἐπὶ θεοῦ, ἢ εὐτελέστερον, ἢ ἀτιμότερον; ὅτι ὁ ποιητὴς οὐρανοῦ, καὶ γῆς, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς, ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. ὁ ὢν θεὸς ἐπὶ πάντων, ὁ ὁμοούσιος, καὶ ὁμόδοξος λόγος τοῦ πατρὸς, ὁ συναΐδιος τοῦ παναγίου πνεύματος, ὁ ἄκτιστος, ὁ ἄτρεπτος, ὁ αὐτόφωτος, υἱὸς ὁ μονογενὴς, ἐθελοντὶ ὑπὸ ἀνόμων, σὺν ἀνόμοις, ὡς ἄνομος σαρκὶ εἰς θάνατον ἀπάγεται ἄτιμον, ὡς κακοῦργος, νυκτὶ συλλαμβανόμενος, δεσμούμενος, ῥαπιζόμενος, ἐκδυόμενος, ἐμπτυόμενος, κολαφιζόμενος, φραγελλούμενος, ἐπὶ ξύλου γυμνὸς προσηλούμενος ὡς κατάκριτος, τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ τὴν πλευρὰν κεντούμενος, καὶ τὴν ἐκδίκησιν ἑαυτοῦ μὴ ποιούμενος, καίπερ ὡς θεὸς πάντα δυνάμενος, ἀλλ' ὡς πρόβατον ἡσύχως τὸν ὑπὲρ ἡμῶν θάνατον καταδεχόμενος. τότε ὡς ἀληθῶς ἐπειράθη καθ' ὁμοιότητα ἡμῶν, ἐν ἀληθείᾳ νεκρὸς γενόμενος. τότε καθ' ὁμοιότητα ἡμῶν εἴδομεν τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος. ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦτ' ἔστιν, ὑπὲρ τοὺς λοιποὺς καταδίκους ἀνθρώπους. τότε ἀληθῶς ἐν ὁμοιώματι ἀνθρώπων νεκρῶν νεκρὸς σαρκὶ ὁ θεὸς γέγονεν. ἐν ὁμοιώματι ἀνθρώπου ἐν τάφῳ κατετέθη. καὶ εἴδομεν αὐτὸν νεκρὸν κείμενον, ἔνθεον, κεχωρισμένον ψυχῆς. σῶμα νεκρὸν ἀληθῶς ἄψυχον, ἄλαλον, ἄπνουν, μὴ λαλοῦν, μὴ κινούμενον, μὴ ὁρῶν, μὴ μεθιστάμενον, μὴ διδάσκον, μὴ αἰσθανόμενον, ἀλλὰ νεκρὸν ἀληθῶς σῶμα θεοῦ, ὡς πάντες νεκροὶ, καὶ εἰδότες τὸ ὅραμα, καὶ θέαμα τὸ μέγα τοῦτο τῆς θεοσώμου νεκρώσεως ἐξεθαμβήθημεν. καὶ ἀναλαβόντες τὰς προειρημένας φωνὰς, ἃς καθ' ἡμῶν προφέρειν νομίζουσιν οἱ αἱρετικοὶ ἀτινίζοντες τῷ παναγίῳ Χριστοῦ σώματι, πρὸς αὐτοὺς διαποροῦντες εἴπομεν. Εἰ ὁ λόγος σὰρξ ἐγένετο, ἵνα καὶ τὸ σῶμα αὐτοῦ γένηται λόγος,

Quanquam si quis Euangelicam historiam penitius introspicere velit, dilucidè intelliget, longè viliora, abiectiora, & contemptiora esse, quæ Christus post baptismum pertulit; quàm ea, quæ ad exemplum nostrum ante baptisma subiit. tametsi & ante, & post Incarnationem verissimus esset Deus. Quid enim, oro, vilius, aut abiectius, aut despicabilius, quàm quod conditor cœli & terræ, *splendor gloriæ Patris, & figura substantiæ eius*, Deus vniuersorum, eiusdem substantiæ, & maiestatis cum Patre, coæternus Spiritui sancto, increatus ille, immutabilis, lux immensa, filius vnigenitus, sponte sua ab iniquis, cum iniquis ad ignominiosam mortem, tanquam maleficus, secundum carnem ducitur, noctu captus, vinctus, alapis cæsus, exutus, consputus, colaphis percussus, flagellatus, cruci nudus suffixus, tanquam damnationis reus, manibus, pedibus, & latere transfossus; seipsum non vindicans, licet id ei, vtpote Deo omnipotenti, procliue foret; sed tanquam ouis mansuetè mortem pro nobis subiit. Tunc verè, ad similitudinem nostram per omnia tentatus, ac probatus est, vitæ exsors effectus. *Vidimus vultum eius secundum nostram similitudinem formatum; & nec speciem habebat, nec decorem;* sed supra filios hominum, hoc est, supra alios homines damnationi subiectos despectus, & dehonestatus apparebat. Tunc verè instar hominum vita defunctorum Deus secundum carnem mortem oppetiit, & aliorum more in sepulchro positus est; vidimusque illum iacere mortuum, diuinumque eius corpus, anima separatâ, vitæ expers, verè exanime; sine voce, sine spiritu, immotum, videndi facultate destitutum; non de loco ad locum transiens; non doctrinæ insistens; nullo officio sensuum fungens; sed verè mortuum corpus Dei; vt omnibus aliis mortalibus euenire solet; cumque videremus, grande hoc & inusitatum spectaculum, nempe Dei corpus neci traditum, obstupuimus; & repetitis supradictis testimoniis, quæ Hæretici aduersus nos proferunt; oculósque ad sacratissimum Christi corpus conuersis, sic eos affati sumus. Si Verbum caro factū est, vt & caro fieret Verbum, quomodo Heb. 1.

m 2 modo

λόγος, πῶς τὸ πρὸ βραχέως λαλοῦν ἐν τῷ σταυρῷ Χριστοῦ σῶμα, νῦν ἐν τῷ τάφῳ οὐ λαλεῖ λέγον, καίπερ ἔχον ἐν ἑαυτῷ τὸν ἀσίγητον θεὸν λόγον; εἰ γὰρ οὐδὲν τῶν ἀνθρωπίνων κατὰ ἄνθρωπον ἔδρασε Χριστὸς, πῶς καθ' ὁμοιότητα ἀνθρώπων ὑπέμεινε τὴν νέκρωσιν; καὶ εἰ ἐν πᾶσι τοῖς φυσικοῖς ἡμῶν ὑπὲρ φύσιν ἦν, πῶς κατὰ τὴν φύσιν ἡμῶν χωρισμὸν ψυχῆς κατεδέξατο; καὶ εἰ τοιοῦτο γέγονε τὸ σῶμα, οἷος ὁ θεώσας αὐτὸ θεὸς λόγος, πρόδηλον, ὅτι οὐκ ἀπέθανεν, ἀλλὰ ἀθάνατον ἦν ἐν τῷ μνήματι, ὥσπερ ὁ θεὸς λόγος, καὶ δοκήσει, καὶ φαντασίᾳ ἑωρᾶτο νεκρόν. καὶ εἰ ὡς σταγὼν ὄξους συνανεκράθη ἡ σὰρξ τῷ πελάγει τῆς θεότητος, καὶ οὐκέτι ἦν μετὰ τὴν ἕνωσιν ἐν οἵῳ δή ποτε ἰδιώματι ἀνθρώπων, ἢ φάσμα, καὶ σκιὰν εἴλησεν ὁ Νικόδημος, καὶ Ἰωσὴφ ταῖς ὀθόναις, καὶ τέθεικεν ἐν τῷ τάφῳ, ἢ πάλιν πέλαγος μόνης θεότητος εἴλησε σινδόνι, καὶ κατέκλεισε δεσμήσας. Εἰ δὲ θεότητος φύσις περιεγράφετο ἐν τῷ μνήματι, μεταστοιχειώσασα τὸ σῶμα, καὶ ἀλλοιώσασα πρὸς τὴν οἰκείαν φύσιν, πῶς ὁ διδοὺς τῷ ἀψύχῳ οὐρανῷ φωνὴν βροντῆς, οὐ δέδωκε καὶ τῷ νεκρῷ, καὶ ἀψύχῳ αὐτοῦ σώματι φωνὴν ἐν τῷ μνήματι; πῶς ὁ κινῶν ἄψυχον γῆν ἐκ θεμελίων, οὐκ ἐσάλευσε τὴν ἄψυχον αὐτοῦ σάρκα ἐν τῷ μνήματι; πῶς ὁ ἀνοίξας τὰ στόματα τῶν ἀψύχων τάφων, οὐκ ἤνοιγε τὸ στόμα αὐτοῦ ἐν τῷ τάφῳ; Εἰ γέγονε τῇ θεώσει καὶ τὸ σῶμα Χριστοῦ θεότης, πῶς οὐ θεωρεῖ, καὶ βλέπει, ὡς ἡ θεότης, ἡ τὰ πάντα θεωροῦσα, ἀλλὰ κεκλεισμένον ἔχει τὸ ὄμμα, τὸ σῶμα, τὸ ἔχον ἐν ἑαυτῷ τὸ φῶς, τὸ φωτίζον πάντα ἄνθρωπον; πῶς οὐ ζῇ τὸ ἔχον ἔνδον τὴν τοῦ κόσμου ζωήν; πῶς οὐκ ἀναπνεῖ ἀχώριστον ὂν τῆς πάντων πνοῆς, καὶ ζωῆς θεοῦ; καὶ γὰρ δυνατωτέρα καθ' ὑπερβολήν ἐστιν ἡ δύναμις, καὶ ἡ ἐνέργεια τοῦ θεοῦ λόγου τοῦ ἐν αὐτῷ, ὑπὲρ τὴν δύναμιν, καὶ ἐνέργειαν τῆς ψυχῆς, τῆς χωρισθείσης ἐξ αὐτοῦ, ἡνίκα εἶπεν ἐν τῷ σταυρῷ, πάτερ εἰς χεῖράς σου, παρατίθημι τὸ πνεῦμά μου.

Εἰ οὖν καινοτομήσας τὴν φύσιν, ἐκαινοτόμησε καὶ πάντα τὰ φυσικὰ τῆς φύσεως, καὶ οὐ κατὰ ἄνθρωπον ἔδρασέ τι τῶν ἀνθρωπίνων, ἐχρῆν αὐτὸν, καὶ τὴν τοῦ σώματος νέκρωσιν μὴ καθ' ἡμᾶς δια-

πράξα-

modo Christi corpus, quod paulò antè loquebatur in Cruce, nunc in sepulchro conditum iacet, nec verbum amplius profert, licet in seipso diuinum Verbum, cuius vox nunquã conticescit, complectatur? Si enim Christus nihil humanum, more hominum, egit; quomodo secũdum similitudinem hominum occisus est? Et si in omnibus, quæ natura nobis insunt, supra naturam fuit, quomodo ad nostræ naturæ exemplum capax fuit separationis animæ à corpore? Et si corpus tale euasit, quale est Verbum, à quo in Deitatis participationem receptum est; planum relinquitur, corpus non esse mortuum, sed etiam in sepulchro immortale mansisse, sicut ipsum Verbum; solaque externa specie, & nuda existimatione visum fuisse mortuum. Et si caro, vt aceti gutta, immenso diuinitatis pelago commixta est; neq; vlla amplius post vnionem humana proprietate constabat; Phantasma igitur seu spectrum, & vmbram quandã fasciis sepulchralibus inuoluit, inq; sepulchro reposuit Nicodemus & Ioseph, vel certè solius diuinitatis immensitatẽ, & quasi pelagus sindone texit, & quasi vinculis cõclusit. Si verò diuinitas circũscribebatur sepulchro, corpus in propriã suã naturã transferẽs ac transmutãs, quomodo is, qui inanimato cœlo tonitrui vocẽ largitur, non dedit mortuo, & exanimi suo corpori vocẽ in sepulchro? Quomodo is, qui terrã animæ expertem à fundamentis concutit, nõ mouit inanimatam suã carnẽ in sepulchro? Quomodo is, qui inanimatorum tumulorũ ora reserauit, non aperuit os suum in sepulchro? Si corpus Christi communione deitatis etiam deitas effectum est, quomodo videndi facultate nõ est præditũ, sicut diuinitas, quæ omnia intuetur, sed conclusos oculos habet, cũ in se contineat lucẽ, quæ omnem hominẽ illuminat? Quomodo nõ viuit illud, quod in se vitã mundi continet? Quomodo non spirat, cũ inseparabile sit à Deo, qui omniũ est spiritus, ac vita? Etenim potẽtior, & absq; omni comparatione efficacior est vis, & operatio Verbi, quod est in corpore, quàm vis, & operatio animæ à corpore separatæ, quando in cruce dixit: *Pater in manus tuas commendo spiritum meum.*

Ioan. 19. *Ioan. 1.* *Luc. 23.*

Si igitur mutata naturâ omnes simul naturales naturæ proprietates mutauit, neq; quidquam humanum hominum more egit; oportebat, vt neque corpus eius humano modo

πράξασθαι. Εἰ δὲ κατ' ἀλήθειαν ἀληθῆ θάνατον χριστοῦ καταγγέλλετε, καὶ ἀληθῆ ψυχῆς ἀπὸ σώματος διάζευξιν, καὶ ἀψευδῆ ἐν τάφῳ τριήμερον νέκρωσιν, καὶ σώματος θνητοῦ ἀφωνίαν, καὶ ἀβλεψίαν, καὶ ἀκινησίαν ἀφαντασίαστον, γνῶτε σαφῶς, ὦ τῶν αἱρέσεων παῖδες, ὅτιπερ καὶ μετὰ τὴν ἕνωσιν ἑκουσίως, οὐ πάντα τὰ καθ' ἡμᾶς ὑπὲρ ἡμᾶς ἔπραξεν ὁ χριστός. οὐδὲ τοιοῦτον αὐτοῦ γέγονε τὸ σῶμα, οἷος καὶ ὁ θεώσας αὐτὸ λόγος, ἀπερίγραπτον, καὶ ἀόρατον, καὶ ἄκτιστον, καὶ ἄναρχον. οὐδὲ ὡς σταγὼν ὄξους, καὶ ἀνεκράθη, καὶ ἠλλοιώθη, καὶ μετεβλήθη, εἰς ἀπερίγραπτον, ὁμοούσιον πέλαγος θεότητος. ἀλλ' ἐν ἰδιότητι κατὰ φύσιν, καὶ μετὰ τὴν ἕνωσιν εἰσίν. ἡ μὲν θεότης ἀόρατος, τὸ δὲ σῶμα ὁρατὸν, καὶ περίγραπτον, καὶ κτιστόν.

Ταῦτά μοι φύλαττε ὁ πιστὸς ἐν καιρῷ τοῦ πρὸς ἀλλοφύλους πολέμου, ὥσπερ ῥομφαίαν ἀντίστομον κρατῶν, τὸν σταυρὸν τοῦ χριστοῦ, καὶ τὸν τάφον. καὶ ὁπότε τὰς πολυπλόκους αὐτῶν προβάλλονται τῆς θεοπαθείας φλυαρίας, ἄγαγε αὐτοὺς ἐπὶ τὸν προκείμενον σταυρόν. κἀκεῖ κεντήσας τούτους ἀπόσφαξον. ὅτε δὲ τὴν φαντασίαν, καὶ τὴν ἄρνησιν τῆς καθ' ἡμᾶς φύσεως ἐν χριστῷ δογματίζουσι, φέρε αὐτοὺς ἐπὶ τὸν δεσποτικὸν τάφον, κἀκεῖ αὐτοὺς θανατώσας, τῷ ᾅδῃ παράπεμψον.

ΚΕΦΑΛΑΙΟΝ ΤΈΤΑΡΤΟΝ ΚΑῚ ΔΈΚΑΤΟΝ.

Ἀμμωνίου Ἀλεξανδρέως κατὰ Μονοφυσιτῶν.

ΚΑῚ γὰρ καὶ ὁ περὶ πάντα πολυπειρότατος τῶν ἐξηγητῶν Ἀμμώνιος ὁ Ἀλεξανδρεὺς τούτῳ τῷ τρόπῳ τὸν Ἁλικαρνασσέα χειρωσάμενος ἐθανάτωσεν. Ἀναλαβὼν γὰρ, καὶ προσποιησάμενος τὸ τοῦ Σαμοσατέως πρόσωπον, ὡς εἶδεν τὸν Ἰουλιανὸν εἰς δόκησιν, καὶ φαντασίαν τρεπόμενον, καὶ ἄνω. καὶ κάτω θεωθεῖσαν, καὶ ἀποθεωθεῖσαν, καὶ τραπεῖσαν, καὶ ὡς σταγόνα ὄξους πρὸς τὸ πέλαγος τῆς θεότητος

mortem oppeteret. Si verò ſecundum veritatem veram Chriſti mortem; ſi veram animæ à corpore ſeiunctionem, ſi non commentitiam tridui in ſepulchro exanimis corporis moram, ſi corporis mortui veram loquendi, videndique non fictitiam ſeſe mouendi impotentiam profitemini; notum vobis ſit, ô hæretici, Chriſtum etiam poſt vnionem, non omnia noſtra ſupra morem & conditionem noſtram voluntariè egiſſe: neque corpus eius eiuſmodi euaſiſſe, quale eſt Verbum, à quo in diuinitatis communionem aſſumptum eſt; videlicet, incircumſcriptum, inaſpectabile, increatum, principij expers, neque vt aceti guttam commixtum, & tranſmutatum eſſe in immenſum diuinitatis pelagus, ita vt eiuſdem ſubſtantiæ euaderet; ſed proprietates ſuas à natura inſitas, etiam poſt vnionem retinuiſſe; quia diuinitas ſub aſpectum non cadit. At corpus eſt aſpectabile, circumſcriptum & creatum.

Hæc ima mente, fidelis, reconde; vt tibi tempore belli aduerſus alienigenas vſui eſſe queant, crucemq; ac ſepulchrum, tanquam gladium ancipitem arripe. Et quando multiplices ſuas & intricatas nugacitates de diuinitatis paſsibilitate protulerint, duc illos ad Crucem propoſitã, & ibi trucida. Quando autem noſtram in Chriſto naturam negare; & in inanem quandam vmbram ac phantaſiam cõuertere occœperint, duc illos ad Dominicum ſepulchrum, ibique neci deditos ad Orcum demitte.

CAPVT DECIMVMQVARTVM.

Quid Ammonius Alexandrinus contra Monophyſitas egerit.

ETENIM doctiſsimus, & experientiſsimus Doctorum Ammonius Alexandrinus hac ratione Halicarnaſſeum in poteſtatẽ ſuam redactum vita exuit; Aſſumptâ namq; per ſimulationem, Samoſatẽſis perſonâ, vt vidit Iulianum ad phantaſiam, & inanem exiſtimationem, vmbratilemq; ſpeciem confugere; identidemque carnem Chriſti deificatam, & in diuinam naturã conuerſam, & vt aceti guttam in diuinitatis pelagus tranſmutatam aſſerere;

τος λέγοντα ἀλλοιωθεῖσαν τὴν ἁγίαν σάρκα τοῦ Χριστοῦ, ὡσανεὶ διαπριόμενος, καὶ διαπληκτιζόμενος ἐπὶ τῇ ἀθετήσει τῆς ἀληθείας ὁ ἱερὸς Ἀμμώνιος φησὶν πρὸς τὸν Ἰουλιανόν. ὅτι μὲν θεὸς ἀληθὴς ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ. καὶ θεῖον ὄντως αὐτοῦ τὸ ἅγιον σῶμα τῇ θεώσει, καὶ ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος, παντί που δῆλον. ὁ γὰρ μὴ οὕτω φρονῶν, ξένος, καὶ ἀλλότριός ἐστι τῆς ἁγίας θεότητος αὐτοῦ. ὅμως διὰ τὴν πολλὴν, καὶ φιλόνεικον ὑμῶν ζυγομαχίαν, τῶν ἀρνουμένων τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ. Ἰδοὺ οἰκειοῦμαι. καὶ ἀναλαμβάνω πρόσωπον τοῦ Σαμωσατέως, ἢ μᾶλλον ἀπίστου Ἰουδαίου Φίλωνος τοῦ φιλοσόφου. καὶ οὗτος γὰρ πρὸς Μνάσωνα τὸν Ἀποστολικὸν μαθητὴν, ἀντίρρησίν ποτε περὶ τῆς Χριστοῦ ποιούμενος θεότητος, διηρώτα τὸν Μνάσωνα λέγων. τίς, καὶ ποία, καὶ πόθεν ἡ ἀπόδειξις, ὅτι θεὸς ὁ Χριστός; κἂν γὰρ τὸ ἄσπορόν φησι τοῦ τόκου αὐτοῦ τοῦ ἐκ Παρθένου εἴπῃς, τιμιωτέρα, καὶ παραδοξοτέρα ἐστὶν ἡ τοῦ Ἀδὰμ γένεσις, αὐτοχείρως ὑπὸ θεοῦ διαπλασθεῖσα, καὶ θείῳ ἐμφυσήματι ψυχωθεῖσα, καὶ καθαρωτέρως τῆς ἐν μήτρᾳ γυναικείᾳ, καὶ κόπρῳ, καὶ βρόμῳ, καὶ ῥύπῳ ἐννεαμηνιαίας κατοικήσεως τοῦ Ἰησοῦ γεγενημένη. κἂν τὰ σημεῖα, ἅπερ ἐποίησε μετὰ τὸ βάπτισμα αὐτοῦ εἴπῃς, κἀγώ σοι λέγω. ὅτι οὐδεὶς ἐπὶ γῆς ἐποίησε σημεῖα, καὶ τέρατα ἐπὶ χρόνους τεσσαράκοντα, οἷα ἐποίησε Μωσῆς. κἂν μοι πάλιν δείξῃς τὸν Ἰησοῦν ἐγείροντα νεκρόν· ἀλλ' ὁ προφήτης Ἰεζεκιὴλ ἀνέστησεν ἐκ τῶν ξηρῶν ὀστέων πλῆθος ἀμέτρητον παρ' ἐμβολῆς νεκρῶν ἀνθρώπων. καὶ αὐτὸς δὲ ὁ Ἰησοῦς εἶπεν. ὅτι μείζονα αὐτοῦ ποιήσουσι τινὲς ἄνθρωποι σημεῖα.

Εἰ δὲ φάσκετε πρὸς ἡμᾶς, ὅτι ὡς θεὸς ἀνελήφθη εἰς οὐρανοὺς ὁ Ἰησοῦς, μάλιστα μὲν ὁ προφήτης Ἠλιοὺ, ἐνδοξοτέρως ἀνελήφθη ἐν ἅρματι πυρὸς, καὶ ἵπποις πυρός. ὥστε μείζω πάσης ὑμῶν βλασφημίας ἐστὶ, τὸ, ὀνομάζειν θεὸν οὐράνιον τὸν Ἰησοῦν. καὶ γὰρ καὶ ὁ θεὸς αὐτὸς πρὸς Μωσέα εἴρηκεν, ὅτι οὐκ ὄψεται ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται. καὶ ἡ ἡμετέρα δὲ γραφὴ μαρτυρεῖ. ὅτι θεὸν οὐδεὶς ἑώρακε πώποτε. θεὸν εἶδεν ἀνθρώπων οὐδεὶς, οὔτε ἰδεῖν δύναται. καὶ πῶς οὐκ αἰδοῦνται Χριστιανῶν κήρυκες λέγοντες θεὸν

τὸν

rere; Ammonius quaſi ad tantum veritatis contemptum attonitus, & ſtupore perculſus, hunc in modum Iulianum affatus eſt: Chriſtum, filium Dei, verum Deum eſſe, & ſacrum corpus eius deificatione diuinum euaſiſſe, & in ipſo omnem diuinitatis plenitudinem inhabitare, neminem latet. Nam qui aliter ſentit, is à ſacratiſsima Chriſti diuinitate planè alienus eſt. Nihilominus propter contumaciſsimam veſtram litigandi pruriginem, qua impulſi humanam Chriſti naturam negatum itis; Ecce tibi perſonam Samoſatenſis induo, mihiq; vendico; vel potius perſonā infidelis Iudæi, Philonis Philoſophi; nam & iſte ad Mnaſonem, Apoſtolorum diſcipulum, diuinitati Chriſti contradixit,* διχρῶτα Mnaſonem appellitans. Quæ & qualis, & vnde adferri poteſt demonſtratio, Chriſtum eſſe Deum? Nam ſi producas Chriſti ex virgine ortum, nullo ſeminis interuentu; honorabilior & admirabilior eſt Adami formatio, ipſis Dei manibus peracta; & diuino ſpiraculo animata; longeque mundior & purior, quàm illa in vtero muliebri, inque ſordibus naturaliter exiſtere ſolitis; non abſque nouem menſium intra matris viſcera incolatu. Si proferas ſigna, quæ poſt baptiſmum patrauit, reſpondeo, neminem mortaliū in terris tanta ſigna ac prodigia edidiſſe per quadraginta annos, quanta Moyſes. Si rurſus obiicias mihi, Ieſum, mortuos excitantem: noueris, Ezechielem Prophetam oſſa arida infinitorum hominum excitaſſe: & ipſe Ieſus prædixit fore, vt quidam homines maiora, quàm ipſe operarentur miracula.

** Videtur poni pro δίχροον, δίχρων, ſeu διχρόον δίχρῶν,* quod bifidū, biformem, bicipitem *ſignificat.*

Hæc omnia dicuntur ab Ammonio in perſona Pauli Samoſatenſis.

Ezech.37.

Ioan.14.

Si autem occuratis nobis, Chriſtum in cœlos aſſumptum eſſe, quis glorioſius in cœlum eſt aſſumptus, quàm Propheta Helias, igneo ad aſtra curru igneisq; equis ſubuectus? Quare inter blaſphemias veſtras hæc maximè eminet, quòd Ieſū cœleſtem Deum nuncupatis; quia ipſe Deus ad Moyſen dixit: *Non videbit me homo, & viuet.* Et ſcriptura veſtra teſtatur; Deum à nemine vnquā viſum eſſe; *Deum, quē nemo vidit vnquā, ſed nec videre poteſt.* Et qua tandē ratione pudore non ſuffunduntur Chriſtianorū prædicatores, quando Ieſum nominant Deum? Scri-

Actor.1.

4.Reg.2.

Exod.33.

Ioan.1.

τὸν Ἰησοῦν; εἴρηται γὰρ ὅτι ὁ θεὸς πῦρ καταναλίσκον ἐστίν. Εἰπέ μοι, θεὸς πύρινος πεινᾷ; θεὸς πύρινος διψᾷ; θεὸς πύρινος πτύει; θεὸς πύρινος περιτέμνεται, καὶ αἱμορροεῖ; καὶ ἀπορρίπτει εἰς γῆν περιτόμιον σάρκα, καὶ αἷμα, καὶ κόπρον γαστρός, ἅπερ ἅπαντα ἐκριφέντα ἀπὸ τοῦ Ἰησοῦ εἰς γῆν, ὑπὸ κυνῶν, ἔσθ' ὅτι, ἢ θηρῶν, καὶ ὀρνίθων κατεβρώθη, καὶ κατεπόθη, καὶ ὑπὸ κτηνῶν κατεπατήθη πάντα τὰ ἐκ τῆς σαρκὸς αὐτοῦ ἐκκοπέντα, καὶ ἐκριφέντα, καὶ ἀποβληθέντα. εἴτε πτύελοι, εἴτε ὄνυχες, εἴτε τρίχες, εἴτε αἷμα, εἴτε ἱδρὼς, εἴτε δάκρυον, ἅπερ πάντα μοῖραι τινὲς, καὶ μέρη εἰσὶ συνουσιωμένα τῇ οὐσίᾳ τοῦ σώματος, καὶ κατὰ πρόσβασιν, καὶ αὔξησιν ἐκκοπτόμενα ἀπορρίπτονται. λέγετε γὰρ ὅτι ὡμοιώθη οἷς κατὰ πάντα τρόπον τοῖς ἀνθρώποις ἐν τῇ σαρκὶ αὐτοῦ χωρὶς ἁμαρτίας. διὸ καὶ θανόντα αὐτὸν τριήμερον κηρύττετε θεὸν ὄντα. καὶ πῶς θεὸς πῦρ καταναλίσκον δύναται ἀποθνήσκειν; ὅπου γε οἱ δοῦλοι αὐτοῦ ἄγγελοι ἀποθνήσκειν οὐ δύνανται. οὔτε μὴν τὰ πονηρὰ τῶν δαιμόνων πνεύματα, οὔτε πάλιν αἱ τῶν ἀνθρώπων ψυχαί. ποῖος δὲ πάλιν λέγω θεὸς, ὁ ἐξουσίαν ζωῆς, καὶ θανάτου ἔχων, φεύγει, ὡς ἔφυγεν Ἰησοῦς ἀπὸ Ἡρώδου, ἵνα μὴ νήπιος φονευθῇ; ποῖος θεὸς, πειράζεται ὑπὸ τοῦ διαβόλου, ἐπὶ ἡμέρας τεσσαράκοντα; ποῖος θεὸς γίνεται κατάρα, καθὰ Παῦλος περὶ Ἰησοῦ φησί; ποῖος δὲ θεὸς ἀναμάρτητος ποιεῖ ἁμαρτίαν; δι' ὑμᾶς γὰρ ὡς λέγεται, ἁμαρτία ὁ Ἰησοῦς γέγονεν. Εἰ δὲ θεός ἐστι, πῶς προσηύξατο ἵνα παρέλθῃ τὸ ποτήριον τοῦ θανάτου; καὶ οὐκ εἰσηκούσθη. Εἰ θεός ἐστι πῶς ὑπὸ θεοῦ ἐγκαταλειφθεὶς ἔλεγεν, ὁ θεός, ὁ θεός μου, ἵνα τί με ἐγκατέλιπες; θεὸς ὑπὸ θεοῦ ἐγκαταλιμπάνεται; θεὸς θεοῦ δέεται; λέγων. μὴ ἐγκαταλίπῃς τὴν ψυχήν μου εἰς ᾅδου. Θεὸς δεσμεῖται, καὶ κολαφίζεται, καὶ ἐμπτύεται, καὶ σφάζεται; Εἰ δὲ ἄρα θεὸς ἦν, ἐχρῆν αὐτὸν πατάξαι τοὺς συλλαβεῖν αὐτὸν θέλοντας. ὥσπερ ἐπὶ τοῦ Λὼτ ὁ ἄγγελος Σοδομίτας ἐπάταξεν. ἀλλὰ τὸ ἀδύνατον τῷ Ἰησοῦ, ὀνομάζετε ὑμεῖς μακρόθυμον.

Ἀνάθε-

ptum est enim, Deum esse ignem cōsumentem. Dic, oro, num Deus igneus famet? Num sitit? Num Deus igneus spuit? num Deus igneus circumciditur, & sanguinem fundit; & in terram proiicit resectam carnem, & sanguinem, & retrimēta ventris, quæ omnia à Iesu in terram abiecta, à canibus, est quando & à feris, & à volucribus, absumpta, & deuorata sunt; & conculcata à iumentis omnia illa, quæ ex carne illius exsecta, abiecta, & effusa fuere, siue sputa, siue vngues, siue capilli, siue sanguis, siue sudor, siue lacrymæ, quæ omnia partes quædam sunt substantiæ corporis coniunctæ: vario adauctu, & accessu acquiri, & deperdi consuetæ. Sacris enim litteris proditum est, Christum per omnia in carne sua hominibus assimilatū esse, absque peccato. Quare eum, qui toto triduo exanimis iacuit, Deum profitemini? Et quis Deus, qui sit ignis cōsumens, mori potest, cum ne Angeli quidem ministri eius, mori queant; imò neque improbi Dæmones, neq; hominum animæ? Qualis, iterum dico, Deus, vitam, ac mortem sua in potestate habens; qui fugit, vt fugit Iesus; Herodē; ne tenera adhuc ætate trucidetur? Qualis Deus, qui à Diabolo quadraginta dies tentatur? Qualis Deus; qui maledictū efficitur, vt de Iesu Apostolus testatur? Quis Deus, omnis peccati expers peccatū committit? nam propter nos Iesus peccatum factus est, vt fertis. Si verò Deus est, quomodo orauit, vt à se transiret calix mortis, nec exauditus est? Si Deus est, quomodo à Deo desertus clamauit? *Deus Deus meus, vt quid me dereliquisti?* Num Deus à Deo deseritur? Num Deus Deo eget quando ait: *Ne derelinquas animam meam in inferno.* An Deus ligatur, colaphis cæditur, cōspuitur, & perimitur? Si Deus erat, debebat illos, qui eum capere nitebantur, percutere, sicut tempore Loth Angelus percussit Sodomitas. Sed impotentiam Iesu nominare soletis *longanimitatem.*

Deut.4. Heb.4. Matth.2. Matth.4. Gal.3. Luc.22. Matth.27. Marc.15. Psal.15. Actor.2. Gen.19.

Ἀνάθεμα, καὶ κατάθεμά σοι, ὅτι καὶ αὐτοὶ οἱ Δαίμονες υἱὸν θεοῦ ὡμολόγησαν τὸν Χριστόν.

Ἀκουέτωσαν ταῦτα αἱ τῶν αἱρέσεων θυμελεῖς ἀρχήστραι, αἱ διοκοῦσαι ἡμῶν τὸν Χριστόν, καὶ διὰ τοῦτο δεχόμενοι τὸ ὁμολογεῖν φύσιν τὸ πανάγιον σῶμα αὐτοῦ. Ἰδοὺ γὰρ ὁ μιαρὸς Φίλων οὐδὲν περὶ φύσεως ἐμέμψατο, ἀλλὰ τοῖς πάθεσι Χριστοῦ, καὶ ταῖς ὕβρεσι σκανδαλιζόμενος προσκέκοφε, καθὼς καὶ πάντες οἱ ἐθνικοί τε, καὶ ἄπιστοι. λοιπόν, εἰ ἡμῶν τὴν ἄτιμον ἡμῶν αὐτὸν βούλεσθε λέγοντες τῇ ἐκ κρείττονος ἐκνικήσει ἀποθεωθεῖσαν τὴν σάρκα, καὶ τῷ πελάγει τῆς θεότητος ὁμοιωθεῖσαν, καὶ τοιαύτην γενομένην, οἷος ὁ θεώσας αὐτὴν λόγος, μηδὲν τῶν προειρημένων παθῶν, καὶ τῶν εὐσκανδαλίστων φωνῶν, ὧν ὁ μιαρὸς Φίλων ἐν Χριστῷ ἀπηκρίβωσεν, ὁμολογήσετε. καθ᾽ ὑπερβολὴν γάρ εἰσιν ἀτιμότερα τὰ προκείμενα πάθη ὑπὲρ τὸ εἰπεῖν φύσιν, ἢ θέλησιν, ἢ ἐνέργειαν ἀνθρωπίνην ἐν αὐτῷ τῷ Χριστῷ. τὴν αὐτὴν δὲ τῆς ἀπωλείας ὁδὸν τῷ Φίλωνι βαδίζων, καὶ ὁ ἐσβεσμένος Μάρων ὁ μιαρός, Νεστορίου ἀπόγονος ὑπάρχων, συντάττων κατὰ τῶν ὁμολογούντων θεὸν τὸν Χριστόν. οὕτω πως φησὶν ἐν τῇ δυσσεβεῖ αὐτοῦ συγγραφῇ. σοφίζονται δὲ οἱ τῷ Αἰγυπτίῳ Κυρίλλῳ πειθόμενοι φάσκοντες. ὅτι ἀχώριστος ἦν ἐν τῷ τάφῳ τοῦ σώματος τοῦ Ἰησοῦ ἡ θεότης, μεταποιοῦσα αὐτό, ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν. πρὸς οὓς ὡσανεὶ πρὸς παῖδας τινὰς ἐν θεάτρῳ παίζοντας ἐρεῖ τις, ποῦ γάρ ἐστι τόπος, ὦ ἀνόητοι, ἔνθα οὐκ ἔστιν ἡ ἀπερίγραπτος θεότης; ὁ γὰρ τὸν οὐρανόν, καὶ τὴν γῆν πληρῶν, καὶ πανταχοῦ παρών, πάντως ὅτι καὶ ἐν τῷ τάφῳ τοῦ Ἰησοῦ ἦν, ὥσπερ ἐν πάσῃ τῇ κτίσει. Εἰ δὲ ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν τὸ σῶμα Χριστοῦ ἠγέρθη, οὐδὲν θαυμαστόν. ἄπιστοι γὰρ ἐθνικοὶ διὰ θανάτου ἄφθαρτα σώματα ἀνιστάμενα ἔχοντες.

Ἀνάθεμά σοι εἰς αἰῶνα.

Ἔστι γοῦν τὸ παρ᾽ αὐτοῖς τοῖς τῆς συνόδου Χαλκηδόνος ἐπιμεμφομένοις, τὴν δὲ φύσιν τῆς σαρκὸς τοῦ Χριστοῦ ἀπαρνουμένοις ὄντως ἐκπλήξεως ἀνάπλεων. ὅτι περ τὸ ὁρώμενον σῶμα, καὶ κρατούμενον, καὶ αὐξούμενον, καὶ σπαργανούμενον, καὶ περιτεμνόμενον,

καὶ

Anathema tibi & Catathema, quia ipsi etiam Dæmonem Iesum Christum confessi sunt esse Deum.

AVdiant hæc insanæ ac furiosæ hæreticorum turbæ, quæ specie quasi & prætextu honorandi Christum confiteri abnuunt sanctissimum eius corpus naturam esse; Ecce scelestus ille Philo nullam de natura litem mouit; sed passione, ignominiâ & contumeliis Christo illatis offensus, impegit; sicut & omnes Ethnici, & à fide recta alieni. Quare si de cætero Christo hunc honorem omni honore cultuque vacuum deferre velitis; dicentes, carnem præstantioris victoriâ deificatam, & diuinitatis pelago assimilatam, talemque factam esse, quale est Verbum quod carnem deificauit; nihil eorum opprobriorum, quę execrandus Philo enumerauit, quæq; ad generandum scandalum tam accommodata sunt, in Christo constituatis oportet. Absque vlla enim comparatione contemptiora, & despicatiora sunt omnia prædicta, quam si quis naturam & voluntatem, & operationem humanam Christo attribuat. Eandem porrò cum Philone inscitiæ viam tenens detestãdus Maro; vnus ex * Nestoris posteris differens aduersus diuinitatis Christi assertores, sic in impio suo libro scribit. *Falluntur, qui Ægyptium Cyrillum auscultantes, dicunt; Iesu diuinitatem in sepulchro fuisse à corpore inseparabilem, transferens illud à corruptione in corruptionem.* Quos tanquam pueros in theatro ludentes non iniuria quis hunc in modum alloquatur. Quis nam locus est, ô amentes, qui incircumscripta diuinitate vacet? Nam, qui cœlum & terram implet, & vbique præsens est, omnino etiam in sepulchro Iesu erat; sicut in omnibus aliis rebus creatis. Si verò corpus Christi ex corruptione ad incorruptionem euasit, id mirum non est, cum & Ethnici, quãdo à mortuis resurgunt, habeant corpora nulli corruptioni exposita.

* *Nestorij.*

Anathema tibi in perpetuum.

Est igitur vel ipsis quoque Chalcedonensis Synodi vituperatoribus, naturam verò carnis Christi inficiantibus, res admiratione dignissima, corpus quod sub aspectum cadit, quod certo spatio comprehenditur, quod augmentum ca-

καὶ ψηλαφόμενον, καὶ δεσμούμενον, καὶ ῥαπιζόμενον, καὶ σφαζόμενον, καὶ κεντούμενον, καὶ βασταζόμενον, καὶ θαπτόμενον, καὶ θυόμενον, καὶ κλώμενον, καὶ μελιζόμενον, καὶ ἐσθιόμενον, καὶ θρυπτόμενον, καὶ μεταδιδόμενον, φάσκουσι μὴ εἶναι φύσιν, ἤγουν ἀλήθειαν. τὸν δὲ λόγον, τὸν ἀόρατον, ὅν περ οὔτε εἶδον, οὔτε ὄψονται, οὔτε ἐκράτησαν, οὔτε κρατήσουσιν, οὔτε κατέλαβον, οὔτε καταλήψονται, οὔτε περιέγραψαν, οὔτε ἐθανάτωσαν, οὔτε ἐμέλισαν, οὔτε ἔφαγον, οὔτε ὅλως, τί τῶν αὐτοῦ καταλαβέσθαι δύνανται, οὐ φύσιν, οὐ μορφὴν, οὐκ εἶδος, οὐ χρῶμα, οὐ σχῆμα, οὐ μέτρον, οὐ κίνησιν, οὐ μετάστασιν, οὐ * μετάβασιν, οὐ κέλευσιν, ἢ ἀναχώρησιν, οὐδ᾽ ἄλλό τι τῶν ἐν τῷ θεῷ λόγῳ ὄντων, τοῦτον ὁμολογοῦσιν οὐσίαν. καὶ μὴν, ἵνα τι καὶ παραφρονῶν πρὸς αὐτοὺς εἴπω, τὸ ὁρώμενον, καὶ κρατούμενον ἐν τοῖς πράγμασι, μᾶλλον πιστεύεται * καὶ οὐσία ὑπάρχουσα ὁμολογεῖται. παρὰ πάντων, ὑπὲρ τὸ μὴ ὁρώμενον, ἢ κρατούμενον, ἀλλὰ λόγῳ ἐξ ἀκοῆς πιστευόμενον. τὰ γὰρ τῆς Χριστοῦ θεότητος πίστει ἐξ ἀκοῆς παρειλήφαμεν. τὰ δὲ τῆς σαρκὸς αὐτοῦ, διὰ τῆς πείρας αὐτῆς τῶν πραγμάτων ἑωράκαμεν, καὶ ἐψηλαφήσαμεν.

* MS. ἄλλως καταβασιν.

* φύσις.

Ὡς εἰ δόξει τινὶ τῶν ἀπίστων περιεργότερον ἀπαιτῆσαι ἡμᾶς φυσικὰς ἀποδείξεις περὶ τῆς θεότητος τοῦ Χριστοῦ, καὶ ὁποία ἡ ταύτης φύσις; καὶ πόθεν ὅτι ἐν τῇ σαρκὶ αὐτοῦ ἦν ὁ θεὸς ὁ ποιητὴς τῶν ἁπάντων; οὐδὲν ἕτερον τῷ ταῦτα περιεργαζομένῳ δυνάμεθα λέγειν. ἀλλ᾽ ἢ ὅτι πίστει μόνῃ τὰ περὶ τῆς θεότητος πάντα παραδίδονται. πίστει ἀπεριέργῳ, καὶ οὐκ ἐξερευνήσει, οὐδὲ καταλήψει. καὶ γὰρ οἱ πιστοὶ διὰ τῶν σημείων τοῦ Χριστοῦ ἐπιστώθημεν τὸ ἀληθὲς τῆς αὐτοῦ θεότητος. ἀλλ᾽ ἤκουσας πρὸ βραχέος, πῶς ὁ δι᾽ ἐναντίας ἀντέθηκε τοῖς Χριστοῦ θαύμασι, τὰς ἀμυθήτους Μωσέως σημειοποιΐας. καὶ γοῦν πολέμου κατὰ τὴν Αντινόπολιν πρὸς Ακέλουθον τὸν σοφιστὴν τὰς διαλέξεις ποιουμένῳ, Ιουδαῖον τὸν αὐτὸν τυγχάνοντα, ἀντιθέντος καὶ αὐτοῦ τοῖς τοῦ Χριστοῦ θαύμασι τὰς Μωσέως θαυματουργίας. εἶτα ἐμοῦ εἰρηκότος, ὅτι Μωσῆς μὲν ὡς προφή-

pit, quod fasciis inuoluitur, circumciditur, tangitur, ligatur, colaphis cæditur, occiditur, trāsfigitur, portatur & sepelitur, quod immolatur, frangitur, diuiditur, manducatur, conteritur, distribuitur, & participatur; non esse naturam, seu veritatem: Verbum verò inaspectabile, quod neq; viderunt, neque videbunt; neque comprehenderunt, neque comprehendent, neq; assecuti sunt, neq; assequentur, neq; loco circumscripserunt, neq; interfecerunt, neq; in Patres diuiserunt, neq; manducarunt; cuius nihil penitus animo concipere queunt, non naturam, non formam, non speciem, non colorem, non figuram, non mensuram, non motum, non transmutationem, nō descensum, non accessum, non recessum, non aliud quiddam eorum, quæ in diuino Verbo insunt, hoc, inquam, Verbum naturam esse confitentur. Atqui, vt aliquid, tanquam insipiens proloquar, id quod videtur, & alicubi comprehenditur, magis ab omnibus naturæ nomen mereri cēsetur àc creditur, quàm illud, quod videndi sensum, omnemque loci comprehensionem effugit: solaque auditione, & aliena relatione cognitum habetur. Nam Christi diuinitatem fide ex auditu accepimus. At carnem eius, & quæ ad carnem spectant, ipsa rerum experientia didicimus, vidimus, & contrectauimus.

Itaque si aliquis ex infidelium numero studiosius, & cupidius naturales demonstrationes, quibus Christi diuinitas comprobetur à nobis, reposcat, qualis nimirum sit diuinitatis natura, & vnde nouerimus, Deum, omnium rerum conditorem, carnem assumpsisse; nihil aliud hæc curiosius sciscitanti & indaganti respondere valemus quàm quod omnia, quæ ad diuinitatem Christi pertinent, fide sola acceperimus, & accepta teneamus; fide, inquam, adquiescere simpliciter solita; absque inuestigatione & comprehensione. Et quamuis nos fideles de Christi diuinitate per miracula certi facti sumus; paulò tamen antea audisti, quomodo aduersarius miraculis Christi inexplicabilia Moysis miracula opposuerit. Acoluthus quoque Sophista, Iudæus & ipse; cum in disputationis certamen mecum Antinopoli descendisset, Moysis prodigia miraculis Christi opposuit; Deinde cū dicerem,

Moysem,

προφήτης ὢν, διὰ προσευχῆς ἐξετέλει πράγματα. ὁ δὲ χριστὸς, ὡς θεὸς, αὐτοκελεύστως τὰ θαύματα διεπράττετο δίχα προσευχῆς. πρὸς ταῦτα ἔφασκεν ὁ Ἰουδαῖος. ὅτι καὶ ὁ χριστὸς διὰ προσευχῆς τὸν Λάζαρον ἤγειρε, καὶ διὰ προσευχῆς, τοὺς πέντε ἄρτους ἐπλήθυνε, καὶ προσηύξατο παρελθεῖν αὐτὸ τὸ ποτήριον, καὶ εἰς ὄρος κατ' ἰδίαν, θεῷ ὡς ἄνθρωπος προσηύχετο, καὶ ὑπὲρ σταυρωσάντων τῷ θεῷ προσηύχετο λέγων. ἄφες αὐτοῖς. οὐ γὰρ οἴδασι τί ποιοῦσιν. εἰ δὲ καὶ χωρὶς προσευχῆς ἐποίησέ τινα σημεῖα, οὐδὲν θαυμαστόν. καὶ Μωσῆς γὰρ, τὰ μὲν διὰ προσευχῆς, τὰ δὲ καὶ χωρὶς προσευχῆς ἐθαυματούργει, ὥσπερ καὶ Ἠλίας χωρὶς προσευχῆς τὸ ἔλαιον, καὶ τὸ ἄλευρον ἐπλήθυνε. χωρὶς προσευχῆς * Ἰορδάνην τὸν Ἰορδάνην ἔσχισε. χωρὶς προσευχῆς, καὶ Ἐλισσαιὲ τὸ ἔλαιον ηὐλόγησε, καὶ τὸν θάνατον τὸν ἐν τῷ λέβητι ἰάσατο. χωρὶς προσευχῆς τὸν λεπρὸν Νεεμὰν ἐκαθάρισε. καὶ νεκρὸν ὁ νεκρὸς Ἐλισσαιὲ ἀνέστησεν. Εἰ δὲ λέγεις μοι, ὅτι περ Μωσῆς, καὶ οἱ προφῆται, ὑπὸ θεοῦ ἀπεστάλησαν, ὡς δοῦλοι, κἀγὼ σοὶ ἐρῶ, ὅτι ὁ χριστὸς ἔλεγεν, ὅτι ὁ θεὸς αὐτὸν ἀπέστειλε. καὶ ὅτι οὐ δύναται χωρὶς τοῦ θεοῦ ποιῆσαι οὐδέν. καὶ ὅτι ὅσα λαλεῖ, ἐκ τοῦ θεοῦ ἔλαβε πρόσταξιν. τὸ, τί εἰπεῖν, καὶ τί λαλῆσαι, καὶ μὴ ποιῆσαι τὸ θέλημα τοῦ ἑαυτοῦ, ἀλλὰ τὸ, τοῦ πέμψαντος αὐτόν. Εἰ δὲ καὶ σεισμὸς, καὶ σκότος γέγονεν, ὡς λέγετε, ὅτε ὁ Ἰησοῦς ἐσταυρώθη, ἀλλὰ μὴν καὶ ἐφ' ἑτέρων ἁγίων πολλάκις ὑπὸ τινων ἀνόμων ἀδίκως ἀποθανόντων, σημεῖα, καὶ σεισμοὶ καὶ τέρατα γεγόνασιν.

*Ἠλίας.

Ταῦτα, καὶ τὰ τοιαῦτα τῶν ἀπίστων, καὶ ἀθέων περὶ τῆς θεότητος τοῦ χριστοῦ γλωσσαλγούντων, καὶ βλασφημούντων λεγέτωσαν ἡμῖν οἱ φάσκοντες τὴν τοῦ κυρίου σάρκα ἀνακραθεῖσαν, καὶ τῷ πελάγει τῆς ἀοράτου θεότητος ὁμοιωθεῖσαν. πόθεν τὸν δι' ἐναντίας πείθουσιν, ὅτι θεός ἐστιν ὁ χριστὸς, εἰ μὴ πίστει μόνῃ ἀπεῖργας; τὴν δὲ τοῦ σώματος αὐτοῦ φύσιν, οὐ μόνον πίστει, ἀλλὰ καὶ δι' αὐτῆς τῆς πείρας τῶν πραγμάτων, ὧν ἑωράκαμέν τε, καὶ ἐψηλαφήσαμεν,

Moyſen, vt Prophetam, fuſis precibus, portẽta patraſſe; Chriſtum autem ſuo nutu & imperio, abſq; precibus, miracula feciſſe, occurrit Iudæus: Etiam Chriſtum oratione Lazarum excitaſſe; & oratione quinque panes multiplicaſſe; oraſſe inſuper, vt tranſiret à ſe calix, & in monte ſeorſim preces, hominum more, ad Deum fudiſſe, proque crucifixoribus ſuis precatũ eſſe: *Pater dimitte illis, non enim ſciunt, quid faciunt.* Quod ſi etiam abſque precibus ſigna quædam patrauit, id mirum non eſſe: nam & Moyſen alia prodigia precando, alia abſque precibus edidiſſe; ſicut & Helias, ſine precum interuentu, oleum & farinam multiplicauit. Abſque precibus Iordanem diuiſit. Abſque precibus Heliſæus etiam oleum benedixit; & mortem, quæ in olla erat, depulit. Abſque precibus Naaman leproſum mundauit, mortuusque Heliſæus mortuum reſuſcitauit. Si dicas, Moyſen & Prophetas à Deo miſſos eſſe, tanquam miniſtros, quodque ſine ope diuina nihil potuerint efficere: dicam & ego: Ipſum Ieſum profiteri, ſe à Deo miſſum eſſe; ſeque loquendi poteſtatem loquendi ea, quæ loquitur, à Deo accepiſſe; neque ſuam ſe voluntatem facere, ſed eius, à quo miſſus ſit. Quod ſi terræ motus exſtitit, & tenebræ factæ ſunt, quando Chriſtus crucifixus eſt, noſſe oportet, ſigna & terræ motus, & prodigia crebrò exſtitiſſe, quando etiam alij ſancti iniuſtè ab improbis necabantur.

Ioan.11. Ioan.6. Luc.22. Luc.6. Luc.23. Exod.7.8.9.10. 3.Reg.17. 4.Reg.4. Ioan.5. Ioan.14. Ioan.5. Matth.27.

Hæc & his ſimilia à fide noſtra alienis, & atheis de diuinitate Chriſti impiè blaterantibus & blaſphemantibus; dicant nobis illi, qui Chriſti carnem inaſpectabili diuinitatis pelago commixtam, & aſsimilatam contendunt; vnde aduerſariis diuinitatem Chriſti perſuadere velint, niſi ſola fide, curioſè inquirere non conſueta? At verò naturam, qua corpus conſtat, non modò nouimus fide, ſed ipſâ experientiâ rerum, quas vidimus & contrectauimus; illudque corpus quotidie in natura ſuâ, & veritate communi-

μεν, καὶ καθ' ἡμέραν φύσει, καὶ ἀληθείᾳ μεταλαμβάνομεν ἐσθίοντες. ἀλλ' οἶμαι πάντας τοὺς παραιτουμένους, καὶ ἀπαρνουμένους τὴν φύσιν, καὶ τὰ τοῦ σώματος τοῦ χριστοῦ, καὶ τὰς ταύτης ἰδιότητας, ἀπ' αὐτοῦ ἐκείνου Μαίεντος τοῦ μυσαροῦ μέχρι καὶ νῦν, μὴ ἄλλοθέν ποθεν ἀποστρέφεσθαι, καὶ ἀποφεύγειν αὐτοὺς ταῦτα, εἰ μὴ ἐκ τοῦ εἶναι αὐτοὺς ὅλους δι' ὅλου βεβορβορωμένους τῇ πυρώσει, καὶ ἀσελγείᾳ, καὶ ἐπιθυμίᾳ, καὶ ἡδυπαθείᾳ τῆς πορνείας, καὶ τῷ γαργαλισμῷ τῶν ἡδονῶν τοῦ σώματος, καὶ τοῦ λογισμοῦ, καὶ τῆς ψυχῆς αὐτῶν, καὶ νύκτωρ τε, καὶ μεθ' ἡμέραν μολυνομένους λογιστικῶς τε, καὶ πρακτικῶς περὶ τὰς τῶν σωμάτων ἐρωτομανίας, καὶ ἀκαθαρσίας, καὶ ἀνδρομανίας, καὶ θηλυμανίας, καὶ ἡδυπαθείας, καὶ σαρκικῆς αἰσχρουργίας, καὶ ὁρᾶν διηνεκῶς ἐν ἑαυτοῖς ὥσπερ τινὰ φλόγα δεινῆς καμίνου, ἅπτοντας τοὺς γαργαλισμοὺς τῆς φλογὸς, καὶ τῶν σπινθήρων τῶν τῆς σαρκὸς αὐτῶν πυρώσεων τῆς ἀσελγοῦς ὀρέξεως, καὶ τούτου λοιπὸν οἰομένους ἀκάθαρτον εἶναι τὴν φύσιν τοῦ σώματος, καὶ ἀνάξιον ὅλως κἂν λόγῳ ψιλῷ ὁμολογεῖσθαι, ὅτι σῶμα τὸ καθ' ἡμᾶς ἀνέλαβεν ὁ χριστὸς, ἢ ἀνθρωπίνην σάρκα, ἢ ἐνέργειαν, ἢ θέλημα, ἢ ἰδιότητα παντοίαν ὁμοούσιον ἡμῶν, νομίζοντες οἱ κατάσπιλοι, καὶ βορβορώδεις χοῖροι, ὅτι περ κατὰ τὴν αὐτῶν τῆς σαρκὸς ἡδυπάθειαν, καὶ φιλήδονον ἀκαθαρσίαν, οὕτω πᾶσα σὰρξ, καὶ πᾶν ἀνθρώπινον σῶμα ἐνεργεῖται, καὶ πολεμεῖται, καὶ μολύνεται, καὶ μαίνεται, καὶ ἐκπυροῦται πρὸς μιαρὰς ὀρέξεις τε, καὶ παρὰ φύσιν ἐμμανεῖς ἡδυπαθείας, καὶ ῥύσεις σαρκομανίας.

Τοιαύτης μιαρᾶς διαθέσεως, καὶ σαρκικῆς ἐκκαύσεως ὢν Οὐαλεντῖνος πρῶτος μετὰ τοὺς ἀποστολικοὺς χρόνους ἀναφανεὶς ἐκήρυξε, μὴ εἰληφέναι σάρκα τὴν καθ' ἡμᾶς τὸν χριστόν. τούτου τὴν ἀκαθαρσίαν τῆς σαρκὸς περιέχων, καὶ Μάνης ὁ δυσσεβὴς ἔφασκε σκιᾷ, καὶ δοκήσει, καὶ οὐ φύσει εἶναι σῶμα τὸ ὁρώμενον τοῦ χριστοῦ. διὸ οὐδὲ κτίσμα θεοῦ εἶναι τὴν σάρκα ἡμῶν ἐδογμάτιζεν, ἀλλὰ κτίσμα τοῦ διαβόλου. καὶ τούτου χάριν φησὶν οὕτως ὑπὸ τοῦ κτίσαντος αὐτὴν, ἐκπυροῦται, καὶ πολεμεῖται δαίμονος. οὐ γὰρ οἰκεῖ φησιν ἐν σαρκὶ

ἡμῶν

cantes manducamus. Existimo porrò omnes illos, qui naturam, & quæ corporis Christi sunt, & proprietates eius inficiantur ac repudiant, à temporibus scelestissimi Manetis vsque ad hanc ætatem, non aliam ob caussam, hæc omnia refugere & auersari, nisi quia, quanti quanti, & vndequaque, fœdati & inflãmati sunt fornicationis ardore, impuritate, cupiditate, & illecebris, voluptatumque corporearum titillatione: & quia tam noctu, quàm interdiu cogitatione simul ac opere flagitiosè corporis amatoriis furoribus & immunditiis, & tam virorum, quàm mulierum illicitis appetitionibus & blandimentis, carnisque turpissimis actionibus immersi volutantur, ita vt perpetuo quasi ardentissimam flammæ fornacem secum circumferant, qua ignis quasi titillationes & scintillas accensæ carnis, lasciuæ inquam appetitionis, exsuscitent. Qua de caussa immundam existimant corporis naturam, ac planè indecens, vt vel sola ratione confiteamur, Christum corpus simile nostro assumpsisse, vel humanam carnem; vel operationem, vel voluntatem, vel proprietatem, eiusdem nobiscum rationis ac substantiæ, *metientes opinor, impuri illi & flagitiosi porci, ex suæ carnis spurcis, & lasciuis actionibus*, omnem aliam carnem, & omne corpus, quasi eodem modo oppugnetur, contaminetur, & polluatur ex inflammatione ad libidinosas, naturæque aduersas cupiditates, furiosasq; voluptates, & insanientis carnis fluxiones.

Hac flagitiosa & carnali affectione, cum Valentinus esset inflammatus, primus post Apostolorum ætatem exstitit, qui doceret, Christum carnem nobis similem non assumpsisse. Pari carnis spurcitiâ sordidatus impius Manes dixit; specie duntaxat & existimatione, non naturâ, & reipsâ corpus esse id, quod in Christo conspicitur. Quapropter carnem nostram creaturam Dei esse negauit, sed creaturam Diaboli asseruit; huiusque gratia, sic à conditore suo Dæmone inflammari &

ἡμῶν ἀγαθόν. διὸ ἡ μὲν σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα τῆς σαρκός. καὶ τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν. καὶ τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; ὅτι σὰρξ, καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσουσι. καὶ οἱ, ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται. ταῦτα, καὶ τὰ τοιαῦτα τοῦ δυσσεβοῦς συλλέξαντος, καὶ παρερμηνεύσαντος Μαίεντος, μετά τινας πλείονας χρόνους ἐγκύψαντες, καὶ ὥσπερ καταθελχθέντες, καὶ τυφωθέντες Εὐτύχιος ὁ Ἀρχιμανδρίτης, καὶ Διόσκορος, Τιμόθεός τε, καὶ Σευῆρος, καὶ μάλιστα Ἰουλιανὸς ὁ Ἁλικαρνασεύς, ταῖς τοῦ Μαίεντος καὶ * Οὐαλεντίνου βίβλοις ὁμοῦ τε, καὶ λοιπῶν, καὶ ἔχοντες τὸν ἐμπαθῆ, καὶ ἀκάθαρτον τῆς σαρκὸς γαργαλισμόν, καὶ τὰς αἰσχρὰς κινήσεις συμπνιγούσας, καὶ σκοτούσας αὐτῶν τὴν διάνοιαν, ἠρνήσαντο μέχρι τῆς δεῦρο Μανιχαϊκῶς τὴν φύσιν, καὶ τούτου χάριν φάσκουσιν αὐτὴν θεότητα εἶναι μόνην, οἰόμενοι, ὅτι περ, ἐὰν ὁμολογήσωσιν ἐπ' αὐτοῦ σαρκὸς φύσιν, ἀκάθαρτόν τι, καὶ ῥυπαρόν, καὶ ἀνάξιον θεοῦ πρᾶγμα ὁμολογοῦσι.

* M.S. Οὐάλεντος, mendose.

Ταῦτα δὲ νῦν οὐ στοχαστικῶς ἐκτιθέμεθα, ἀλλὰ δι' αὐτῆς τῆς πείρας, ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν ἄλλοις τόποις, ἐξ αἱρετικῶν στομάτων αὐτὰ ἀκηκοώς, καὶ μάλιστα Γαϊανιτῶν. οἵτινες, ὥσπερ τινὰ ἀκάθαρτον, καὶ μιαρὸν οὖσαν τὴν τοῦ σώματος ἡμῶν φύσιν, βδελυττόμενοι, καὶ κακίζοντες αὐτήν, οὐ καταδέχονται ὁμοούσιον, ἢ ὁμοιοπαθὲς ἡμῖν σῶμα ὁμολογεῖν ἐν Χριστῷ, προφέροντες, καὶ αὐτοὶ τὰς ἀσθενείας τὰς φυσικὰς τῆς σαρκός, ἃς διὰ τῆς παρατροπῆς, τῆς παρακοῆς ἐσχήκαμεν. λέγω δὴ τὰς τῆς βρώσεως, καὶ πόσεως φθαρτάς, καὶ δυσώδεις ἐκ κοιλίας ἐκκρίσεις. καὶ τὰς ἱδρώτων ἀποφοράς, καὶ τοὺς τῶν ὀδόντων βρόμους, καὶ τοὺς τῶν τραυμάτων ἰχῶρας, καὶ σήψεις, καὶ ὀσμάς, καὶ δυσωδίας, καὶ σκώληκας, καὶ ἀνάξιον λέγοντες εἶναι φύσιν τοιούτου σώματος, ὅλως κἂν προψαῦσαι θεῷ. ἀγνοοῦντες οἱ παράφρονες. ὅτι περ οὐ δι' ἕτερόν τινα τρόπον ἐνηνθρώπησεν ὁ θεὸς λόγος, τὸ οὐράνιον πῦρ, τὸ καταναλίσκον, εἰ μὴ διὰ τὰ τοιαῦτα ἡμῶν πάθη, ὅπως ἑνώσας ταῦτα, τῇ ἰδίᾳ τοῦ νοεροῦ πυρὸς φύσει τῆς θεότητος, ὥσπερ ἐν χωνευτηρίῳ ἀποκαθάρῃ τὸν ἄνθρωπον, καὶ ἀποκαταστήσῃ εἰς τὸ ἀπ' ἀρχῆς τῆς ἀφθαρσίας, καὶ ἀπαθείας, καὶ

* ἀρ-

oppugnari. Non enim, inquit, *in carne nostra habitat bonum. Quocirca caro concupiscit aduersus spiritum, spiritus verò aduersus carnem.* Et, *sapientia carnis est inimicitia apud Deum.* Et, *quis me liberabit de corpore mortis huius? quia caro & sanguis regnum Dei non possidebunt;* Et, *qui in carne sunt, Deo placere non possunt.* Hæc & id genus alia cùm impius Manes collegisset, & perperam exposuisset, post plures annos exorti * Eutychius Archimandrita, Dioscorus, Timotheus, Seuerus, & maximè Iulianus Halicarnassæus, librisque Manetis, * Valentis, & aliorum quasi deliniti captique, & carnis stimulis ac titillationibus impuris instigati ac incensi, prauisque cupiditatibus, mentem eorum suffocantibus pleni, negarunt, Manichæorum more, ad hunc vsque diem, sanctissimi corporis Christi naturam, & ea, quæ naturæ sunt propria; eaque propter aiunt, ipsum sola diuinitate constare: rati, si Christo naturam carnis tribuant, fore, vt impurum quiddam, sordidum, Deoque indignum tribuant. *Rom. 7.* *Gal. 5.* *Rom. 8.* *Rom. 7.* *1. Cor. 15.* *Rom. 8.* ** Eutyches.* ** Valentini.*

Et hæc litteris mandauimus, non coniecturis ducti, sed ab ipsis Hæreticis Alexandriæ, & alibi locorum edocti, maximè à Gaianitis: qui, quasi impuram & detestandam, carnis nostri substantiã auersati, nullo modo adduci queunt, vt confiteantur, Christum habuisse eiusdem substantiæ nobiscum corpus, iisdemque molestiis obnoxium; proferentes & ipsi naturales carnis imbecillitates, in quas ex transgresione incurrimus. Intelligo autem cibi potusque corruptas olidasque ex ventre excretiones, sudoris defluxum, stridorem dentium, vulnerumque saniem, putredines, fœtores, graueolentias, & vermes; dicentes, indignam esse eiusmodi corporis naturam, quæ vel Deum tangat: nec attendunt insipientissimi, aliam ob caussam, diuinum Verbum, ignem illum cœlestem & consumentem, humanam naturam non assumpsisse, nisi propter huiusmodi affectiones, vt illis sibi vnitis, in propriâ intellectualis ignis, diuinitatis videlicet naturâ, tanquam in conflatorio, hominem expurgaret ac restitueret in eum, quo sub primum ortum præditus fuerat, incorruptionis, impassibili- *Prouerb. 27.*

*ἀῤῥωσίας. * L. ἀβρωσίας.

* ἀρωσίας, καὶ ἀθανασίας, καὶ * ἀβρομίας, καὶ εὐωδίας ἀξίωμα. ὅθεν διὰ τὰς τοιαύτας ἀσθενείας, καὶ ῥύπους τῆς γηγενοῦς ἡμῶν σαρκὸς, ἔλεγεν ὁ χριστὸς. ὅτι πῦρ ἦλθον βαλεῖν ἐπὶ γῆν, τοῦτ᾽ ἔστι θεότητα ἑνῶσαι τῇ γεώδει ἡμῶν φύσει. οὐκοῦν περιφανῶς ἐλέγχονται οἱ τὴν κατ᾽ εἰκόνα, καὶ ὁμοίωσιν θεοῦ ἡμῶν φύσιν βδελυττόμενοι, καὶ κακίζοντες, καὶ ἐνυβρίζοντες ἡμῶν τὸ σῶμα τὸ ὑπὸ χειρῶν θεοῦ διαπλασθὲν, καὶ μορφωθὲν, καὶ θείῳ ἐμφυσήματι ψυχωθέν· ὅτι περ αὐτῷ τῷ ποιητῇ προσκρούουσι τὸ ποίημα, καὶ ὁμοίωμα τῆς εἰκόνος αὐτοῦ, καθυβρίζοντες τὸν ἄνθρωπον ὡς ἀκάθαρτον, κατὰ τὴν Μανιχαίων δόξαν. Εἰ οὖν ἀκάθαρτος ἡ τοῦ θεοῦ τοῦ ἀοράτου εἰκὼν, πῶς ἰδοὺ πάντα, ὅσα ἐποίησεν ὁ θεὸς, καλὰ λίαν; Ἀλλὰ τοῦτο πάσχουσιν οἱ αἱρετικοὶ, ὡς καὶ ἀνωτέρω προεῖπον, διὰ τὴν παροῦσαν τῇ σαρκὶ αὐτῶν παρὰ φύσιν ἀκαθαρσίαν, καὶ τὸ ἔχειν ἐν ἑαυτοῖς κατακρατοῦσαν τῆς ψυχῆς, καὶ τοῦ σώματος τὴν ἐνέργειαν τοῦ διαβόλου. οὐδεὶς γὰρ παρ᾽ αὐτοῖς, ὡς καθαρὸς τῇ καρδίᾳ ἐν ἑαυτῷ τὸν θεὸν οἰκοῦντα ἐθεάσατο, κατὰ τὸν λόγον τοῦ χριστοῦ. Οὐδεὶς αὐτῶν ἔγνω, ὅτι ἐθεάσατο τὴν βασιλείαν τῶν οὐρανῶν ἐντὸς αὐτοῦ. Οὐδεὶς ἐκείνων ἔχει τὸν θησαυρὸν τοῦ πνεύματος ἐν τῷ ὀστρακίνῳ σκεύει τοῦ πηλίνου σώματος. οὐδεὶς αὐτῶν ἐφόρεσε τὴν εἰκόνα τοῦ ἐπουρανίου θεοῦ ἐν τῇ καρδίᾳ. Οὐδεὶς ἐν ἐκείνοις γέγονε σύμμορφος τῆς δόξης τοῦ υἱοῦ, τοῦ θεοῦ. Εἰ γὰρ ἔγνωσαν ὅτι ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμα αὐτὸς, καὶ ὁ κύριος γίνεται, ὥς φησιν ὁ Ἀπόστολος. εἰ ἔγνωσαν ὅτι θεοὶ, καὶ υἱοὶ ὑψίστου οἱ ἄξιοι γίνονται· εἰ ἐπίστευσαν τὸ, ὅτι ἐλεύσεται ὁ χριστὸς, καὶ ὁ πατὴρ, καὶ μονὴν παρὰ ἀνθρώπῳ ποιήσουσιν. εἰ ἔμαθον πῶς ναὸς θεοῦ γίνεται ὁ ἄνθρωπος, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν αὐτῷ. καὶ ἵνα συντόμως εἴπω. εἰ ἐνεδύσαντο τὸν χριστὸν, κατὰ τὸ εἰρημένον, ὅτι ὅσοι εἰς χριστὸν ἐβαπτίσθητε, χριστὸν ἐνεδύσασθε, αὐτοὺς ὁ χριστὸς ὁ οἰκῶν ἐν αὐτοῖς, ἐδίδασκεν ἂν αὐτοὺς, πῶς ἐνοικεῖ ἐν τῇ σαρκὶ ἡμῶν ὁ θεὸς, καὶ ἐμπεριπατεῖ. καὶ πῶς τὸ πήλινον ἡμῶν τοῦτο σῶμα, διὰ τοῦ πυρὸς τοῦ πνεύματος ἀπεντεῦθεν ἤδη σύμμορφον γίνεται τῆς δό-

ξης

ſibilitatis, ſoliditatis, immortalitatis, & ſuauiſsimæ fragrantiæ & ſuaueolentiæ, cibique ac potus minimè indigentem ſtatum. Vnde propter huiuſmodi terrenæ carnis noſtræ imbecillitates & ſordes, aiebat Chriſtus: *Ignem veni mittere in terram*, hoc eſt, diuinitatem iungere terreſtri noſtræ naturæ. *Luc.12.* Manifeſtè igitur redarguuntur, qui naturam ſecundum imaginem & ſimilitudinem Dei noſtri formatam execrãtur, probriſque ac contumeliis onerant corpus, quod manibus Dei effictum ac effigiatum, & diuino ſpiraculo animatum eſt. Itaque in ipſum conditorem iniurioſi ſunt, qui hominem, opus & ſimilitudinem imaginis eius, calumniantur, tanquam immundum, ex Manichæorum ſententia. Si igitur inuiſibilis Dei imago immunda eſt, quomodo omnia, quæ fecit Deus, erant valdè pulchra ac bona? Sed in hæc talia incidunt hæretici, vt ſuprà dicebam, propter carnis ſuæ immunditiam, naturæ prorſus repugnantem, & quia Dæmonis imperio ſeſe & anima & corpore ſubdiderunt. Nullus enim ex illorum numero, tanquam *mundus corde*, Deum in ſe habitare vidit, iuxta ſermonem Chriſti. *Matth.5.* Nullus illorum cognouit aut vidit intra ſe cœlorum regnum. Nullus illorum habet theſaurum ſpiritus in teſtaceo vaſe fictilis corporis. *2.Cor.4.* Nullus illorum tulit imaginem ſupercœleſtis Dei in ſuo pectore. *1.Cor.15.* Nullus illorum factus eſt conformis gloriæ filij Dei. *Rom.8.* Si enim cognouiſſent, quod qui adhæret Domino, vnus ſpiritus ipſe & Dominus efficiatur, vt dicit Apoſtolus; *1.Cor.6.* ſi nouiſſent, *Deos* & filios excelſi poſſe fieri eos, qui hoc honore digni ſunt; *Pſal.81.* Si crediidiſſent Chriſtum & Patrem venturos, & manſionem apud hominem facturos. *Ioan.14.* Si didiciſſent, quomodo homo fit templum Dei, & ſpiritus Dei in illo habitet; *1.Cor.3.* & vt paucis comprehendam; Si Chriſtũ induiſſent ſecundum illud: *Quotquot in Chriſtum baptizati eſtis, Chriſtum induiſtis*; *Gal.3.* Ipſe Chriſtus habitãs in illis, docuiſſet illos, quomodo habitet & circumeat in carne noſtra Deus. Et quomodo luteum hoc corpus noſtrum per ignem ſpiritus poſthac configuretur gloriæ imaginis Chriſti; & quomodo à cunctis ſordibus expurgetur, & ſecundum imaginem ac ſimilitudinem Dei efformetur; prout initiò erat, per vnionem & com-

ξης τῆς εἰκόνος τοῦ χριστοῦ, καὶ πῶς ἀνακαθαίρεται παντὸς ῥύπου, καὶ γίνεται κατ' εἰκόνα, καὶ ὁμοίωσιν θεοῦ, ὡς ἦν ἀπ' ἀρχῆς, διὰ τῆς ἑνώσεως, καὶ κοινωνίας τῆς θεότητος. ἔνθα γὰρ θεότης οἰκεῖ, καὶ μάλιστα κατ' οὐσίαν, ἐκεῖ πάντα ἁγνὰ, πάντα ἅγια, πάντα καθαρὰ, πάντα θεοῦ ἄξια· οὐδὲν ἐκεῖ ἀπόβλητον, οὐδὲν ῥυπαρὸν, οὐδὲν θεῷ ἐναντίον. οὐ σῶμα, οὐ ψυχὴ, οὐ νοῦς, οὐ φύσις, οὐ θέλημα, οὐκ ἐνέργεια. ἀλλ', ὡς προείρηται, διὰ τὸ μὴ κτίσασθαι αὐτοὺς τὴν ἀπάθειαν τῆς σαρκὸς, καὶ τὴν καθαρότητα τῆς φύσεως, νομίσαντες οἱ αἱρετικοὶ, ὅτι πᾶσα σὰρξ, καθ' ὁμοιότητα αὐτῶν ὑπὸ τοῦ βορβόρου τῶν ἡδονῶν ἐνεργεῖται, παρῃτήσαντο ὁμολογεῖν, ἀνθρωπίνην φύσιν, καὶ τὰ τῆς φύσεως ἐν τῷ χριστῷ. Τί οὖν φησι Νεστόριος, καὶ οἱ σὺν αὐτῷ, ὁμολογοῦντες φύσιν, καὶ πάντα, τὰ τῆς φύσεως ἡμῶν ἐν χριστῷ πνεύματος ἁγίου οἱ τοιοῦτοι μετέχουσιν; ἄπαγε τῆς ἀτοπίας. μάλιστα μὲν γὰρ καὶ αὐτοὶ, διὰ τὸ, μὴ οἰκεῖν εἰς αὐτοὺς τὴν θεότητα, τούτου χάριν ἠρνήσαντο ὁμολογεῖν θεὸν ἀληθῶς τὸν χριστὸν, καὶ θεοτόκον κυρίως τὴν ΜΑΡΙΑΝ ἁγίαν.

ΚΕΦΑΛΑΙΟΝ ΠΕΜΠΤΟΝ ΚΑΙ ΔΕΚΑΤΟΝ.

Περὶ τῆς ἑορταστικῆς μᾶλλον δὲ θρηνητικῆς ἐκτης ἐπιστολῆς τοῦ νῦν ἐπισκόπου τῶν Θεοδοσιανῶν ἐν Ἀλεξανδρείᾳ τῆς πεμφθείσης ἐν Βαβυλῶνι.

Ἀλλὰ τί πάλιν ἡμῖν, οἱ τὴν μίαν φύσιν ἐπὶ χριστοῦ λέγοντες δογματίζουσι; φάσκουσι γὰρ, ὅτι ἐὰν εἴπωμεν δύο φύσεις ἐπ' αὐτοῦ, ἀνάγκη πᾶσα ἡμᾶς δύο λέγειν φύσεις ἐπὶ τῆς ἁγίας τριάδος. ὅσα γὰρ ἐὰν προστεθῇ τῷ ἑνὶ τῆς ἁγίας τριάδος χριστῷ, ταῦτα τῇ πάσῃ τριάδι λογίζεται. Εὖγε, ὡς ἀληθῶς τῆς πολλῆς τῶν ἀσόφων σοφίας; ὑπὲρ εὖγε τῶν νέων τοῦ Μάνεντος μαθητῶν νομοθεσίας; διὰ τοῦτο, φησὶν, οὐ φάσκομεν, ἐν τῷ χριστῷ δύο ἡνωμένας φύσεις, οὔτε μὴν θελήσεις, οὐδ' αὖ ἐνεργείας, ἐπειδὴ πάντα, ὅσα αὖ ἑνὶ τῆς ἁγίας τριάδος χριστῷ ὁ-

μολο-

communionem diuinitatis. Vbi enim habitat diuinitas, maximè secundum substantiam, ibi omnia casta sunt, omnia sancta; omnia munda; omnia Deo digna. Nihil ibi reiiciendum: nihil sordidum; nihil Deo contrarium, non corpus, nō anima, non mens, non voluntas, non operatio; verùm, vt antea dixi, quia hæretici carnem à prauis cupiditatibus, & inquinamentis liberam non habent; neque naturæ puritatem adepti sunt; ideo sibi persuadent omnem aliam carnem cœno voluptatum maculatam ac infectam esse, eaque de caussa confiteri abnuunt humanam in Christo naturā, & ea quæ ex natura consequuntur. Quid igitur? inquit Hæreticus. Nestorius, eiusque sectatores, qui confitentur in Christo naturam, omnesq; naturæ proprietates, Spiritus sancti participes censeri debent? Apage hanc tantam absurditatem: potissima enim caussa fuit, cur Christi diuinitatem negarent, & sanctissimam Virginem Deiparam appellare detrectarent; quia & ipsi diuinitatis exsortes erant.

CAPVT DECIMVMQVINTVM.

De sexta Heortastica seu festiua, vel potius flebili epistola eius, qui nunc est Theodosianorum Alexandriæ Episcopus, Babylonem missa.

QVID præterea asserunt illi, qui vnam in Christo naturam tradunt? Aiunt: *Si duas in Christo naturas confiteamur, necessariò debere nos duas sanctissimæ Trinitatis naturas profiteri. Nam quæ quis tribuit Christo, vni ex sanctissima Trinitate; hæc toti Trinitati adscribenda esse.* Euge, quanta insipientium istorum est Sapientia. Quanta nouorum Manetis discipulorum sanciendi ac edicendi auctoritas. *Eam ob caussam*, inquiunt, *non agnoscimus duas in Christo naturas vnitas, neque voluntates, neq; operationes*; quia quidquid Christo,

μολογήσωμεν, ταῦτα πάντα καὶ ἐπὶ πάσης τῆς ἁγίας τριάδος λέξομεν.

Σχόλιον. Ἰωάννης ὁ ἐπίσκοπος τῶν Θεοδοσιανῶν πρὸ πέντε χρόνων εἰς τὰς δύο ἑορταστικὰς αὐτοῦ ἐξέθετο τὴν φωνὴν, τὴν λέγουσαν. ὅτι πάντα τὰ ἐν τῷ χριστῷ λεγόμενα, ταῦτα καὶ ἐπὶ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος λέγονται. ἐπιλαβομένων ἡμῶν τῆς πρώτης, πάλιν τῷ ἑξῆς χρόνῳ τὰ αὐτὰ ἐξέθετο. προφανῶς οἱ δυστυχεῖς ῥήτορες τῷ θεολόγῳ Γρηγορίῳ ἀντιστρατευόμενοι. ἐκεῖνος γὰρ ἐν τῷ περὶ υἱοῦ λόγῳ φησὶν. ὅτι * ὅσα ἐπὶ τῆς τριάδος πληθυντικῶς, ταῦτα ἐπὶ τῆς οἰκονομίας μοναδικῶς, οἷόν τι, μίαν οὐσίαν ἐπὶ τῆς ἁγίας, καὶ ὁμοουσίου τριάδος ἐδιδάχθημεν ὁμολογεῖν, μίαν θέλησιν, μίαν ἐνέργειαν. ἐπὶ δὲ τῆς σαρκώσεως τοῦ ἑνὸς τῆς αὐτῆς τριάδος, δύο φύσεις καθ' ὑπόστασιν ἡνωμένας θελητικάς τε, καὶ ἐνεργητικὰς οὔσας. ὅθεν ἑπόμενοι τῷ θείῳ Γρηγορίῳ οἱ εὔφρονες φάσκομεν διαφόρους ἐνεργείας, καὶ θελήσεις ἐν τῷ χριστῷ. Ὅσα γάρ φησιν, ἐπὶ τῆς τριάδος ἑνικῶς λέγεται, ἐπὶ τῆς σαρκώσεως ἐναντίως ἔχει. ἐπὶ μὲν γὰρ τῆς τριάδος ἄλλος, καὶ ἄλλος. ἐπὶ δὲ τοῦ χριστοῦ, οὐκ ἄλλος, καὶ ἄλλος, ἀλλὰ, ἄλλο, καὶ ἄλλο. ἐπὶ δὲ τῆς τριάδος, οὐκ ἄλλο, καὶ ἄλλο. ἀλλὰ ταῦτα οἱ Αἰγυπτιάζοντες τὸν νοῦν, οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, φάσκοντες, ὅτι περ πάντα, ὅσα ἐὰν προστεθῇ, καὶ ῥηθῇ ἐν τῷ χριστῷ, ταῦτα τῇ πάσῃ ἁγίᾳ τριάδι ἁρμόζει.

* ὅσα ἐπὶ τῆς τριάδος ἑνικῶς λέγεται, ἐπὶ τῆς σαρκώσεως ἐναντίως ἔχει. καὶ πάλιν.

Λοιπὸν δεῦτε δὴ κατὰ τοῦτον τῆς τραγῳδίας τὸν μῦθον, δύο, ὥσπερ θυμελικῶν ἑταιρίδων ὀρχήστρας συστησάμενοι ἀνεπιφθόγγως ἀλλήλαις θυμελικῶς ὀρχήσασθε τὰς περὶ χριστοῦ φωνάς. οἱ μὲν λέγοντες. οἱ δὲ τῇ τριάδι αὐτὰς ἀνταποκρινόμενοι προσάψατε. Εἰ δὲ δεῖ κἀμὲ συμπαίξαι, καὶ ἐμπαῖξαι ὑμῖν, ἤδη τῆς τραγῳδίας ἀπάρξομαι. λέγω. ὁ λόγος σὰρξ ἐγένετο. Ἀποκρίνονται Σευῆροι. ἡ τριὰς σὰρξ ἐγένετο. πάντα γὰρ τὰ χριστοῦ τῇ τριάδι ἁρμόζουσιν. ἐγὼ λέγω. Μαρία μήτηρ χριστοῦ ἡ ὀρχήστρα Σευήρου λέγει. Μαρία μήτηρ τριάδος. ἡμεῖς λέγομεν, Ἰησοῦ γέννησιν ἐν Βηθλεὲμ ἐν τῇ φάτνῃ. ἡ θυμέλη λέγει. ὅτι ἡ τριὰς νήπιος ἀνέκειτο ἐν τῇ φάτνῃ· αὐλῶ ὑμῖν πάλιν, καὶ ὀρχήσασθε, καὶ θρηνῶ ἡμᾶς, καὶ ὑμεῖς κόψασθε. λέγω

ἐγώ.

sto, vni ex sacrosancta Trinitate tribuerimus, id in totam sacrosanctam Trinitatem redundabit.

Scholium. Ioannes Episcopus Theodosianorũ ante quinquennium in duabus heortasticis, seu festis epistolis effudit hanc vocem; *Omnia quæ de Christo dicuntur, dici etiam de Patre & Spiritu sancto.* Et acceptâ iam à nobis primâ epistolâ; idem denuò asseruit, vbi miseri isti Rhetores manifestè Gregorio Theologo aduersantur, ille enim in oratione de filio dicit: *Ea, quæ de Trinitate singulariter dicuntur, in Incarnatione Christi contrario modo sese habere: rursus ea, quæ numero multitudinis enunciantur de Trinitate, enunciari de incarnatione numero singulari.* Exempli gratia; vnam naturam in sanctissima & consubstantiali Trinitate profiteri edocti sumus; vnam voluntatem, vnam operationẽ: in Incarnatione verò vnius ex sanctissima Trinitate duas naturas hypostaticè vnitas volendique, & agendi facultate præditas. Vnde diuinum Gregorium nos, qui rectè sentimus, secuti, diuersas operationes, & voluntates in Christo statuimus. Ait enim; *quæ in Trinitate dicuntur singulariter, in Christo sese contrario modo habent.* Nam in Trinitate est alius & alius, in Christo verò nõ est alius & alius; sed aliud & aliud; in Trinitate autem non aliud & aliud. Verumenimuerò ista, qui mẽte sunt Aegyptij, minimè assequũtur, neq; intelligunt, ambulantes in tenebris, dicentesque, omnia quæ Christo adiunguntur, in totam Trinitatem cadere.

Quapropter ex tragicæ huius fabulæ præscripto, agedum adsint, duæ quasi thymelicarum meretricum Orchestræ, & Thymelicorum in morem dicta de Christo alternatim vobis mutuò occinite; & illi quidem dicta hæc pronuncient; alij responsantes Trinitati accommodent. Si autem me etiam vultis vobis colludere & illudere, en iam tragœdiam auspicabor. Dico. *Verbum caro factum est.* Respondent Seueriani. *Trinitas caro facta est; omnia enim Christi, Trinitati competunt.* Dico. *Maria mater Christi.* Scena Seueri recinit: *Maria mater Trinitatis.* Nos celebramus Iesu natiuitatem in Bethleem in præsepio. Thymelici aiunt: *Ipsam Trinitatem infantem in præsepio iacuisse.* Tibiis vobis iterum cano; & saltastis: Lugeo vos, & vos planxistis. Dico ego. *Christus carne tentatus est*: Vos saltan-

ἐγώ. Χριστὸς ἐπειράσθη σαρκί. ὑμεῖς ὀρχούμενοι λέγετε. ἡ τριὰς ἐπειράσθη ἐν τῇ σαρκί. Ἐγὼ φάσκω Χριστοῦ σαρκικὴν περιτομήν. Σευῆροι αὐλοῦσιν τριάδος περιτομήν. Ἐγὼ λέγω. Χριστὸς ῥαπίζεται. ἡ ὀρχήστρα βοᾷ. ὅτι ἡ τριὰς ῥαπίζεται. Ἐγὼ φάσκω. Χριστὸς κατάρα γέγονεν. ἀποκρίνονται Σευῆροι. ἡ τριὰς κατάρα γέγονεν. ἡ ἐκκλησία λέγει. Χριστὸς παραδίδοται. Σευῆροι λέγουσιν. ἡ τριὰς παρεδόθη. ἡμεῖς λέγομεν, ὅτι ἐδάκρυσεν ὁ Ἰησοῦς σαρκὶ, καὶ ἐκοπίασε. Σευῆροι λέγουσιν· ἡ τριὰς ἐδάκρυσεν, καὶ ἐκοπίασεν. Ἐγὼ λέγω. Χριστὸς σαρκὶ ἔπαθε. Σευῆροι φάσκουσιν. ἡ τριὰς πέπονθεν. ἡ ἐκκλησία λέγει. Χριστὸς τέθνηκε. Σευῆροι φάσκουσιν. ἡ τριὰς τέθνηκεν. ὅτι πάντα τὰ ἐπὶ Χριστοῦ λεγόμενα εἰς αὐτὴν ἀνατρέχει. Ἐγὼ δὲ καὶ συντάττων ταῦτα, δέδοικα, μὴ ὑποβρύχιος γένωμαι τῷ μεγέθει τῆς βλασφημίας.

Ἀλλ' ἴσως ἀναιδῶν πρὸς ταῦτα ὁ Ἀκέφαλος φάσκει· ὅτι μόνα τὰ οὐσιωδῶς ἐν Χριστῷ λεγόμενα, ἐπιγράφομεν ὁμοίως τῇ πάσῃ τριάδι. Ἀλλὰ καὶ πρὸς τοῦτο ἀνθυπαντήσας ἐρῶ. ὅτι δυσσεβὲς ὑμῶν τὸ δόγμα, καὶ παράνομον. πῶς γὰρ δυνηθείη τις φάσκειν μίαν τριάδος φύσιν σεσαρκωμένην; πῶς ἐκ δύο φύσεων μία ὑπόστασις ἡ τριάς; πῶς δύο γεννήσεις ἐπὶ τῆς τριάδος; πῶς δύο φύσεις, καὶ ἰδιότητες; πῶς ὁρατὴ, καὶ ἀόρατος ἡ τριὰς ὥσπερ Χριστός; Εἰ δὲ πάντα τὰ ἐν τῷ Χριστῷ ὁρῶνται, καὶ ἐπὶ πατρὸς, καὶ τοῦ πνεύματος, πρόδηλον, ὅτι καὶ πάντα τὰ ἐν ἐκείνοις νοοῦνται, καὶ ἐν τῷ Χριστῷ. καὶ λοιπὸν ἔσεται μία φύσις ὁ Χριστὸς ἐν τρισὶν ὑποστάσεσι, καὶ προσώποις ὑπάρχων. ὁ αὐτὸς καὶ γεννητὸς, καὶ ἐκπορευτός. καὶ γεννήτωρ, καὶ γέννημα, κατὰ τὴν Σαβελλίου τοῦ μιαροῦ δυσσέβειαν. εἰς ἣν ἐκ τοῦ αὐτοῦ τρόπου περιπίπτουσιν οἱ ταυτὸν λέγοντες εἶναι τὴν φύσιν, καὶ τὴν ὑπόστασιν. ὅμοιον γὰρ αὐτοῖς ἐστι τὸ εἰπεῖν, ὅτι ἡ φύσις τῆς τριάδος ἐσαρκώθη. εἴπερ ταυτὸν, φύσις, καὶ ὑπόστασις. ἀλλ', ὡς ἔοικεν, ᾑρετίσαντο, ὡς οἴονται, οἱ αἱρετικοὶ μυρίοις κρημνοῖς ἑαυτοὺς καταποντῶσαι, καὶ μόνον Μῶμόν τινα κατὰ τῆς ὀρθοδόξου ἡμῶν πίστεως φλυαρῆσαι. ἡ δὲ ἕστηκε παγία, καὶ ἀκράδαντος ἐπὶ τῷ θεμελίῳ τῆς ὀρθοδόξου πέτρας, πρὸς ἣν αἱ πύλαι τοῦ ᾅδου, τοῦτ' ἔστιν, αἱ

τῶν

tes respondetis: *Trinitas carne tentata est.* Ego, carnis Christi circumcisionem profiteor. Seueriani, *circumcisionem Trinitatis occinunt.* Ego dico: *Christus colaphis caditur.* Scena Seueri occlamat. *Trinitas colaphis caditur.* Ego dico: *Christus factus est maledictum*: Respondent Seueriani: *Trinitas maledictum facta est.* Ecclesia dicit: *Christus proditur.* Seueriani aiunt: *Trinitas prodita est.* Nos dicimus; *Christum in carne lacrymas fudisse, & molestias laboresq; subiisse*: Seueriani dicunt: *Trinitas fleuit, & labores tulit.* Ego dico: *Christus carne passus est.* Seueriani dicunt: *Trinitas passa est.* Ecclesia dicit: *Christus mortuus est*: Seueriani oggerunt: *Trinitas mortua est*; quia omnia quæ dicuntur de Christo, in Trinitatem redundant. Ego verò hæc talia vel in litteras referens vereor, ne tantæ blasphemiæ participem me efficiam. *Matth.26.* *Gal.3.* *Luc.22.* *Matth.27.*

Fortè Acephalus caput quassans respondebit ad hæc: solum illa, quæ de Christo essentialiter dicuntur, toti Trinitati attribuenda esse: Sed in promptu est regerere; nihilominus dogma vestrum impietate, & improbitate non vacare: Quomodo enim poteritis dicere: *Vnam Trinitatis personam incarnatam esse?* Quomodo Trinitas est vna hypostasis in duabus naturis? Quomodo duæ generationes in Trinitate? Quomodo duæ naturæ & proprietates? Quomodo Trinitas visibilis est & inuisibilis, sicut Christus? Si verò omnia, quæ in Christo insunt, insunt etiam in Patre & Spiritu sancto, sequitur omnia etiam, quæ in illis insunt, inesse & in Christo. Ex quo consit, Christum esse vnam naturã in tribus hypostasibus siue personis subsistentem; ita vt ipse Christus sit simul, & genitus, & procedens; genitor, & quod genitum; vt impius ac scelestus volebat Sabellius; in cuius impietatem necessariò incurrunt, qui asserunt vnum idemque esse naturam & hypostasin. Perinde enim illis est dicere: naturam Trinitatis incarnatam esse; Si vnum idemque sunt natura & hypostasis. Sed, vt videtur, Hæretici nihil pensi habent, etiamsi in infinita præcipitia sese deiiciant, dummodo orthodoxam fidem calumniis incessere ac lancinare queant. Illa verò immota ac inconcussa super orthodoxæ petræ firmamento consistit: in quam portæ inferorum, hoc est, hæreticorum linguæ impresionem quidem

τῶν αἱρέσεων γλῶσσαι προσκρούουσι μὲν, οὐκ ἰσχύουσι δὲ αὐτῆς τῇ χάριτι τοῦ * θελήσαντος αὐτὴν χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

* Lego; θεμελιώσαντος.

ΚΕΦΑΛΑΙΟΝ ἝΚΤΟΝ ΚΑῚ ΔΈΚΑΤΟΝ.

Σευηριανοῦ ἐπισκόπου Γαβαλῶν εἰς τὸ Ἀποστολικὸν λόγιον, τὸ περὶ χριστοῦ φάσκον, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

Καὶ μὴν εἰ ἀπερίγραπτος τυγχάνει ἡ θεότης, καὶ ἄποσος, οὐδὲ πλήρωμα δυνατὸν λέγεσθαι ἐπ' αὐτῆς οὐδὲ πᾶν. καὶ γὰρ τὸ πληρούμενον, καὶ πλήρωμα ἔχον, πρόδηλον, ὅτι καὶ ποσότητα ἔχει, καὶ περιγραφὴν, καὶ στάσιν. ὡς ὅτ' ἂν λέγῃ πλήρωμα νόμου χριστὸς, τοῦτ' ἔστι, τέλος τοῦ νόμου χριστός. καὶ πάλιν τὸ πλήρωμα τοῦ χρόνου, καὶ τὸ πλήρωμα τῶν ἐθνῶν τῆς γῆς. οὐ δύναται εἶναι ὑπὲρ τὸ πᾶν. τὸ γὰρ πᾶν, ποσότητός ἐστι σημαντικόν. οἷόν ἐστι τὸ πᾶν τοῦ χρόνου, καὶ τὸ πᾶν τοῦ κόσμου, καὶ τὸ πᾶν τοῦ οὐρανοῦ, καὶ τὸ πᾶν, ὕδωρ, ἡ θεότης ὑπὲρ τὸ πᾶν, καί ἐστι, καὶ λέγεται, οὐ πλήρωμα * ἔχουσα.

* In marg. C. A. notantur ista. ἄλλως; ὑπερπλήρης ὑπάρχουσα.

Πῶς οὖν νοήσωμεν τὸ πᾶν πλήρωμα τῆς θεότητος ἐν χριστῷ; καὶ γὰρ καὶ αὐτὸς εἴρηκεν, ὅτι οὐκ εἰμὶ μόνος, ἀλλ' ὁ πατήρ μου μετ' ἐμοῦ ἐστι. καὶ, πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με. καὶ τί ἐροῦμεν λοιπὸν; ἆρα τὸ πλήρωμα τῶν τριῶν ὑποστάσεων προσωπικῶς σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν; οὐδαμῶς. ὁ λόγος γὰρ σὰρξ γενόμενος ἐπεφάνη ἐπὶ τῆς γῆς. Ἀλλ' ἐπειδὴ εὐδοκίᾳ, καὶ ἀποστολῇ τοῦ πατρὸς, καὶ συνεργίᾳ, καὶ ἐπισκιάσει τοῦ παναγίου πνεύματος, τὸ μυστήριον τῆς σαρκώσεως τοῦ υἱοῦ γέγονε, τούτου δὴ χάριν ἐν αὐτῷ λέγεται εἶναι πᾶν τὸ πλήρωμα τῆς θεότητος, ταῖς φυσικαῖς πάσαις ἰδιότησι τῆς τριαδικῆς θεότητος, οὐ ταῖς ὑποστατικαῖς. οὐ γὰρ τὸ ἀγέννητον πρόσωπον τοῦ πατρὸς ἐσαρκώθη. οὔτε μὴν ἡ ἐκπορευτικὴ τοῦ ἁγίου πνεύ-

faciunt;ei tamen nequaquam præualent,gratia illius qui eam fundauit, IESV CHRISTI, cui gloria in secula seculorum, Amen.

CAPVT DECIMVMSEXTVM.

Seueriani Episcopi Gabalorum in illud Apostoli: Quoniam in ipso inhabitat omnis plenitudo diuinitatis corporaliter. Coloss. 2.

SI diuinitas est incircumscripta,& quantitatis expers,fieri non potest,vt plenitudo de illa dicatur, aut vox *omnis*. Etenim id quod plenum est, & plenitudinem habet, habet etiam quantitatem, & circumscriptionem, & statum; vt cùm appellatur Christus *plenitudo legis*, hoc est, finis legis. Sic *plenitudo temporis*. Et *plenitudo gentium terræ* non potest esse supra *omne*; omne enim quantitatem significat: vt *omne tempus*; *omnis mundus*; *omne cœlum*; *omnis aqua*. At diuinitas & est, & dicitur supra omne; nullam habens plenitudinem, sed omnem plenitudinem exsuperans. Rom. 13. Rom. 11. Galat. 4.

Quomodo igitur accipiemus omnem in Christo plenitudinem? Etenim ipse etiam dixit: *Quia solus non sum, sed pater meus mecum est, & spiritus Domini super me, propter quod & vnxit me.* Quid ergo dicemus? Num plenitudo trium hypostaseωn caro personaliter facta est, & habitauit in nobis? Nam Verbum caro factum apparuit in terra. Sed cum voluntate missuque Patris & Spiritus sancti operatione & obumbratione mysterium incarnationis peractum sit,ea propter in ipso dicitur esse omnis plenitudo diuinitatis cum omnibus naturalibus proprietatibus non personalibus;sed diuinæ Trinitatis naturę communibus. Neque enim ingenita patris persona incarnata est:neque Spiritus sancti procedens hypostasis,sed inseparabile Trinitatis mysterium. * Sic & S. Dionysius dixit, in Christo esse Ioan. 8.

* Intellige; In filio seu personaliter.

patrem

πνεύματος ὑπόστασις. ἀλλὰ τὸ ἀχώριστον τῆς τριάδος μυστήριον. οὕτω καὶ ὁ ἅγιος Διονύσιος εἶπεν κατὰ τὴν κοινὴν θέλησιν εἶναι ἐν χριστῷ τὸν πατέρα, καὶ τὸ ἅγιον πνεῦμα, ἤτοι κατὰ τὴν εὐδοκίαν, καὶ συναίνεσιν. οὐχ ὥσπερ ἀβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακώβ. οὕτω καὶ ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα τοπικὰς περιγραφὰς, καὶ διαιρέσεις, καὶ τρεῖς οἴκους, καὶ χωρισμοὺς ἔχουσιν, ἀλλ' ἀλληλοφυῶς, καὶ συμφυῶς, καὶ περιαλλήλως τὸ μυστήριον τῆς τριάδος καθέστηκεν. ἀλλ' ἐπειδὴ ἐν τῇ ἐπιδημίᾳ, καὶ ἐπιφανείᾳ τοῦ λόγου, χριστὸς μὲν γέγονεν αὐτὸς ὁ υἱὸς, καὶ λόγος, χρίστης δὲ τούτου ὑπάρχει ὁ πατὴρ, χρίσμα δὲ αὐτοῦ, τὸ πνεῦμα τὸ ἅγιον, τούτου χάριν λέγεται, ἐν αὐτῷ κατοικεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. Καὶ γὰρ ἐν ἑκάστῳ γινομένῳ χριστῷ, τριῶν τινῶν συνεργία, καὶ σύνοδος γίνεται, τοῦτ' ἔστι, τοῦ χρίοντος, καὶ τοῦ χριομένου, καὶ τοῦ χρίσματος. ἅτινα εἰ καὶ μὴ ὑποστατικῶς ἑνοῦνται, ἀλλὰ τῇ συνεργίᾳ ὁμαδικῶς γνωρίζονται. διὸ καὶ φησί τις τῶν ἁγίων Πατέρων. ὅτι τούτου χάριν οὐκ ἐσαρκώθη ὁ πατὴρ, ἢ τὸ ἅγιον πνεῦμα, ἀλλ' ὁ υἱὸς, ἵνα μὴ σύγχυσις τῶν ὑποστατικῶν ἰδιοτήτων γένηται ἐπὶ τῆς ἁγίας τριάδος. Εἰ γὰρ ἐτέχθη ἐπὶ γῆς ὁ πατὴρ, υἱοπάτωρ εὑρίσκετο. διὸ θεοπρεπῶς ὁ ἄνω υἱὸς γεννητὸς, καὶ κάτω υἱὸς γεννητὸς. ἵνα καὶ μετὰ πίκον σώζηται ἐπὶ τῆς τριάδος τὸ ἀγέννητον τοῦ πατρὸς, καὶ τὸ ἐκπορευτὸν τοῦ παναγίου πνεύματος.

ΚΕΦΑ'ΛΑΙΟΝ ἝΒΔΟΜΟΝ ΚΑῚ ΔΈΚΑΤΟΝ.

Ἀπορία, μᾶλλον δὲ ἀπορία* Σευηριανοῦ πρὸς τὴν καθολικὴν Ἐκκλησίαν.

* Videtur leg. ἀσέβεια.

Εἰ μία φύσις ἐστὶ τῆς ἁγίας τριάδος, ὁρᾶται δὲ αὐτὴ ἡ φύσις τελεία, καὶ ἀνελλιπὴς ἐν τῇ ὑποστάσει τοῦ υἱοῦ. ἐσαρκώθη δὲ ὁ υἱὸς ἄρα ἂν εὑρεθήσεται πάντως ὅλον τὸ πλήρωμα τῆς θεότητος σαρκωθὲν, κατὰ τὸ εἰρημένον, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

Ἀπόκρισις. Οὐχ ὁρᾶται τὸ ὁλικὸν τῆς τριαδικῆς ὀντότητος ἐν τῇ ἰδικῇ ὑποστάσει τοῦ λόγου, ὡς ἡ Σαβελλίου σύγχυσις νομοθετεῖ. οὐ γὰρ

ἔχει

patrem & filium secundum communem voluntatem, vel secundum beneplacitum & approbationem: neq; sicut Abraham, & Isaac, & Iacob, ita & Pater, & Filius, & Spiritus sanctus locali circumscriptione & diuisione tanquam tribus sedibus separantur & seiunguntur, quia Trinitatis mysterium à se mutuò indiuisum est, indiscretum, ac prorsus indiuulsum. Sed cùm in aduentu & apparitione Verbi filius, qui & Verbum; factus sit Christus; hoc est, vnctus; is autem, qui eum vnxit, fuerit pater; chrisma verò seu vnguen, ipse Spiritus sanctus, idcirco dicitur in illo, *omnis plenitudo diuinitatis inhabitare corporaliter*. Etenim in quouis, qui efficitur Christus, hoc est, *vnctus*, trium actio & concursus requiritur; nimirum vngentis, vncti & vnguenti, quæ licet hypostaticè simul non vniantur, mutua tamen operatione coniunguntur. Quamobrem patrum quidam ait; ideo nec Patrem, nec Spiritum sanctum incarnatum esse, sed filium, ne confusio personalium proprietatum in sanctissima Trinitate existeret. Nam si pater in terris natus fuisset, iam pater simul & filius esset. Quare conuenienter is, qui in cœlis est filius; nascitur etiam filius in terris: vt & post partum seruetur in Trinitate ingenitum patris, & processio sancti Spiritus.

CAPVT DECIMVMSEPTIMVM.

Obiectio, vel potius inscitia, Seueriani contra Catholicam Ecclesiam.

SI est vna sanctissimæ Trinitatis natura; ipsa autem natura in hypostasi filij perfecta & indeficiens subsistit; filius verò incarnatus est; an non hinc apertè conficietur, totam diuinitatis plenitudinem incarnatam esse? secundum illud: Quia in ipso inhabitat omnis plenitudo diuinitatis corporaliter. Coloss. 2.

Responsio. Non est tota *entitas Trinitatis in propria hypostasi Verbi, vt Sabellius omnia confundens existimat; nam

* Nimirù formaliter prout filius realiter distinguitur à Patre & Spiritu sancto, siue relatiuè opponitur.

ἔχει τὸ ἀγέννητον τοῦ πατρὸς ὁ λόγος· οὔτε τὸ γεννητικόν. οὔτε τὸ ἀναίτιον. οὐδὲ τὸ ἀμφιδέξιον τῆς καθέδρας, οὐδὲ τὸ ἔγκολπον, οὔτε νῦν τὸ τοῦ πνεύματος ἐκπορευτόν. οὐδέ τι ἕτερον τῶν ὑποστατικῶν ἰδιοτήτων τοῦ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος. οὐχ ὥσπερ ἀγέννητος ὁ πατὴρ, οὕτω καὶ ὁ υἱός. οὔτε μὴν ὡς γεννήτωρ ὁ πατὴρ, οὕτω καὶ ὁ υἱός. οὔτε δὲ πάλιν ἀναίτιος ὁ υἱός. οὔτε ἐκπορευτός. οὔτε ἀποστέλλων τὸν πατέρα, καθ' ἃ ἀποστέλλεται ὑπὸ τοῦ πατρός. διόπερ, σαρκωθεῖσα ἡ τοῦ υἱοῦ ὑπόστασις, οὐ συνεσάρκωσεν ἑαυτῇ τὴν ἀγεννησίαν τοῦ πατρός, οὐδὲ τὴν ἐκπορευτικὴν ὑπόστασιν τοῦ ἁγίου πνεύματος. Ἀλλ' ἐπειδὴ πάντα τὰ φυσικὰ τῆς τριάδος ἰδιώματα, τοῦτ' ἔστι τὸ ἄναρχον, τὸ ἄκτιστον, τὸ ἀπερίγραπτον, τὸ ἀναλλοίωτον, τὸ ἀδιάδοχον, τὸ ἀγαθὸν, τὸ ζωοποιόν. καὶ πάντα τὰ τοιαῦτα ἀπαραλλάκτως, καὶ ἰσοφυῶς, καὶ ὁμοφυῶς ὁρᾶται ἐν τῷ υἱῷ ὥσπερ καὶ ἐν τῷ πατρὶ, καὶ ἐν τῷ ἁγίῳ πνεύματι. τούτου χάριν εἴρηται κατοικεῖν ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος. καὶ κατὰ τοῦτο εἴρηται τέλειος ὁ χριστὸς ἐν θεότητι. ὥσπερ οὖν καὶ τέλειος ἐν ἀνθρωπότητι λεγόμενος, οὐ συνέλαβεν ἐν τῇ σαρκώσει πάσας τῶν ἀνθρώπων τὰς ὑποστατικὰς ἰδιότητας. οὐ γὰρ εἶχε τὸ ἀγέννητον τοῦ Ἀδὰμ. οὐδὲ τὸ πλευρογέννητον τῆς Εὔας. οὐδὲ τὸ μέγεθος τῶν γιγάντων. οὔτε τὸ εἶδος τῶν αἰθιόπων. αὗται γὰρ ὑποστατικαί εἰσιν ἰδιότητες. ἀλλ' ἐπειδὴ πάντα τὰ κοινὰ, καὶ φυσικὰ τοῦ ἀνθρώπου ἑκουσίως κατεδέξατο, τοῦτ' ἔστι, τὸ κτιστὸν, τὸ ὁρατὸν, τὸ φθαρτὸν, τὸ θνητὸν, καὶ ὅσα ἄλλα ἐν ἡμῖν ἀδιάβλητα, καθὰ Παῦλος βοᾷ. τούτου χάριν αὐτὸν τέλειον, καὶ ἐν ἀνθρωπότητι γινώσκομεν. ταῖς οὖν φυσικαῖς ἰδιότησι πᾶν τὸ πλήρωμα τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος ὁρᾶται ἐν τῷ χριστῷ. οὔτε γὰρ ἐὰν τὸν ἴδιον ὄνυχά τις πορφυροβαφήσῃ, ἤδη καὶ τὴν σάρκα, καὶ τὸ ὀστοῦν τοῦ δακτύλου συνεπορφυροβάφησε. καί περ ἀδιαιρέτων τῶν τριῶν ὑπαρχόντων. οὐκοῦν οὐδὲ ὁ πατὴρ, καὶ τὸ ἅγιον πνεῦμα καθ' ὑπόστασιν συνεβάφη, καὶ συνῃματώθη τῷ υἱῷ. πλὴν ὡς ἐνώπιον θεοῦ εὐαγγελίζομαι ἀρὰν μεγάλην παντὶ λέγοντι τὴν φύσιν, ὑπόστασιν. ὅτι καὶ Σαβελλίου, καὶ Ἀρείου, καὶ Νεστορίου δυσσεβείαις περιπίπτει. οὔτε γὰρ ἐὰν εἷς ἑωσφόρος ἀμφιέσηται νεφέλην,

δηλωά-

Verbum non habet innaſcibilitatem patris, neque generandi potentiam, neq; principio caret; neq; ad dexteram eius conſidetur, neque aliquem fert in ſinu, neq; habet * proceſsionem ſpiritus, neque alias hypoſtaticas Patris & Spiritus ſancti proprietates. Nō ſicut Pater ingenitus eſt, ita & Filius; nec, vt Pater, principio caret: neq; procedit; * neq; Spiritū mittit, ſicut à Patre miſſus eſt. Quapropter incarnata Filij hypoſtaſis nō ſimul *incarnauit* ſeu carne veſtiuit innaſcibilitatem Patris, neq; procedentem hypoſtaſin Spiritus ſancti; ſed cum omnia naturalia & communia Trinitatis attributa, hoc eſt, æternum, increatum, incircumſcriptum, immutabile, perpetuum, bonum, viuificum, & cætera talia inuariabiliter, æqualiter, & ſimiliter ſint in Filio, ſicut in Patre & Spiritu ſancto; ideo dictum eſt, *omnem diuinitatis plenitudinem in ipſo habitare*: & ſecundum hoc, dicitur Chriſtus perfectus in diuinitate. Quemadmodum igitur, quantumuis humanitate perfectus eſſet, non aſſumpſit in Incarnatione omnes hominum perſonalitates; neq; enim habet innaſcibilitatem Adami; neq; illud Euæ, quod eſt ex coſta formatum eſſe: neq; magnitudinem gigantum: neq; ſpeciem Aethiopum, hæc enim ſunt hypoſtaticæ ꝓprietates; ſed quia omnia quæ hominibus ſunt communia & naturalia aſſumpſit, hoc eſt, creatum, adſpectabile, corruptibile, mortale, & ſimilia nulli reprehenſioni in nobis obnoxia; ſicut docet Paulus, idcirco ipſum in humanitate etiam perfectū confitemur. Omnis igitur plenitudo diuinitatis & humanitatis in Chriſto ineſt, quod ad naturales proprietates attinet: neq; enim ſiquis purpureo colore proprium vnguem tingat, propterea carnē quoq; & oſſa digiti purpureo colore inficit, quamuis hæc tria inſeparabiliter ſibi mutuò cohęreſcant. Igitur neq; Pater neq; Spiritus ſanctus ſecundum hypoſtaſin ſimul cum Filio quaſi carne tincti & corpore veſtiti ſunt. Verumenimuero tanquam in conſpectu Dei anathema vniuerſaſq; diras denuncio omni illi, qui naturam aſſerit eſſe hypoſtaſin: quod cum Sabellij, Arij & Neſtorij impietate colludit; neque enim ſi verus Luci-

** id eſt, nō procedit ſicut ſanctus Spiritus, quia generatur.*

** Non ſequitur hoc loco Anaſtaſius errorem recentiorum Græcorum de proceſsione Spiritus ſancti ex ſolo Patre; nam ſi verba hæc referre velimus ad miſsionem originis, ſeu ad ipſam Spiritus ſancti proceſſionē* ad intra, *tum non mittit Filius Spiritū ſanctum ſicut Pater, quia Pater mittit & producit illum, vt principium ſine principio, vtq; fons ſine fonte; at Filius mittit eundem vt principium à principio; & fons à fonte. Quo pacto reſpōdent etiam Theologi, ad ſimile dictum, quod Græci ex D. Dionyſio Areopag. proferunt Vide Bellarm. lib. II. de Chriſto cap. 27. Et eadem reſponſio accommodari poteſt Anaſtaſij verbis, ſi quis velit ea intelligi debere de miſsione Spiritus ſancti* ad extra, *qualis illa Act. 2. nam quod alioqui hoc etiam modo Chriſtus Spiritum ſanctum mittat, indubitatum eſt ex cap. 14. 15. & 16 Ioannis.*

δυνάμεθα εἰπεῖν, ὅτι πάντες οἱ ἀστέρες συνημφιέσθησαν τοῦτο κατὰ τὰς ἰδίας ὑποστάσεις, ἀλλ' ἢ μόνον κατὰ τὴν κοινὴν τῆς φύσεως τοῦ φωτὸς ἰδιότητα.

Σχόλιον. εἰς τὸ ἔσχατον τετράδιον κεῖται τὰ ἀκόλουθα.

Ταύταις ταῖς δυσσεβείαις περιπίπτουσιν οἱ αἱρετικοὶ, ἐκ τοῦ Ἀριστοτελικῶς αὐτοὺς νοεῖν τὴν φύσιν, καὶ τὴν ὑπόστασιν. ἐκεῖνος γὰρ εἶπεν ἰδικὰς φύσεις εἶναι τὰς ὑποστάσεις. οἱ μὲν οὖν μακάριοι Πατέρες εἰς εἰκόνα τυπικὴν λαμβάνουσι τὸν ἄνθρωπον ἐπὶ τοῦ Χριστοῦ βουλόμενοι ὡς ἔν τινι σκιαγραφίᾳ δεῖξαι τὸ ὁρατὸν αὐτοῦ, καὶ τὸ ἀόρατον, καὶ τὸ θνητὸν, καὶ ἀθάνατον, καὶ τὸ ψηλαφητὸν, καὶ ἀψηλάφητον. Οἱ δὲ κακόφρονες τῶν μονοφυσιτῶν παῖδες, λαβόντες τὴν ἀφορμὴν ἐκ τῶν ἁγίων Πατέρων κατ' αὐτὴν εἰς εἰκόνα τινὰ τυπικὴν, ἀλλ' ἰσότητα φυσικὴν ἐπὶ Χριστοῦ κέχρηνται τῷ τοῦ ἀνθρώπου παραδείγματι.

ΚΕΦΑΛΑΙΟΝ ὈΚΤΩΚΑΙΔΕΚΑΤΟΝ.

Κεφάλαιον περὶ τοῦ ὑποδείγματος τῆς τοῦ ἀνθρώπου κατασκευῆς, καὶ συνθέσεως, καὶ ὅτι κακῶς αὐτὸ νοοῦσι οἱ Σευήρου σύμφρονες, βουλόμενοι, ἐκ δύο μερικῶν, καὶ ἁπλῶν φύσεων, μίαν φύσιν εἶναι τῆς θεότητος, καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κατὰ τὸ ἀνθρώπου παράδειγμα.

Σευήρου γὰρ ἤκουσαν λέγοντος. ὅτι ὥσπερ ἐπὶ τῆς μιᾶς τοῦ ἀνθρώπου φύσεως, μέρος μὲν ταύτης ἐστὶν ἡ ψυχὴ, μέρος δὲ τὸ σῶμα, οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ, καὶ τῆς μιᾶς αὐτοῦ φύσεως, μέρους τάξιν ἐπέχει ἡ θεότης. καὶ μέρους τὸ σῶμα. τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τὸ ὁμολογεῖν ἐκ δύο ἁπλῶν πραγμάτων εἶναι τὸν Χριστὸν ἐξ ἁπλοῦς θεότητος, καὶ ἐξ ἐλλειποῦς ἀνθρωπότητος, καὶ μὴ εἶναι αὐτὸν τέλειον ἐν θεότητι, ἀλλ' ἡμίθεον θεὸν, καὶ ἡμιμερῆ ἄνθρωπον. ἡμεῖς δὲ τὴν αὐτῶν ἀτοπίαν ἀνατρέποντες. οὕτω πρὸς αὐτοὺς παραταξώμεθα. Καὶ πρῶτον ἐκεῖνο ἐροῦμεν. ὅτι οὐκ ἐξο-

ſer nebula circũdetur, dicere potes, omnes ſtellas ſecundum proprias hypoſtaſes nebula circũdatas eſſe, ſed ſolùm ſecundum communem naturæ luminis proprietatem.

Scholium. Reliqua inuenientur in vltimo tetradio ſeu quaternione.

In has impietatis voragines incidũt hęretici, eò quòd, *Ariſtotelis more, de natura & hypoſtaſi philoſophentur: ille enim dixit, proprias naturas eſſe hypoſtaſes. Sancti igitur Patres hominis in Chriſto mentionem fecerunt; vt tanquam in figura quadam & vmbratili delineatione, demonſtrarent in Chriſto tam id, quod eſt aſpectabile, tam id, quod inaſpectabile; tam mortale, quàm immortale; tam quod ſub tactum cadit, quàm quod tactum effugit. At verò improbi Monophyſitarum ſectatores, arrepta ex ſanctis Patribus occaſione, non vtũtur amplius hoc exemplo hominis, tanquã imagine quadam ad rem vtcunque declarandam allata, ſed naturalem æqualitatem inde euincere contendunt.

*Non malè Ariſtoteles, ſed malè hæretici, qui Ariſtotelem non intellexerunt.

CAPVT DECIMVMOCTAVVM.

Caput de exemplo ex cõſtitutione & compoſitione hominis petito: quodq; illi Seueri aſſeclæ perperam accipiant & interpretentur, docentes ex duabus partialibus, & imperfectis naturis vnam naturam diuinitatis & humanitatis in Chriſto conſtitutam eſſe ſecundum allatum de homine exemplum.

Audiuerunt enim Seuerum aſſerentem: *quemadmodum vnius in homine naturæ alia pars eſt anima, alia corpus; ſic & in Chriſto, eiuſq; vna natura, vnã partem eſſe diuinitatem; alteram corpus.* Hoc verò nihil eſt aliud, quàm ex duabus rebus imperfectis, conſtitutũ eſſe Chriſtum, ex imperfecta nimirum diuinitate; & ex imperfecta humanitate: neq; diuinitate perfectum eſſe, ſed ſemideum quendam & ſemihominem. Nos verò hãc tantam eorum abſurditatem hunc in modum refellimus: Et primùm quidem illud reſpondemus,

ἐξομοιοῦνται τοῖς παραδείγμασι τὰ πράγματα. ἐπεὶ καὶ σκώληξ εἴρηται ἐν τῇ γραφῇ τύπος τοῦ χριστοῦ εἶναι, καὶ λέων, καὶ πρόβατον, καὶ ἀρνίον, καὶ φοίνιξ, καὶ μῆλον, καὶ κρίνον. ἀλλὰ μὴν οὐδὲν τούτων κατ' οὐσίαν ἐξομοιοῦται φυσικῶς. δεύτερον ἐκεῖνο πάλιν λέξομεν αὐτοῖς. ὅτι εἰ μὲν ἕτερον τι ἦν τὸ ὑπόδειγμα, ὃ προφέρετε ἡμῖν ἐπὶ χριστοῦ, καὶ ἕτερόν τι ὅπερ ἐπιδημήσας ἀνέλαβε, τάχα ἂν ἠδυνάσθε τι λέγειν εὔλογον ἔχειν ἐπὶ τούτῳ. ἐπειδὴ δὲ αὐτὸ τὸ παράδειγμα, λέγω δὴ τὸν ἄνθρωπον, ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν, τοῦτ' ἔστιν τὰς δύο ἡμῶν μερικὰς οὐσίας, ὡς λέγετε, καὶ οὕτως ἀπεκδέχεσθε δύο ἐπ' αὐτοῦ ὁμολογοῦντες τὰς φύσεις. μίαν μὲν τελείαν τὴν τοῦ θεοῦ λόγου. ἑτέρας δὲ ἡμισέας τῆς ἡμετέρας ψυχῆς, καὶ τοῦ σώματος.

Καὶ καθ' ἑτέρους δὲ πλείονας τρόπους εὑρήσεις τὸ τοῦ ἀνθρώπου παράδειγμα ἀνόμοιον ἐπὶ τοῦ χριστοῦ. Ὁ μὲν γὰρ ἄνθρωπος ἐκ δύο πραγμάτων κτιστῶν σύγκειται, τῆς ψυχῆς λέγω, καὶ τοῦ σώματος. Ὁ δὲ χριστὸς ἐξ ἀκτίστου θεότητος, καὶ κτιστῆς ἀνθρωπότητος. ὁ ἄνθρωπος, ἐκ δύο περιγραπτῶν. ὁ χριστὸς, ἐκ περιγραπτοῦ σώματος, καὶ ἀπεριγράπτου θεότητος. ὁ ἄνθρωπος, ἐξ ὑλικοῦ, καὶ νοεροῦ συνέστη. ὁ δὲ χριστὸς, ἐκ θεοῦ λόγου, καὶ λογικοῦ ἀνθρώπου, νοεροῦ εἰς ὕπαρξιν. οὔτε γὰρ σῶμα πρὸ τῆς ψυχῆς συνέστηκεν. οὔτε ἡ ψυχὴ πρὸ τοῦ σώματος. ὁ δὲ θεὸς λόγος, πρὸ πάντων τῶν αἰώνων, καὶ ψυχῶν, καὶ σωμάτων κατέστηκε. καὶ ἄλλα δὲ μυρία τοιαῦτα εὑρήσεις ἐπὶ τῆς θεότητος, μὴ ἁρμόζοντα, μήτε ἐπὶ τῆς ψυχῆς μήτε ἐπὶ τοῦ σώματος. Εἰ δὲ φιλονεικεῖ ὁ Σευῆρος κατ' ἰσότητα τῆς τοῦ ἀνθρώπου συνθέσεως ἀποδεῖξαι καὶ τὴν ἄρρητον ἕνωσιν τοῦ χριστοῦ, μανθανέτω ὁ ἀπαίδευτος, ὅτι ὁ βουλόμενος τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἀκριβέστερον διασκέψασθαι, οὐ μόνον ἐκ δύο φύσεων εὑρήσει τοῦτον συγκείμενον, ἀλλὰ καὶ ἐκ πλειόνων. ἐκ τεσσάρων μὲν γὰρ ἁπλῶν οὐσιῶν, ἤτοι τῶν στοιχείων σύγκειται τὸ σῶμα. ἑτέρα δὲ παρὰ ταῦτα οὐσία ἐστὶν ἡ ψυχή. ἑτέρα δὲ ἡ τοῦ

θεοῦ

demus, exempla non esse, quoad omnia, rebus similia, nam in scriptura etiam *vermiculus* figuram Christi gerit, & leo, & ouis, & agnus, & palma, & pomũ, & lilium, quorum nihil secundum naturalem suam substantiam Christo simile censeri potest. Secundò respondemus: si exemplum, quod nobis de Christo obiicitis, aliud quiddam esset, & aliud, quod in aduentu ad nos suo Christus assumpsit, potuissetis fortassis aliquid *hic* afferre, quod à ratione non prorsus alienum foret. At verò cùm Christus ipsum exemplum, nempe humanam naturam, hoc est, duas nostras partiales naturas, vt dicitis, sibi hypostaticè vniuerit, fit, vt duas in Christo naturas constituatis; vnam quidem perfectam diuini Verbi: alias verò dimidiatas, animæ nimirum nostræ & corporis.

Psal.21.
2.Reg.23.
Apocal.5.
Isa.53.
Cant.7.
Cant.4.
Cant.2.5.7.

Aliis etiam modis difficile non fuerit deprehendere dissimilitudinem exempli ex hominis compositione adducti. Nam homo constat ex duabus rebus creatis, ex anima, inquam, & corpore: at Christus ex increata diuinitate, & creata *humanitate*. Homo ex duobus circumscriptis compositus est; *Christus ex circumscripto corpore*, & ex incircũscripta diuinitate. Homo ex materiali & intellectuali parte coagmẽtatus est; At Christus ex Verbo diuino, & humanitate rationis participe; & secundum existentiam rationali. Neq; corpus exstitit ante animam, neque anima ante corpus. At Verbum diuinum ante omnia sæcula, ante animas & corpora exstitit; Alia innumera huius generis reperies in diuinitate, quæ neque animæ, neque corpori competant. Quod si conetur Seuerus probare per omnia esse æqualitatem in compositione hominis, & in inenarrabili vnione Christi, nouerit imperitus, eum qui hominis constitutionem accuratius perpendere ac introspicere velit, comperturum, eum non modò ex duabus, sed & ex pluribus naturis constare. Nam corpus conflatum est ex quatuor simplicibus naturis siue elemẽtis; Distincta verò ab his natura est anima; Diuersa item natura Verbi. Itaque exem-

θεοῦ λόγου. ὥστε ὑποδείγματι, ἀλλ᾽ οὐκ ἰσότητι ἐπὶ Χριστοῦ νοητέον τὸν ἄνθρωπον.

ΚΕΦΑΛΑΙΟΝ ἘΝΝΑΤΟΝ ΚΑῚ ΔΈΚΑΤΟΝ.

Ἀντίθεσις κακοτρόπου Παυλιανιστοῦ πρὸς Σευηριανὸν προφέροντα κατ᾽ ἰσότητα τοῦ Χριστοῦ εἶναι τὴν τοῦ ἀνθρώπου σύνθεσιν.

ΠΑυλιανιστής. Ἀγωνιζόμενος Σευῆρος μερικὸν θεὸν, καὶ μερικὸν ἄνθρωπον ἀποδεῖξαι τὸν Χριστὸν, ἐκ δύο ἁπλῶν φύσεων μίαν ὑπάρχοντα φύσιν, ἄνω, καὶ κάτω, τὸ τοῦ ἀνθρώπου ἡμῖν φέρει, καὶ ἀποφέρει ὑπόδειγμα. Μήτε τῆς Μωσαϊκῆς, μήτε τῆς προφητικῆς, ἢ εὐαγγελικῆς γραφῆς τῆς μαρτυρούσης εἰς τύπον τῆς Χριστοῦ συνθέσεως εἶναι, τὴν ψυχὴν, καὶ τὸ ἀνθρώπινον σῶμα. ἀλλ᾽ ἀποτυφλωθεὶς καταλιπὼν τοὺς τῶν θείων γραφῶν περὶ Χριστοῦ τύπους καὶ ἰδίους ἀναπλάττεται μύθους. τύπος μὲν γὰρ πρωτότυπος, καὶ θεοχάρακτος ἐν τῇ θείᾳ γραφῇ τυγχάνει τοῦ Χριστοῦ, ὁ θεῖος Ἰσαὰκ, καὶ ὁ ἀντ᾽ αὐτοῦ σφαγιασθεὶς κριὸς, τῶν δύο προσώπων τῶν ἑτερογενῶν αὐτοῦ, σαφῶς τὴν εἰκόνα προδιαγράφοντες. οὐ τοῦτον δὲ, καὶ μόνον τὸν τύπον ὁ χορὸς τῶν ἀοιδίμων πατέρων οἶδεν εἰς Χριστὸν ἀναφέρειν· Ἀλλὰ καὶ ἑτέρους πλείονας, λέγω δὴ τὸν ἱερὸν Μωσέα, καὶ τὴν θήκην, εἰς ἣν κατακλεισθεὶς ἀπερρίφη ὑπὸ τῆς ἰδίας μητρὸς ἐν τῷ ῥείθρῳ τοῦ ποταμοῦ. δύο πάλιν ἡμῖν τὰς Χριστοῦ ὑποστάσεις κηρύττουσι ἡ θεία γραφὴ, διὰ τοῦ Μωσέως, καὶ τῆς κιβωτοῦ καθάπερ καὶ ἡ ἑτέρα κιβωτὸς ἡ ἐκ ξύλων ἀσήπτων, καὶ χρυσίου συγκειμένη τύπον ἐνεργῆ φέρει ἡμῖν, τῶν ἑτερουσίων φύσεων ἤγουν Χριστοῦ ὑποστάσεων. τί δὲ ἄρα δοκεῖ τῷ Σευήρῳ αἰνίττεσθαι, καὶ ἡ στάμνος ἡ χρυσῆ, ἡ τὸ οὐράνιον ἔχουσα μάννα, εἰ μὴ τὰς ἀλλοφύλους, καὶ ἑτεροφυεῖς τοῦ Χριστοῦ ὑποστάσεις? ὡσαύτως, καὶ αἱ δύο τρυγόνες, ἡ θυομένη, καὶ μὴ θυομένη, δύο

exemplum hominis de Christo accipi debet, vt exemplum, non vt æqualitatis argumentum.

CAPVT DECIMVMNONVM.

Oppositio improbi Paulianistæ aduersus Seuerianum, contendentem; æqualem prorsus esse rationem Christi, quæ est in compositione hominis.

PAulianista. Seuerus demonstrare conatus Christum esse partialem Deum, & partialem hominẽ; vnamque naturam ex duabus imperfectis naturis conflatam, perpetuo nobis ingerit, & occinit exemplum de homine; cum neque Mosaica, neque Prophetica, neq; Euangelica scriptura, vsquam testificetur animam & corpus hominis, esse formã & exemplar compositionis Christi: Nimirum, cùm de Christo disserit, oblitus à sacris litteris tradita exempla vsurpare, proprias sibi comminiscitur fabellas, In diuina enim scriptura typum Christi, imò & prototypum à Deo expressum, & delineatũ gerit diuinus Isaac, & qui loco eius immolatus est, aries, duæ scilicet personæ, diuersa natura, & substantia constantes. Neque hunc solum typum retulerunt sancti Patres ad Christum, sed & alios, Moysen, inquam, & fiscellam, in qua abiectus est à matre in fluuium. Vbi diuina scriptura rursus duas hypostases deprædicat, per Moysen videlicet ac fiscellam seu arcam, quemadmodum & alia arca ex lignis imputribilibus, & auro confecta, manifestum typum nobis exhibet diuersarum in Christo naturarum siue hypostaseωn. Et quidnam Seuero insinuare videtur arca aurea, in qua cœleste manna asseruabatur, nisi diuersas & nullo cognationis vinculo inter se colligatas Christi hypostases? Similiter & duo turtures; quorum alter sacrificabatur, alter non sacrificabatur, manifestissimam gerunt duarum in Christo personarum figuram; impassibilis, inquam, diuinitatis, & passi-

Gen. 22. *Exod. 2.* *Exod. 25.* *Heb. 9.* *Leuit. 5.* *Num. 6.*

νη, δύο χριστοῦ προσώπων εἰσὶ δηλωτικὰ σαφῶς, λέγω δὴ τῆς ἀπαθοῦς αὐτοῦ θεότητος, καὶ τῆς παθητῆς αὐτοῦ σαρκός. ὥσπερ πάλιν, καὶ οἱ δύο τράγοι. ὁ σφαζόμενος, καὶ ὁ εἰς τὴν ἔρημον ἐκπεμπόμενος, σαφῶς ἡμῖν τὸ διάφορον τῶν τοῦ Εμμανουὴλ λαλοῦσι χαρακτηριστικῶν ὑποστάσεων, τοῦ ἐν μορφῇ θεοῦ, καὶ ἐν μορφῇ ἀνθρώπου ὑπάρχοντος. Εἰ δὲ διάκνεται, καὶ κρεουργεῖται τούτων ἀκούων Σευῆρος, καὶ οἱ σὺν αὐτῷ ἀπαρνούμενοι τὴν τοῦ σωτῆρος ἐνανθρώπησιν, πάντως λέξουσι, μὴ ἐξομοιοῦσθαι τὰ παραδείγματα αὐτοῖς τοῖς πράγμασιν. οὐκοῦν ὦ ἀνόητοι, μηδὲ τὸ τοῦ ἀνθρώπου ὑπόδειγμα ἐν ἀπαραλλέκτῳ ἰσότητι τῆς ἑνώσεως, καὶ ἐνανθρωπήσεως τοῦ χριστοῦ κηρύττετε ἐπὶ ἀθετήσει τῶν ἑκατέρων αὐτοῦ φύσεων.

Σχόλιον. ἐκ δύο ἀθανάτων, λόγου, καὶ ψυχῆς, καὶ θνητοῦ σώματος σύγκειται ὁ χριστὸς. καὶ πῶς λοιπὸν ἐπὶ τοσαύτης ἑτερουσίας, καὶ παραλλαγῆς ἀσυγχύτου, μία φύσις δύναται εἶναι;

Τούτων ἐξ αἱρετικῶν πρὸς αἱρετικοὺς εἰρημένων οὐ βλάπτει ἔχειν τὴν αὐτῶν εἴδησιν, καὶ ἥλῳ τὸν ἧλον συντρίβειν τῶν κακοτρόπων.

ΚΕΦΑΛΑΙΟΝ ΕἸΚΟΣΤΟΝ.

Κεφάλαια συλλογιστικὰ κατὰ Σευηριανῶν ἀφρόνων.

Ερώτησις ὀρθοδόξου. καθ' ὑπόστασιν ἀδιαίρετον, καὶ ἄρρητον ὁμολογεῖς ἐν τῇ σαρκώσει ἑνωθέντα τὸν θεὸν λόγον τοῖς σπλάγχνοις, καὶ τοῖς στέρνοις τῆς παναμώμου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. ἢ κατενοίκησιν ψιλὴν, καθ' ὁμοιότητα τῶν λοιπῶν ἀνθρώπων ὡς ἐν σκηνῇ τινι, καὶ οἴκῳ, καθὰ λέγει Νεστόριος;

Ὁ Ἀκέφαλος. πρόδηλον, ὅτι καθ' ὑπόστασιν ἄρρητον, καὶ ἀδιαίρετον ὁμολογοῦμεν ἑνωθέντα τὸν θεὸν λόγον τῇ οὐσίᾳ, καὶ γαστρὶ, καὶ τοῖς σπλάγχνοις αὐτῆς, καθὰ καὶ οἱ ἅγιοι πατέρες ἐκήρυξαν.

Ὁ ὀρθό-

paſsibilis carnis illius; Quemadmodum & duo hirci, quorum vnus immolabatur, alter in deſertum dimittebatur, clarè nobis repræſentant characteriſticarum hypoſtaſeωn diuerſitatem in Emmanuele noſtro tam in forma Dei, quàm in forma hominis ſubſiſtente. Si verò iſta Seuerum, omneſque illos, qui Saluatoris Incarnationem inficiantur, mordent & lancinant, omnino neceſſe eſt, vt fateantur, exempla non ſemper omni ex parte rebus reſpondere. Quocirca, ô ſtolidi, neq; hominis exemplum inuariabili ſimilitudine, & æqualitate ad vnionem & incarnationem Chriſti accommodate, idque eo fine, vt alterutram ipſius naturam euertatis. *Num. 28.*

Scholium. Ex duobus immortalibus Verbo nimirum & anima; & ex mortali corpore conſtat Chriſtus; & quomodo ex tanta ſubſtātiæ differentia, & diuerſitate poteſt vna nátura conſtitui?

Hæc ab hæreticis aduerſus hæreticos prolata, noſſe; & clauum improborum clauo pellere expedit.

CAPVT VIGESIMVM.

Variæ quaſtiones contra Acephalos.

QVæſtio orthodoxi. Num confiteris Verbum diuinum ſecundum hypoſtaſin indiuiſibilem & ineffabilem in Incarnatione vnitum viſceribus, & præcordiis integerrimæ Deiparæ & ſemper Virginis Mariæ, an ſecundum ſolam inhabitationem, ad ſimilitudinem aliorum hominum, tanquam in tabernaculo & domo quadam, vt vult Neſtorius?

Acephalus. Conſtat, nos confiteri Verbum diuinum ſecundum ineffabilem, & indiuiſam ſuam hypoſtaſin ſubſtantiæ, ventri & viſceribus matris vnitum fuiſſe, vt & ſancti Patres tradiderunt.

Ὁ ὀρθόδοξος. οὕτως ἔχει ἡ ἀλήθεια, καὶ οὕτω πιστεύομεν, καὶ οὕτως κηρύττομεν. εἰπέ μοι λοιπὸν, παρακαλῶ, ὦ βέλτιστε, τοῦ θεοῦ λόγου καθ' ὑπόστασιν ἡνωμένου τοῖς σπλάγχνοις, καὶ σαρκὶ, καὶ μυελοῖς τῆς πανυμνήτου θεοτόκου, καὶ ἀδιαιρέτως, καὶ ἀχωρίστως σαρκωθέντος, καὶ συμπλακέντος τῇ παναχράντῳ ὑπάρξει αὐτῆς, ὅτε ἔφερεν αὐτὸν ἐν γαστρὶ, καθ' ὑπόστασιν ἡνωμένον ἐν αὐτῇ τὸν ἐννεαμηνιαῖον χρόνον, πότερον μία φύσις ἦν ἡ παρθένος, καὶ ὁ καθ' ὑπόστασιν ἡνωμένος τῇ σαρκὶ αὐτῆς θεὸς λόγος, ἢ δύο φύσεις; καὶ εἰ μὲν μίαν φύσιν εἴπῃς τῆς γυναικὸς, καὶ τοῦ θεοῦ λόγου, εἰπέ μοι, πόσον μέρος ταύτης τῆς μιᾶς φύσεως ἐν τῷ τόκῳ λαβὼν ὁ Χριστὸς, διέστη ἐξ αὐτῆς; καὶ πόσον ἀπέμεινεν ἐν αὐτῇ; Εἰ δὲ οὐκ ἔστι μία, ἀλλὰ δύο φύσεις, ἡ παρθένος, καὶ ὁ θεὸς λόγος, μετὰ τὸ γενέσθαι τὴν καθ' ὑπόστασιν ἕνωσιν ἐν τῇ κοιλίᾳ αὐτῆς, τί μάτην προφασίζεσθε φάσκοντες, ἀδύνατον εἶναι δύο φύσεις μετὰ τὴν καθ' ὑπόστασιν, ἕνωσιν;

Ἄλλος λόγος. Ἡ ἐκ τόπου εἰς τόπον ἐκπορευτικὴ μετάστασις, οὐκ ἔστιν ἀπεριγράπτου φύσεως. τὸν οὐρανὸν γὰρ, καὶ τὴν γῆν πληροῖ ὁ λόγος, καὶ θεός. σαρκωθεὶς τοίνυν, καὶ τεχθεὶς ἐκ τῆς ἁγίας Παρθένου, πῶς προῆλθε, καὶ ἐχωρίσθη ἐξ αὐτῆς ὁ Χριστός; Κἂν γὰρ κατὰ σάρκα ψιλὴν εἴπῃς αὐτὸν χωρισθέντα ἐν τῷ τόκῳ, ἐκ τῆς μητρὸς, ἰδοὺ τὰ Νεστορίου φρονεῖς. εἰ δὲ σαρκὶ, καὶ θεότητι χωρισμὸν ἐκ τῆς μητρὸς πεποίηκε, πῶς ἡ καθ' ὑπόστασιν ἡνωμένη θεότης τοῖς σπλάγχνοις, καὶ στέρνοις τῆς ἁγίας Παρθένου ἐχωρίσθη τεχθεῖσα ἀπ' αὐτῆς;

Ἄλλως περὶ αὐτοῦ ἐρωτήσεως. πῶς φρονεῖς τὸ πανάγιον πνεῦμα κατελθὸν ἐν τῷ Ἰορδάνῃ, καὶ μεῖναι ἐν Χριστῷ; κατ' οὐσίαν, καὶ κατὰ ἀλήθειαν ὑποστατικῶς, ἢ κατὰ χάριν τινὰ, καὶ ἁγιασμὸν, ὡς ἐφ' ἑνὸς τῶν προφητῶν, καὶ ψιλῶν ἀνθρώπων, καθά φησιν οἱ αἱρετικοί;

Ὁ ἀκέ-

Orthodoxus.* Sic se habet veritas, sic credimus, sic docemus. Dic amplius, ô bone, verbo diuino secũdum hypostasin visceribus, carni & medullis decantatissimæ Deiparæ vnito, indiuisibiliter itidem & inseparabiliter incarnato, & existẽtiæ eius immaculatæ & illibatę quasi adnato & concreto; quando ferebat Verbum in vtero sibi secundum hypostasin coniunctum, & quidem nouem mensium spatio: Num vna natura erat Virgo, & Verbum diuinum secundum hypostasin illi vnitum, an duæ naturæ? Et si matris & Verbi diuini vnam naturam arbitraris esse, cedo, quam nam partem huius vnius naturæ accipiens Christus in partu à matre seiunctus est; & quænam pars remansit in Virgine? Si verò Virgo & Verbum non sunt vna, sed duæ naturæ post vnionem hypostaticam in vtero Virginis peractam, cur ergo incassum perpetim vociferamini, fieri non posse, vt post vnionem hypostaticam sint naturæ duæ?

Alia quæstio. Si transitio de loco ad locum incircumscriptę naturę non conuenit; Verbum enim cœlum & terram implet; quomodo incarnatus, & ex sanctissima Virgine, natus Christus ex eadem processit, & ab eadem seiunctus est? Nam si dicas, eum in partu sola & nuda * carne à matre separatum esse, iam in Nestorij errorem incurris. Si verò carne & diuinitate, * à matre seiunctus est, quomodo diuinitas secundum hypostasin visceribus & præcordiis sanctissimæ Virginis vnita, per natiuitatem ab illa * separari potuit?

Alia quæstio. Quomodo existimas, Spiritum sanctum, Christo in Iordane baptizato, descendẽtem mansisse in Christo? num hypostaticè secundum substantiam & veritatem, an secundum gratiam quandam & sanctificationem quemadmodum in Prophetis, iisque qui tantum sunt homines, manere solet, vt placet hæreticis?

**Verbum diuinum non fuit hypostaticè vnitũ visceribus & vtero beatæ Virginis, sed corpori ex beata Virgine assumpto: quod corpus cũ Verbo hypostaticè vnitum, aliter sanctissimæ Virgini non vniebatur, quàm quomodo infãs in vtero materno cum matre sua vniri solet. Dicit tamẽ Anastasius, Verbum hypostaticè cum diua Virgine fuisse vnitũ; quia hypostaticè vnitũ fuit carni ex D. Virgine assumpta. Et non tantum secundum inhabitationẽ gratiæ & gloriæ, vt volebat Nestorius. Quapropter merito etiam Deiparæ nomen tulit, cum Deum incarnatum seu humanæ naturæ secundum hypostasin vnitum verè pepererit.* ** id est, carne cum diuino verbo hypostaticè non vnita.* ** id est, carne cum verbo hypostaticè vnita.* ** Diuinitas non fuit seiuncta à Virgine per partum; sed corpus hypostaticè cum Deo Verbo coniunctum, cum enim diuinitas seu hypostasis Verbi vbiq; præsens sit, localiter moueri nequit. Et tamen Deus seu Verbum verè ex vtero Virginis exiit, sed Deus seu Verbum secundum humanam naturam: seu quà homo.*

Ὁ ἀκέφαλος. Πρόδηλον, ὅτι οὐσιωδῶς, καὶ οὐχ ὡς ἐφ' ἑνὸς τῶν προφητῶν ὁμολογοῦμεν τὸ πανάγιον πνεῦμα ἐπιδημῆσαι, καὶ μεῖναι ἐν τῷ Χριστῷ. Ὁ ὀρθόδοξος. Λέγε μοι λοιπὸν, παρακαλῶ, τοῦ ἁγίου πνεύματος ὑποστατικῶς, ὡς λέγεις, μείναντος ἐν τῷ Χριστῷ, ὁ λόγος, καὶ ἡ σάρξ, καὶ τὸ ἅγιον πνεῦμα μία φύσις εἰσὶν, ἢ δύο;

Ἄλλως πρὸς τοὺς αὐτούς. Ὁ θεῖος Ἀπόστολος φησὶν, ὅτι ἐν Χριστῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. πρόδηλον οὖν ὅτι ἐν τῇ ἑνώσει τῇ γινομένῃ τῇ ἁγίᾳ Παρθένῳ, τότε ᾤκησεν ἀῤῥήτως ἐν αὐτῇ πᾶν τὸ πλήρωμα τῆς θεότητος. ὑπάρχοντος τοίνυν παντὸς τοῦ πληρώματος τῆς θεότητος ἐν αὐτῇ ἀδιαιρέτου, πότερον μία φύσις ἦν τῆς παρθένου, καὶ τοῦ πληρώματος παντὸς τῆς θεότητος διὰ τὴν ἕνωσιν, ἢ δύο φύσεις;

Ἄλλως. Εἰ διὰ τὸ ἀχώριστον, καὶ ἀδιαίρετον τοῦ θεοῦ λόγου, καὶ τῆς ἐμψύχου αὐτοῦ σαρκὸς μία φύσις ὁ θεὸς λόγος, καὶ ἡ σάρξ τυγχάνει, πάντως ὅτι διὰ τὸ ἀχώριστον αὐτὸν εἶναι τοῦ θρόνου χερουβικοῦ μία λοιπὸν φύσις, ὁ θρόνος, καὶ ὁ θεὸς λόγος ὁ ἐν αὐτῷ ἐστιν.

Ἄλλως. Τὸ ἀσώματον πρὸς τὸ ἀσώματον, καὶ τὸ ἄϋλον, πρὸς τὸ ἄϋλον, οἰκειοτέραν πάντως, καὶ εὐχερεστέραν, καὶ ἀχωριστοτέραν τὴν ἕνωσιν ἔχει, ὡς ὁμοφυὲς, καὶ πνευματικὸν, καὶ ὁμοούσιον πρὸς τὸ ὁμοούσιον. ὑπὲρ τὴν ἕνωσιν τοῦ ἀσωμάτου πρὸς τὸ ὑλικόν. καὶ τοῦ ἀφθάρτου, πρὸς τὸ φθαρτόν. καὶ τοῦ ἀπαθοῦς, πρὸς τὸ παθητόν. καὶ τοῦ ἀπεριγράπτου πρὸς τὸ περιγραπτόν. Εἰ οὖν μία φύσις διὰ τὴν ἀχώριστον ἕνωσιν, ἐστὶ τῆς περιγεγραμμένης, καὶ θνητῆς σαρκὸς, καὶ τοῦ ἀπεριγράπτου ἐν αὐτῇ θεοῦ λόγου. πολλῷ πλέον μία λοιπὸν ὑπόστασις ἔσται τοῦ θεοῦ, καὶ πατρὸς, καὶ τοῦ ἀχωρίστου τῶν κόλπων αὐτοῦ μονογενοῦς υἱοῦ εἴπερ ἀχώριστον δοξάζεις τὸν υἱὸν τῶν κόλπων τοῦ πατρός. ὅσας γὰρ ἂν ἑνώσεις εἴπῃς τοῦ κτιστοῦ, πρὸς τὸ ἄκτιστον, οὐκ οἶμαι εἶναι ταύτας ἑνωτικωτέρας τῆς σὺν ἀλλήλοις ὑπάρξεως τῶν ὁμοφυῶν, καὶ ἀΰλων ὑποστάσεων τοῦ θεοῦ. Εἰ καὶ τὰ μάλιστα ἐν τρισὶν ἀσυγχύτοις ὑποστάσεσι, τὴν ὁμοούσιον τριάδα πιστεύομεν.

Ἄλλως. Σευήρου, καὶ Τιμοθέου, καὶ ὑμῶν λεγόντων, ὅτι φύσις Χριστοῦ μόνη θεότης ἐστι. λέγοντος δὲ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς, περὶ Λαζάρου,

Acephalus. Manifestum est Spiritum sanctum substantialiter ad Christum venisse, inque eo mansisse, non autem vt in aliquo Propheta. Orthodoxus. Dic ergo mihi; cùm, vt ais, Spiritus sanctus in Christo hypostaticè manserit; num Verbum & caro, & Spiritus sanctus vna sunt natura an duæ?

Alia quæstio ad eosdem. Diuinus Apostolus ait; *in Christo habitare omnem diuinitatis plenitudinem corporaliter:* Planum igitur fit, in vnione facta in sacratissimæ Virginis vtero, ineffabiliter habitasse in illa omnem diuinitatis plenitudinē. Cùm igitur in illa omnis plenitudo indiuisæ diuinitatis exstiterit; quæro vtrum fuerit vna natura Virginis, & omnis illius plenitudinis indiuisæ diuinitatis propter vnionem, an duæ naturæ? *Coloss. 4.*

Alia quæstio. Si vna est Verbi diuini & carnis assumptæ natura, eò quod inseparabili & indiuulso nexu cohæreant, sequitur thronum Cherubicum & Verbum, quod in illo resideat, vnam eandemque naturam esse; quia à se mutuò separari non possunt.

Alia quæstio. Incorporeum cum incorporeo; & quod materia caret; cum eo, quod materiæ est expers, conuenientius, facilius & inseparabilius vniri potest; tanquam cognatum, spirituale, & consubstantiale cum consubstantiali, quàm vniatur incorporeum cum materiali, & corruptionis expers cum corruptibili, & impatibile cum patibili, & incircumscriptum cum circumscripto. Si igitur propter inseparabilem vnionem vna est naturæ circumscriptæ & mortalis carnis, & incircumscripti Verbi in carne habitantis, multò magis vna erit hypostasis Dei patris, & eius, qui ab ipso indiuulsus est, vnigeniti filij. Si, tuo iudicio, à sinu patris filius est inseparabilis. Quascunque enim vniones creati cum increato enumeres, non arbitror illas arctiores esse, quam nexum illum mutuum subsistentiæ cognatarum & materiæ expertium diuinarum hypostaseωn, tametsi maximè in tribus inconfusis hypostasibus consubstantialem Trinitatem subsistere credimus.

Alia quæstio. Seuero, Timotheo, & vobis asseuerantibus, Christi naturam esse solam diuinitatem: Christo autem de

Λαζάρου, ὅτι ἀπέθανε, καὶ χαίρω, ὅτι οὐκ ἤμην ἐκεῖ. πῶς θεὸς ὢν οὐκ ἦν ἐκεῖ; ποῦ οὐκ ἔστιν ὁ θεός; πάντως ἀληθῶς ἐν τῇ καρδίᾳ Σευήρου, καὶ ὑμῶν, οὐκ ἔστιν ὁ θεός. διὸ περὶ τῶν ὑμετέρων καρδιῶν λέγει καὶ ὁ ἅγιος ἄγγελος, ὅτι ἠγέρθη, οὐκ ἔστιν ἐν ταῖς ὑμετέραις ψυχαῖς.

Σχόλιον. Διὰ συντόμου χρησίμως.

Αὐτὰ περὶ τῶν αὐτῶν ταυτολογούντων, καὶ προβαλλομένων τῶν μονοφυσιτῶν· ἀνάγκη καὶ ἡμᾶς ταῦτα λέγειν, τὰς τῶν ἁγίων Πατέρων φωνὰς πρὸς αὐτούς. Καθὰ οὖν καὶ ἐν τῇ δευτέρᾳ πρὸς αὐτοὺς διαλέξει προείρηται ἐν τῷ τρίτῳ τετραδίῳ, πάλιν διὰ συντόμου ἐροῦμεν, ἐρωτώμενοι παρ' ἡμῶν, πᾶσαν Εὐαγγελικὴν, καὶ Ἀποστολικὴν, καὶ Προφητικὴν, καὶ Μωσαϊκὴν πτωχοπρεπῆ φωνὴν ἁρμόζουσαν τῇ ἀνθρωπίνῃ φύσει τοῦ Χριστοῦ. οἷον τὸ Προφήτην ὑμῖν ἀναστήσει Κύριος. καὶ τό, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος. καὶ τό, ἰδοὺ συνήσει ὁ παῖς μου. καὶ τό, ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; καὶ πάλιν τὰς εὐαγγελικὰς φωνάς, οἷον, τό, ὁ πατήρ μου, μείζων μού ἐστι. Καὶ τό, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. καὶ, τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν εἶπον ὑμῖν; Καί, Λάζαρος ἀπέθανε, καὶ χαίρω, ὅτι οὐκ ἤμην ἐκεῖ. καὶ τό, ὑπὸ τοῦ ἀγγέλου λεγόμενον. ὅτι ἠγέρθη, οὐκ ἔστιν ὧδε. Καί, ὁ Ἰησοῦς ὁ παῖς προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι. Καί, ὑπετάσσετο τοῖς γονεῦσιν. καὶ τό, ὁ θεὸς, καὶ τὸν κύριον ἤγειρε. καὶ τό, ἐδόξασε τὸν παῖδα αὐτοῦ, Ἰησοῦν, τοῦτ' ἔστι, τὸν δοῦλον αὐτοῦ. Καὶ ἁπλῶς συντόμως εἰπεῖν, οἷον δή ποτε ῥῆμα πτωχοπρεπὲς Χριστοῦ ἐκ θείας γραφῆς, ἐρωτήσωμεν αὐτούς, ὅτι κατὰ ποίαν φύσιν τοῦ Χριστοῦ ταῦτα ἅπαντα εἴρηνται, αὐτοὶ ἀποφεύγοντες τὸ εἰπεῖν τὴν σάρκα τοῦ Χριστοῦ φύσιν, λέγουσιν, ὅτι κατὰ τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ ταῦτα λέγονται, κατὰ τὸ πρόσλημμα, κατὰ τὸ ὁρώμενον, κατὰ τὸ σῶμα, κατὰ τὴν σάρκα· καὶ ἁπλῶς μυρίας ἄλλας προσηγορίας ὀνομάζουσι τὴν ἀνθρωπότητα αὐτοῦ. φύσιν δὲ οὐδαμῶς αὐτὴν λέγειν ἀνέχονται. εἶτα, ἐρωτῶμεν αὐτούς. ὅτι τίνος χάριν παραιτεῖσθε τὸ ὀνομάσαι φύσιν τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ; καὶ ἀποκρίνονται λέγοντες, ὅτι ἐὰν εἴπωμεν αὐτὴν φύσιν, ἐξ ἀνάγκης πάσης λέγομεν αὐτὴν καὶ πρόσωπον. καὶ εὑρισκόμεθα δύο πρόσωπα ὁμολογοῦντες, ὥσπερ ὁ Νεστόριος. οὐκ ἔστι γὰρ φύσις ἀπρόσωπος.

Ἐρώτησις

Lazaro dicente: *mortuus est, & gaudeo, quia non eram ibi*; quomodo cùm Deus esset, non erat ibi? Vbinam non est Deus? Verè in corde Seueri & vestro non est Deus. Quare & de cordibus vestris sacer ait Angelus: *surrexit, non est* in animabus vestris. Ioan.11. Marci 16.

Scholium. Breuiter, sed vtiliter.

Porrò cùm eadem de iisdem sæpius repetant & oggerant Monophysitæ, necesse est, vt & nos sanctorum Patrum testimonia aduersus illos iteremus. Quemadmodum igitur iam in secunda cum illis disceptatione (quam in tertio Tetradio seu quaternione inuenies) fecimus, omnia illis scripturæ Euangelicæ & Apostolicæ, Propheticæ & Mosaicæ testimonia, humilitatis Christi indicia & naturæ humanę conuenientia proponemus: vt illud: *Prophetam suscitabit vobis Dominus*. Et illud: *Factus sum sicut homo sine adiutorio*. Et illud: *Ecce intelliget puer meus*. Et, *homo est, & quis cognoscet illum?* Item dicta Euangelica: Vt, *Pater meus maior me est*. Et, *non possum à meipso facere quidquam*. Et illud: *Me autem non semper habebitis*. Et, *Quid quæritis me interficere hominem, qui veritatem dixi vobis*. Et, *Lazarus mortuus est, & gaudeo, quia non eram ibi*. Et illud Angeli: *Surrexit, non est hic*. Et, *Puer* IESVS *proficiebat sapientia, & ætate, & gratia: & subditus erat parentibus*. Et illud: *Deus etiam Dominum suscitauit, & glorificauit puerum suum* IESVM, hoc est, seruum suum; & vt rem in pauca conferam; qualemcunque locum, abiectionis Christi testimonium ex diuina scriptura proferamus; semper rogabimus: secundum quam naturam Christi, hæc vilia & despicabilia dicta accipi & intelligi debeant. Ipsi abnuentes carnem Christi appellare naturam, aiunt; hæc de Christo dici secundum humanitatem; secundum id, quod assumptum est, & sub aspectum cadit; secundum corpus, & secundum carnem; innumerabilia nomina humanitati tribuunt; sed vt humanitatem naturę nomine afficiant, induci nequeunt. Deinde quæramus, qua de caussa nolint humanitati appellationem naturæ concedere, qui mox respondebunt; *si nominemus naturam, necessariò etiam nominabimus hypostasin; & cum Nestorio duas hypostases seu personas in Christo constituemus, neque enim est vlla natura absque persona*.

Deuter.18. Psal.87. Isai.52. Hierem 17. Ioan.14. Ioan.12. Matth.26. Ioan.7. Ioan.11. Matth 28. Luc.2. Actor.3.

Ἐρώτησις ὀρθοδόξου πρὸς ταῦτα.

Τί οὖν, ὦ ἄνδρες; πᾶς ὁ λέγων τὴν σάρκα τοῦ Χριστοῦ φύσιν, καθὼς καὶ ἡ Σύνοδος Χαλκηδόνος αὐτῆς εἶπεν, Νεστοριανὸς ὑπάρχει; ἀποκρίνονται πρὸς ταῦτα οἱ Σευήρου λέγοντες. Ναί, οὐκ ἔστι γὰρ φύσις ἀπρόσωπος. ὅτι οὖν ταῦτα εἴπωσι, τότε προφέρομεν αὐτοῖς τὰς προειρημένας ἐν τοῖς ἔμπροσθεν τῶν ἁγίων Πατέρων χρήσεις, τὰς ὀνομαζούσας τὴν σάρκα τοῦ Χριστοῦ φύσιν, καὶ μετὰ τὴν ἕνωσιν. καὶ ἐλέγχομεν αὐτούς, ὅτι οὐ τοῖς ἁγίοις Πατράσιν ἀκολουθοῦσιν, ἀλλὰ τῇ νομοθεσίᾳ Σευήρου στοιχοῦντες ἀπορρίπτουσι τὰς φωνὰς τῶν ἁγίων Πατέρων, Νεστοριανοὺς αὐτοὺς δεικνύντες, διὰ τὸ ὀνομάζειν αὐτοὺς φύσιν τὴν σάρκα τοῦ Χριστοῦ. ταῦτα δὲ πάντα κατ' ἀντιπάθειαν τῆς Συνόδου Χαλκηδόνος ποιοῦσι, δι' αὐτὴν ἀρνούμενοι τοὺς ἁγίους Πατέρας, καὶ στοιχοῦντες μᾶλλον Σευήρῳ τῷ οἰκείῳ διδασκάλῳ κακῶς, τῷ νομοθετήσαντι αὐτοῖς, καὶ εἰπόντι, ὅτι κἂν αὐτοῦ τοῦ ἁγίου Κυρίλλου ἐστὶ φωνὴ λέγουσα δύο φύσεις ἐν Χριστῷ, μὴ δέξασθε ταύτην.

Ἐπειδὴ δέ, ὡς καὶ ἄλλοτε εἶπον, γινώσκων ὁ Σευῆρος τὴν φωνὴν τῶν δύο φύσεων τῶν ἀδιαιρέτων Χριστοῦ πατρικὴν οὖσαν, καὶ ἀδιάβλητον, καὶ ἀπορῶν πρὸς τὴν ταύτης ἀνατροπήν, προφασίζεται προφάσεις ἐν ἁμαρτίαις, φάσκων πρὸς Νηφάλιον, καὶ πρὸς Συμπλίκιον. ὅτι ἕως τῶν χρόνων Νεστορίου, δεκτικὴ ἦν ἡ φωνὴ τῶν δύο φύσεων, ἀπὸ δὲ τῶν χρόνων Νεστορίου ἀπεδοκιμάσθη ἡ τοιαύτη φωνή, ἐκ διφυοῦς μονοφυοῦς γινομένου τοῦ Χριστοῦ. Καὶ δεῖ φησὶ πρὸς τοὺς καιρούς, καὶ τὰς ἀνακυπτούσας αἱρέσεις, τὰ δόγματα Χριστοῦ μεταλλάττειν, καὶ μεταρρυθμίζεσθαι. ἀναγκαίως πάλιν καὶ ἐκ τῆς ἁγίας Συνόδου τῆς ἐν Ἐφέσῳ ἐπὶ τοῦ θεσπεσίου Κυρίλλου γινομένης τὴν αὐτοῦ κακοτεχνίαν, καὶ πανουργίαν ἐλέγξαι ἐσπούδασα, δεικνύς, ὅτι πρὸ διακοσίων ἐτῶν τοῦ Νεστορίου γεγόνασιν αἱρέσεις, αἱ λέγουσαι κακῶς ἐπὶ Χριστοῦ τὴν διαίρεσιν. Καὶ οὐδαμῶς οἱ μακάριοι Πατέρες οἱ ἐπ' αὐτῶν τῶν αἱρεσιαρχῶν γινόμενοι παρῃτήσαντο φάναι δύο ἀδιαιρέτους ἐπὶ Χριστοῦ τὰς φύσεις. Καὶ γοῦν πρῶτος Ἀρτέμων αἱρεσιάρχης τὸν Χριστόν, εἰς δύο διεῖλε, πρὸ τῆς Συνόδου τῆς ἐν Νικαίᾳ χρόνοις διακοσίοις γινόμενος. μεθ' ὃν καὶ Ὠριγένης ψιλὸν ἄνθρωπον

Orthodoxi adhuc quaestio.

QVid igitur, ô viri? An omnis, qui confitetur carnem Christi esse *naturam*, sicut & Synodus Chalcedonensis dixit, Nestorianus erit? Respondent Seueriani. *Vtique, nulla enim natura est personæ expers.* Quando hæc effutiunt; tunc adferimus, iam antea allata sanctorum Patrum dicta; quæ etiam post vnionem carnem Christi nominant naturam; & redarguimus illos, tanquam à sanctorum Patrum semita deerrantes, & Seueri vestigiis insistentes; sanctorum enim Patrum doctrinā repudiant, eosq; Nestorianos nominant; eò quòd carnem Christi appellent *naturam*. Hæc autem omnia faciunt odio Chalcedonensis Synodi. Propter illam à sanctis Patribus desciscunt, & Seuero magistro suo improbè adhærescunt; qui ipsis tradidit ac persuasit, vt assertionem illam, quæ duas in Christo naturas statuit, repudient, quantumuis ab ipso S. Cyrillo assertam.

Postquam ergo, vt antea dixi, Seuerus animaduertit, appellationem duarum & indiuisarum naturarum in Christo à Patribus profectam esse, omnique reprehensione vacare: dubitans, quomodo eam euerteret, ac è medio tolleret, comminiscitur excusationes in peccatis, & ad Nephalium ac Simplicium scribens ait; *potuisse appellationem duarum naturarum recipi & probari vsque ad tempora Nestorij, postea verò penitus reiici ac improbari debere; ex duplici natura Christi vnâ iam factâ; doctrinam enim de Christo pro varia temporis ratione, immutandam & inflectendam esse.* Operæpretium autem me facturum duxi, si improbitatem & nequitiam Seueri ex Ephesina Synodo, sub diuini Cyrilli præsidio celebrata, refellerem denuo, demonstraremque, ducentis ante Nestorium annis viguisse hæreses, qui perfidè diuisionem in Christo introducerent; & tamen sanctos Patres, qui ipsorum hæresiarcharum ætate viuebant, nihilominus duas in Christo indiuisas naturas liberè prædicasse. Primus ergo Christum in duos diuisit Artemon, qui Synodum Nicænam ducentis annis antecessit. Post quem Origenes etiam

τὸν Χριστὸν ἐδογμάτισε. μεθ' ὃν Παῦλος ὁ Σαμωσατεὺς πρὸ ὀγδοήκοντα ἐτῶν τῆς ἁγίας Συνόδου, τὴν Ἀρτέμωνος ἀνεκαίνισεν αἵρεσιν. Αὖθις τὸ μετὰ Παῦλον, καὶ τὴν ἁγίαν Σύνοδον Θεόδωρος ὁ Ἀντιοχείας, ὁ Νεστορίου καθηγητὴς καὶ Διόδωρος, εἰς δύο τὸν Χριστὸν ἐδογμάτισεν. Εἶθ' οὕτως μετ' αὐτοὺς ὁ δυσσεβὴς Νεστόριος. πάντων οὖν τῶν μεγάλων, καὶ ἐγκρίτων Πατέρων, μεταξὺ τῶν χρόνων Ἀρτέμωνος, καὶ Νεστορίου γενομένων, πῶς οὐδεὶς αὐτῶν παρῃτήσατο τὴν τῶν δύο ἡνωμένων ἐν Χριστῷ φύσεων φωνήν; Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, ἄκουσον τὴν ἀρχὴν, καὶ ὑπόθεσιν τῆς ἁγίας Συνόδου τῆς ἐν Ἐφέσῳ τάδε περιέχουσαν.

Διαμαρτυρία προτεθεῖσα δημοσίως παρὰ τῶν κληρικῶν Κωνσταντινουπόλεως, καὶ κατ' Ἐκκλησίαν ἐμφανισθεῖσα. ὡς ὅτι ὁμόφρων ἐστὶ Νεστόριος Παύλου τοῦ Σαμωσατέως.

Ὁρκίζω τὸν λαμβάνοντα τόδε τὸ χαρτίον, κατὰ τῆς ἁγίας Τριάδος, ὥστε φανερὸν αὐτὸ ποιῆσαι ἐπισκόποις, πρεσβυτέροις, διακόνοις, ἀναγνώσταις, λαϊκοῖς, οἰκοῦσι Κωνσταντινούπολιν, ἔτι τε καὶ τὸ ἴσον αὐτοῦ ἐκδοῦναι πρὸς ἔλεγχον τοῦ αἱρετικοῦ Νεστορίου. ὅτι ὁμόφρων ἐστὶ τοῦ ἀναθεματισθέντος Παύλου τοῦ Σαμωσατέως, πρὸ ἐτῶν ρξ' ἀπὸ τῶν ὀρθοδόξων Πατέρων ἐπισκόπων. Ἔστι δὲ τὰ παρὰ ἀμφοτέρων εἰρημένα οὕτως. Παῦλος εἶπεν. ΜΑΡΙΑ τὸν λόγον οὐκ ἔτικε. Νεστόριος εἶπεν. οὐκ ἔτικεν, ὦ βέλτιστε, ΜΑΡΙΑ τὴν θεότητα. Παῦλος εἶπεν. οὔτε γὰρ ἦν πρὸ αἰώνων. Νεστόριος εἶπεν. καὶ μητέρα χρονικὴν τῇ δημιουργῷ τῶν χρόνων ἐφιστῶσι θεότητι. Παῦλος εἶπεν. ΜΑΡΙΑ τὸν λόγον ὑπεδέξατο, * καὶ οὐκ ἔστι πρεσβυτέρα τοῦ λόγου. Νεστόριος εἶπεν. πῶς ΜΑΡΙΑ τὸν ἑαυτῆς ἀρχαιότερον ἔτικεν; Παῦλος εἶπεν. ΜΑΡΙΑ ἔτικεν ἄνθρωπον ἡμῖν ἴσον. Νεστόριος εἶπεν. ἄνθρωπος ὁ τεχθεὶς ἐκ παρθένου. Παῦλος εἶπεν. κρείττονα δὲ κατὰ πάντα, ἐπειδὴ ἐκ πνεύματος ἁγίου, καὶ ἐξ ἐπαγγελιῶν, καὶ ἐκ τῶν γεγραμμένων ἡ ἐπ' αὐτῷ χάρις. Νεστόριος εἶπεν. τεθέαμαι γάρ φησι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν. καὶ μένον ἐπ' αὐτὸν, τὸ τὴν ἀνάληψιν αὐτῷ χαρισάμενον. ἐντειλάμενος, φησι, τοῖς ἀποστόλοις, οὓς ἐξελέξατο διὰ πνεύματος ἁγίου, ἀνελήφθη.

* Pelt. legit. καὶ οὐκ ἔστι πρεσβύτερος ὁ λόγος.

τοῦτο

Christum tantummodò hominem esse docuit: Quem secutus Paulus Samosatensis octoginta annis ante Synodum Nicænam, Artemonis hæresin resuscitauit. Post Paulum & Synodum Nicænam Theodorus Antiochenus, Nestorij Magister; & Diodorus Christum duos esse tradiderunt. His successit impius Nestorius. Et qua ratione accidit, vt temporibus inter Artemonem, & Nestorium interiectis, nullus omnino sanctorum Patrum modum loquendi, qui duas in Christo naturas asserit, repudiarit? Et vt rem ita sese habere intelligas, audi principium & argumentum sanctæ Ephesinæ Synodi, vbi hæc leguntur.

Contestatio Constantinopoli publicè proposita: qua Catholicus ciuitatis illius Clerus palam ostendit, Nestorium eiusdem esse sententia cum Paulo Samosateno.

Vertit hac Peltanus noster in Concilio Ephesino Tom. 1. c. 11.

QVicunq; schedam hanc accepturi sunt, eos per sacrosanctam Trinitatem adiuro; obtestorq;, vt eandem Episcopis, Presbyteris, Diaconis, Lectoribus, nec non Laicis quoq; Constantinopoli habitantibus ostendant, eiusdemq;, si fieri potest, exemplum ad euidentem Hæretici Nestorij reprehensionem iisdem impertiantur: vt, qui eadem prorsus, quæ Paulus Samosatenus ante centum sexaginta annos à Catholicis Episcopis anathemate condemnatus docere, ac sapere, apertè conuincatur. Quæ autem ab vtroq; dicta doctaq; comperiuntur, ea, ad hunc modum se habent. Paulus Samosatenus ait; Maria Verbũ non peperit. Nestorius ab huius sensu non recedens; Heus tu, inquit, bone vir; Maria diuinitatẽ non edidit. Addit Paulus: Neq; enim erat ante secula. Nestorius ait; Diuinitati, quæ tempora cõdidit, matrem temporaneam assignant. Rursum Paulus: Maria Verbum suscepit: neq; hoc illam ætate antecessit. Nestorius ait: Quî fieri queat, vt Maria ex se genuerit seniorem se? Paulus ait: Maria edidit hominem, nullam in partem nobis dissimilem. Nestorius dicit: Qui ex Virgine natus est, tãtùm homo est. Paulus ait: Atqui per omnia nobis præstantior est. Nam, iuxtà scripturas, de Spiritu sancto est, diuinoq; decreto, vberrima gratia donatus est. Nestorius ait: Vidi Spiritum sanctum descendentem quasi columbam manentem super illum: nec non ascensionis vim illi impertiẽtem: quandoqui- *Ioan. 1.*

τούτου διὰ τὸ τηλικαύτην χριστῷ χαρισάμενον δόξαν. Παῦλος εἶπεν· ἵνα μήτε ὁ ἐκ Δαυὶδ χρισθεὶς, ἀλλότριος εἴη τῆς σοφίας, μήτε σοφία ἐν ἄλλῳ οὕτως οἰκεῖ. καὶ γὰρ ἐν ταῖς προφήταις ἦν. μᾶλλον δὲ ἐν Μωσῇ, καὶ ἐν πολλοῖς κυρίοις. μᾶλλον δὲ ἐν χριστῷ, ὡς ἐν οὐρανῷ. καὶ ἀλλαχοῦ λέγει. ἄλλον εἶναι τὸν Ἰησοῦν χριστόν. καὶ ἄλλον, τὸν λόγον. Νεστόριος εἶπεν· μὴ ἐγχωρεῖ τὸν πρὸ πάντων αἰώνων γεννηθέντα, ἄλλο ἅπαξ γεννηθῆναι. καὶ ταῦτα θεότητι.

Ἰδοὺ ἐξ ἁγίας, καὶ συνοδικῆς παραστάσεως ἐλέγχεται ὁ Σευῆρος ψεύσης, λέγων, Νεστόριον τὸν μιαρὸν εἶναι ἀρχηγὸν τῆς διαιρέσεως. οὐκοῦν οἱ μὲν ἅγιοι πατέρες, ἐπὶ Ἀρτέμωνος, καὶ Παύλου, καὶ Διοδώρου, καὶ Θεοδώρου ὄντες εὐσεβῶς, καὶ ἡνωμένας τὰς δύο χριστοῦ φύσεις εἶπον, καθὰ καὶ ἡμεῖς Ἀρτέμων, καὶ Παῦλος, καὶ Θεόδωρος, καὶ Διόδωρος, καὶ Νεστόριος διῃρημένας, ὥστε οὐ τὸ λέγειν δύο, κακὸν, ἀλλὰ τὸ, διελεῖν αὐτὰς ἰδίᾳ, καὶ ἀνὰ μέρος, καὶ μὴ πρεσβεύειν τὴν καθ' ὑπόστασιν, γένεσιν.

ΚΕΦΑΛΑΙΟΝ ΕἸΚΟΣΤΟΝ ΚΑῚ ΠΡΩ͂ΤΟΝ.

Ἀνατροπὴ τῆς ματαίας, καὶ δυσσεβοῦς ἐκθέσεως, καὶ νομοθεσίας Σευήρου, ἧς πρὸς Νηφάλιον, καὶ ἄλλους τινὰς ἐξέθετο λέγων.

ὍΤΙ πρὸς τὰς ἀνακυπτούσας νόσους, ἤτοι αἱρέσεις δεῖ καὶ τὰ φάρμακα τῶν δογμάτων κατασκευάζειν. οὔτε γὰρ εἴ τις ἰατρός φησιν, τὴν τοῦ ὕδατος πόσιν διακωλύσει λοιμικῆς νόσου καταλαβούσης, δύναταί τις πρὸς αὐτὸν λέγειν. ὅτι καὶ μὲν οἱ πρὶν ἰατροὶ τὴν τοῦ ὕδατος οὐ διεκώλυον πόσιν. ἀκούσεται γάρ φησιν εὐθέως ὑπὸ τοῦ ἰατροῦ. ἐμβρόντητε, ὁρᾷς τὴν νόσον ἐπινεμομένην, καὶ ἐκ τῆς ὑγιοῦς ζωῆς βούλῃ κανονίζεσθαι τὴν νόσον;

Τοιαῦτά τινα ὁ γενναῖος ἐνομοθέτησε Σευῆρος. ὃν προφητικῶς ὁ θεόφρων Βασίλειος καταλύει, καὶ ἐπιστομίζει ἐν τῇ πρὸς Ὀλύμπιον σχολαστικὸν ἐπιστολῇ, Ἀρειανὸν ὑπάρχοντα, καὶ ταύτας τινὰς

dem præcipiens Apostolis, quos elegerat, per Spiritū sanctum assumptus est. Hic igitur ille idē, qui hanc tantam gratiam Christo impertitus est. Paulus ait: Quare, qui genere ex Dauid ducto, inunctus est, à sapientia alienus censendus non est: neq; tantam sapientiam in alio quopiam, quanta in ipso, extitisse putādum est. Sanè, fuit illa ampla in Prophetis; vberior, ampliorq; in Moyse, & aliis nonnullis: at verò in Christo, tanquam in quodam Dei templo, amplissima exstitit. Idem, in alio loco, alium docet esse Iesum Christum; alium rursum, Deum Verbum. Nestorius ait; Fieri nequit, eum, qui ante omnia secula natus est semel, denuò nasci, idq; secundum diuinitatem. Actor. I.

En tibi ex sanctæ Synodi testimonio, & assertione mendax esse conuincitur Seuerus, quando dicit; execrandum Nestorium fuisse primum, qui Christum diuiserit. Igitur sancti Patres, qui temporibus Artemonis, Pauli, Diodori, & Theodori florebant, duas in Christo naturas piè & vnitè professi sunt, quemadmodum, Artemon, Paulus, Theodorus, Diodorus, & Nestorius diuisas. Itaque duas statuere impium non est; sed duas ita diuisas, vt vnio hypostatica salua non permaneat.

CAPVT VIGESIMVMPRIMVM.

Refutatio vanæ & impiæ Seueri sententiæ, qua dicit.

AD enatas hæreses pharmaca, & medicamenta doctrinæ accommodanda esse, neq; enim, inquit, *si quis medicus aquæ potum prohibuerit, pestifero ingruente morbo; dicere licebit: antegressos Medicos aquæ potum non vetuisse: E vestigio enim à medico audiet: Fatue; morbum longè lateq; grassari vides; & ex norma valetudinis prosperæ, metiri vis ægritudinem?*

Talia sanxit ac decreuit generosus ille Seuerus; quem propheticè confutat, & ore obturato silere iubet diuinus Basilius in epistola ad Olympiū Scholasticum Arianum, iisdem fermè

ζινὰς ἀφορμολογίας συῤῥάπτοντα, οἷος καὶ Σευῆρος. πρὸς ὃν ὁ ἱερὸς θεῖος Βασίλειός φησιν ἐπὶ λέξεως οὕτως. ἀλλ' ἔχουσί τι σοφὸν δόγμα πρὸς τὰς τοιαύτας αὐτῶν μεταβολὰς, ὅτι τοῖς ῥήμασι τῆς πίστεως, ὡς ἰατροὶ κέχρηνται ἄλλοτε ἄλλως πρὸς τὰ ὑποκείμενα πάθη μεθαρμοζόμενοι. τούτου δὲ τοῦ σοφίσματος τὸ σαθρὸν οὐκ ἐμὲ ἐλέγχειν προσήκει, ἀλλ' ὑμᾶς νοεῖν. δώσει γὰρ ὑμῖν ὁ κύριος σύνεσιν πρὸς τὸ νοεῖν, τίς μὲν ὁ εὐθὺς λόγος, τίς δὲ ὁ σκολιὸς, καὶ διεστραμμένος. Εἰ γὰρ ἄλλας πίστεις δεῖ συγγράφειν, καὶ μετὰ τὸν καιρὸν ἀλλοιοῦσθαι, ψευδὴς ἡ ἀπόφασις τοῦ εἰρηκότος. εἷς κύριος, μία πίστις. ταῦτα ὡσανεὶ προφητικῶς ὁ πατὴρ ἐξέθετο πρὸς αἰσχύνην, καὶ κατάλυσιν τῆς Σευήρου νομοθεσίας, πρὸ πολλῶν Σευήρου χρόνων ὑπάρχων.

Ανακεφαλαίωσις κατ' ἐπιτομὴν δηλοῦσα τὸν σκοπὸν τοῦ ἐξηγητοῦ, ὅπως φρονεῖ τὴν οἰκονομίαν τοῦ χριστοῦ.

Ὅπως δὲ ἡμᾶς μή τις τῶν ἀφρόνων δόξῃ διὰ τῶν ἔμπροσθεν εἰρημένων τῇ Νεστορίου τοῦ δυσσεβοῦς περιτρέπεσθαι φρενοβλαβείᾳ, ὅπερ ψυχῇ, καὶ σώματι, καὶ πνεύματι περὶ χριστοῦ φρονῶ, συντόμως ἐρῶ. Ὁμολογῶ τὴν πανάμωμον αὐτοῦ ἀνθρωπότητα τῆς ψυχῆς, καὶ τοῦ σώματος. οὕτω καθ' ὑπόστασιν ἡνωμένην τῇ ἀχράντῳ αὐτοῦ θεότητι, ὥσπερ ὅλη, δι' ὅλου ἥνωται ἡ ψυχὴ ἡμῶν τῷ ἡμετέρῳ σώματι. καὶ ὥσπερ ἐκεῖνος ὁ ἐν τῇ καμίνῳ εἰς τύπον χριστοῦ ὀφθεὶς τῷ Ναβουχοδονόσορ ἐν ὁμοιώματι υἱοῦ θεοῦ, ὅλος ἦν δι' ὅλου ἐν σχήματι ἀνθρώπου, ἔμπυρος, καὶ σύμπυρος, καὶ ὁλόπυρος, καὶ ὁλόφλογος. οὕτως ἦν καὶ ἡ τοῦ χριστοῦ ἀνθρωπότης, ὅλη δι' ὅλου ὁλόθεος, καὶ ἔνθεος, καὶ σύνθεος, καὶ ὥσπερ εἴ τις εἰσελθὼν ἐν τῇ καμίνῳ ἐκείνῃ, περιέτεμεν, ἢ ἐῤῥάπισεν, ἢ ἐδέσμησεν, ἢ ἔκειρεν, ἢ ἐκέντησεν ἐκεῖνον, τὸν ἐν μορφῇ υἱοῦ θεοῦ ὄντα. οὐδαμῶς τὸ πῦρ ἀπ' αὐτοῦ ἐχώριζεν, ἢ ἀπέσβεσε, διὰ τὸ ὅλον δι' ὅλου τῷ πυρὶ συγκεκρᾶσθαι. οὕτω καὶ ἐπὶ χριστοῦ τοῦ υἱοῦ θεοῦ. ἐξ ἧς εἴρηκεν ὁ ἄγγελος. χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. οὐκ ἐχωρίσθη τὸ πῦρ τῆς θεότητος ἐκ

τῆς

fermè excuſationũ prætextibus. quibus Seuerus vtitur, vſum. Ad quem hæc ad verbum S. Baſilius. *Sed excogitarunt ſapiens quoddam conſilium, quo huiuſmodi mutationes ſuas excuſent: nimirum, vocabulis fidei vtendum eſſe, medicorum more, qui aliàs aliter prout morbi conditio & occaſio tulerit, ſeſe gerunt. Huius commenti vanitatem non me decet refellere, ſed vos intelligere; Dabit enim vobis Deus intellectum, vt percipere valeatis, quæ nam ſit vera, quæ nam praua & peruerſa doctrina: Si enim alias fides conſcribere licet, & pro tempore mutare, mentitur ergo qui dixit: Vnus Dominus, vna fides.* Hæc quaſi propheticè ſanctus Pater protulit, vt longè antè quam Seuerus naſceretur, Seueri doctrinam refelleret ac profligaret.

Breuis repetitio, qua oſtenditur, quid Auctor de Incarnatione ſentiat.

NE quis autem ex ſimpliciorum numero arbitretur nos propter prædicta, impij Neſtorij inſaniâ teneri, paucis exponam, quid animo & corpore de Chriſto ſentiam. Confiteor igitur integerrimam illius humanitatem, hoc eſt, animam & corpus, ita ſecundum hypoſtaſin diuinitati eius vnitam eſſe, ſicut tota anima, toti noſtro corpori vnita eſt. Et quemadmodum ille, qui vt figura Chriſti in ſpecie filij Dei, apparuit Nabuchodonoſori in fornace ignis, totus totius hominis formam præ ſe ferebat; igneus & igni cognatus, imò totus igneus, totuſque flammeus, ſic & Chriſti humanitas erat, tota per totum, diuinitate perfuſa, diuinaque & Deo cognata; Et quemadmodum ſi quis in fornacem illam ingreſſus, circumcidiſſet, aut alapis cecidiſſet, aut vinxiſſet, aut totondiſſet, aut transfixiſſet illum, qui in forma filij Dei apparebat; ignem nequaquam ab illo ſeparaſſet, aut exſtinxiſſet, eò quod totus per totum cum igne vnitus fuerit: Sic & à Chriſto filio Dei, ex quo Angelus ad Mariam dixit; *Aue gratia plena Dominus tecum*; ignis diuinitatis ab humanitate nullo vnquam tempore, aut vlla in re ſeparatus

Dan. 3.

Luc. 1.

τῆς ἀνθρωπότητος αὐτοῦ, ἐν οἵῳ δή ποτε καιρῷ, ἢ τόπῳ, ἢ πράγματι, οὐδὲ χωρισθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Σχόλιον. Δόξης διαφορὰν εἶπεν οὐ φύσεως.

Ἀλλά γε καὶ τοσαύτην ἔχειν διαφορὰν δόξης, καὶ λαμπρότητος ὁμολογοῦμεν τὸ παναγίον σῶμα καὶ τὴν ψυχὴν τοῦ Χριστοῦ παρὰ τὰς ἡμετέρας ψυχὰς καὶ τὰ σώματα, ὅσην εἶχεν ἡ μορφὴ ἐκείνη, ἡ ἐν τῇ καμίνῳ παρὰ τὰ λοιπὰ σώματα, τὰ ἐκτὸς πυρός, καὶ τῆς καμίνου τυγχάνοντα. Ὅθεν καὶ τὸ πανάγιον αὐτοῦ σῶμα ἔνθεον λέγομεν, καὶ πάντα τὰ τοῦ σώματος ἔνθεα, καὶ τὴν ἄχραντον αὐτοῦ ψυχὴν σύνθεον, καὶ πάντα ταύτης ἴδια, ἔνθεα, καὶ ὁμόθεα, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως φυλαττούσης ἑκατέρας φύσεως τὴν οἰκείαν ἰδιότητα ἐν ἑνὶ συνθέτῳ προσώπῳ, καθὰ οἱ μακάριοι πατέρες ἡμῖν εὐσεβῶς παρέδωκαν. Ἀλλὰ μὴν καὶ ὑποταττομένην, καὶ χαλιναγωγουμένην ὑπὸ τοῦ θεοῦ λόγου τὴν καθ' ὑπόστασιν ἡνωμένην αὐτῷ ψυχὴν, καὶ σάρκα ὁμολογοῦμεν, καὶ πάντα τὰ ἰδιώματα αὐτῶν, ὑπὲρ πᾶσαν ὑποταγὴν τῆς κτίσεως, ὡς ὑπὲρ πᾶσαν τὴν κτίσιν ἡνωμένων αὐτῷ τῷ θεῷ λόγῳ.

Προεξήγησις τοῦ σκοποῦ τῶν ἑξῆς ὑποτεταγμένων κεφαλαίων.

Ὁ τῆς οὐρανίου βασιλείας καὶ συνώνυμος, καὶ συμμέτοχος Βασίλειός φησιν· ἁπλοῦν εἶναι τὸν λόγον τῆς ἀληθείας, τοῦτ' ἔστιν ἀπανοῦργον, καὶ ἀπλούστατον, καὶ ἀπόνηρον. πάντα γὰρ ἐνώπια, καὶ εὐθεῖα τὰ θεῖα λόγια τοῖς σοφοῖς, καὶ ἀκάκοις, καὶ ἐν ὀρθῇ καρδίᾳ ζητοῦσι τὸν κύριον. εἰς δὲ ἀσυνέτου καρδίας, σοφία θεοῦ οὐκ εἰσελεύσεται. καὶ ἐκ τούτου πάντα, ὅσα ἂν ἀκούσωσιν, ἢ ἀναγνώσουσι, καταῤῥαδίως, καὶ ὀξέως, ἐξ ἀνθρωπαρέσκου, καὶ ὑπερηφάνου γνώμης, μέμφεσθαι, καὶ ἀναλύειν σπουδάζουσι. τί γὰρ εἰπέ μοι, ἀσφαλέστερον, ἢ ἐνθεότερον, ἢ ἀληθέστερον τοῦ ῥήματος τοῦ θεολόγου, τοῦ φάσκοντος, ἐν ἀρχῇ ἦν ὁ λόγος; καὶ μὴν ὑπὸ τοῦ διαβόλου κατασπασθεὶς ὁ Ἄρειος ἐπελάβετο τῆς τοιαύτης θεολογίας λέγων. ὅτι καλῶς εἶπεν ὁ Ἰωάννης, ἐν ἀρχῇ ἦν ὁ λόγος, τοῦτ' ἔστι τὸ ῥῆμα τοῦ θεοῦ. οὐ γὰρ εἶπεν ἐν

ἀρχῇ

est, aut etiam vnquam in omnem æternitatem separabitur.

Scholium. Gloriæ differentiam dixit; non naturæ.

Confitemur præterea sanctissimum Christi corpus & animam gloria & splendore tantum antecedere nostras animas & corpora; quantum species illa in camino ignis splendore suo exsuperabat alia corpora, quæ extra fornacem erant. Vnde sacratissimum eius corpus nominamus diuinum: & omnia corporis, diuina, & immaculatam eius animam, Deo cognatam; Et omnia, quæ animæ competunt, diuina; & simul cum Deo vnita: vtrâque naturâ proprietates suas in vna diuina persona, inconfusè, immutabiliter, & indiuisibiliter conseruante: quemadmodum à sanctis Patribus religiosè traditum est. Confitemur etiam animam & corpus, quæ Verbo hypostaticè vnita sunt; Verbo subiici, simulque cum omnibus proprietatibus suis à Verbo magis regi ac duci, quàm vlla alia creatura eidem subiiciatur, & ab eodem regatur; cum longè arctius cum verbo coniuncta sint, quam vllæ aliæ res creatæ.

Explicatio, quorsum tendant spectentq́; subiecta capitula.

AIT cœlestis regni cognominis & consors Basilius: *Veritatis orationem esse simplicem*; hoc est, omnis fraudis, imposturæ ac nequitiæ expertem. Omnia enim diuina eloquia prudentibus, & à malitia alienis, & recto corde Deum quærentibus, recta sunt, & manifesta. at verò in cor insipientis, non intrat sapientia Dei. Quocirca confestim quidquid audiunt vel legunt, mentis arrogantia impulsi, id reprehendere ac refutare student. Quid enim, obsecro, tutius, diuinius, & verius; quàm illud Theologi dictum: *In principio erat Verbum.* Et tamen à Diabolo instigatus Arius diuinum illud dictum non reliquit intactum & incorruptum: *Bene*, inquiens, *dixit*

ἀρχῇ ἦν ὁ υἱὸς, ἀλλ' ὁ λόγος ὁ προφορικὸς τοῦ θεοῦ. ὥστε ἀδελφοί μου ἀγαπητοί, ὁ ὑπὸ τοῦ πνεύματος τοῦ διαβόλου ἐνεργούμενός ἐστιν, εἰς τὸ πάσης γραφικῆς, καὶ διδασκαλικῆς λέξεως ἐπιλαβέσθαι. καὶ τοῦτο εὐθέως κατάδηλον ποιῆσαι πειράσομαι, διὰ τοὺς μέλλοντας ἐπιλαβέσθαι κακοθελῶς, τῆσδε ἡμῶν τῆς ἐκθέσεως, ὧν τὸ κρίμα ἔνδικον, καὶ ἡ κόλασις ἀπαραίτητος.

ΚΕΦΑΛΑΙΟΝ ΕΙΚΟΣΤΟΝ ΚΑΙ ΔΕΥΤΕΡΟΝ.

Σκόπος διαλέξεως πανούργου, πρὸς τοὺς κακούργως διαστρέφοντας, καὶ παρερμηνεύοντας, τὰς εὐαγγελικὰς, καὶ πατρικὰς περὶ χριστοῦ τοῦ θεοῦ ἡμῶν γραφάς.

Σοφὸς λόγος νομοθετεῖ τοῖς σοφῶς τὰ σοφὰ τοῦ θεοῦ λαλεῖν βουλομένοις λόγια φάσκων, μὴ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἀφροσύνην αὐτοῦ. ἵνα μὴ δόξῃ πως ἑαυτῷ φρόνιμος εἶναι. ὁ δὲ λέγει σοφὸς Σολομῶν, τοῦτό ἐστιν. ἐὰν ἀφρόνως τις τὰς θείας γραφὰς διαστρέφειν βουλόμενος, τὰ ἄρρητα, καὶ ἀκατάληπτα εἰσπράττῃ σε λέγων. πόθεν δῆλον ὅτι ὁ υἱὸς τοῦ θεοῦ γεννητός ἐστι, τὸ δὲ ἅγιον πνεῦμα ἐκπορευτόν; ἢ πῶς δυνατὸν, τὸ γεννώμενον συνάναρχον εἶναι τῷ γεννήτορι; καὶ ἁπλῶς, ἡνίκα κακοτρόπως ἐπιζητεῖ τὰ ἀκατάληπτα, καὶ πίστει μόνῃ νοούμενα, μᾶλλον δὲ ὁμολογούμενα, καὶ μὴ νοούμενα, μὴ ἀποκρίνου αὐτῷ κατὰ τὴν τοιαύτην περίεργον ἀπιστίαν αὐτοῦ. συναπαγόμενος αὐτῷ καὶ σὺ ἐπιζητεῖν τὰ ζητήσεως ἁπάσης, καὶ ἐρεύνης βαθύτερα, καὶ πάσῃ κτίσει ἀγνώριστα. ἀλλὰ ἀποκρίνου αὐτῷ πρὸς τὴν ἀφροσύνην αὐτοῦ, προφέρων αὐτῷ τὰ κοινῶς ὑπὸ πάντων χριστιανῶν ὁμολογούμενα, πίστει δὲ ἀπεριέργῳ τῇ ἐκκλησίᾳ φρονούμενά τε, καὶ κηρυττόμενα, καὶ λαλούμενα. ἅπερ καὶ διηπόρησαν ἡμῖν κατὰ τὴν ἀνατολὴν οἱ νῦν τοῦ χριστιανισμοῦ ἀποστάντες, πεῖραν πλείστην νομικῶν τε, καὶ εὐαγγελικῶν, καὶ διδασκαλικῶν λόγων ἔχοντες, ἐξ ὧν εἰσι ταῦτα.

Πόθεν

Ioannes: *In principio erat Verbum: hoc est, sermo seu dictum Dei: non enim dixit: In principio erat filius, sed Verbum, quod Deus effert ac pronunciat:* Itaq;, charissimi fratres mei, à maligno spiritus incitatus est, vt omnia tam scripturæ, quàm doctorum dicta peruerteret; & hoc iam planum façere conabor propter illos, qui nostram explicationem maleuola mente carpent: quorum iudicium manifestum est, & supplicium ineuitabile.

CAPVT VIGESIMVMSECVNDVM.

Cur astutè & vafrè disputandum sit cum illis, qui scripturæ & Patrum de Christo dicta peruertunt, & in alienum sensum rapiunt.

SAPIENTER monet diuina sapientia eos, qui sapientiam Dei aliis loqui instituunt. *Ne respondeas stulto secundum stultitiam suam, ne videatur sibi esse sapiens:* *Prouerb. 26.* Quod verò sapientissimus Salomon significare vult; id huiusmodi est. Si quis insipienter ac stolidè diuinas scripturas deprauare conatus, ineffabilia & incomprehensa mysteria Dei profert; hunc in modum sciscitans: Vnde constat filium Dei generari; sanctum verò Spiritum procedere? & quomodo fieri potest, vt genitum æquè ac generans initio careat? &, vno verbo, quoties quis mala mente, arcana ista & abdita, solaq; fide intellecta, vel potius credita ac confessa, non autem intellecta, in medium producit, ne respondeas ad hanc illius curiosam infidelitatem, ne & ipse incipias cum illo scrutari ea, quæ omnem scrutationem & inuestigationem exsuperant, omniumq; creaturarum cognitionem fugiunt; sed responde illi *secundum suam stultitiam*, proferens, quæ communiter ab omnibus Christianis conceduntur, & fide simplici in Ecclesia tenentur, prædicantur & explicantur, cuiusmodi dubitationes nobis quoque proposuerunt in Oriente nouitij desertores fidei, multa ex lege, Euangeliis, & doctoribus accumulantes; ex quorum numero etiam ista. *Prouerb. 26.*

Πόθεν δῆλον, ὅτι κτιστή ἐστιν ἡ ἡμετέρα ψυχή, ἢ ἀθάνατος μένει, μηδαμοῦ τῆς νομικῆς γραφῆς τοῦτο μαρτυρούσης;

Δευτέρα ἀπορία ἀποστατῶν τῆς Ἐκκλησίας πρὸς χριστιανούς. Τίς μοι λέγει, ὅτι Μωσέως ἐστὶ σύγγραμμα ἡ Γένεσις; οὐ γὰρ ἐπιγέγραπται, καθάπερ καὶ αἱ λοιπαὶ βίβλοι, αἱ τῶν προφητῶν. πλὴν ὅτι καὶ πλεῖστα φαίνεται μὴ ἀληθεύουσα. ἐξ ὧν εἰσι καὶ ἡ ἀπόφασις τοῦ θεοῦ, ἡ περὶ τῆς βρώσεως, καὶ ἡ περὶ τῶν ἐτῶν τῆς κακώσεως τοῦ ἰσραὴλ τῆς ἐν Αἰγύπτῳ, ἑκατὸν γὰρ τεσσαράκοντα χρόνους ἐταλαιπώρησαν, τουτ᾽ ἔστι μετὰ τὸν θάνατον ἰωσήφ. ὁμοίως, οὔτε ὁ ὅρος, ὃν εἶπεν ὁ θεὸς περὶ τῆς ζωῆς τῶν ἀνθρώπων γέγονεν ἐπὶ τοῦ Νῶε· εἶπεν γὰρ ρκ χρόνους μέχρι τοῦ κατακλυσμοῦ ζῆν τοὺς ἀνθρώπους ἐκείνους.

Πάλιν δὲ ἐντελλάμενος τὸ πολύκρεων ἐκεῖνο Λευιτικόν, ὕστερόν φησιν ὁ θεὸς διὰ ἠσαΐου, καὶ ἱερεμίου. ὅτι οὐδὲν περὶ θυσιῶν ἐνετείλατο τῷ ἰσραὴλ, οὔτε περὶ τῶν ὁλοκαυτωμάτων.

Πάλιν τι ὑποσχόμενος νόμιμον αἰώνιον εἶναι τὸν νόμον. πῶς οὐκ ἔστησε τὰ προστάγματα αὐτοῦ τὰ νομικὰ αἰώνια;

Καὶ συνταξάμενος διδόναι τῷ σπέρματι ἰσραὴλ ἀπὸ Αἰγύπτου ἕως τοῦ Εὐφράτου κατάσχεσιν. οὐδὲ τὸ δέκατον μέρος τῆς ὑποσχέσεως δέδωκεν αὐτοῖς. ταῦτα ἐκ τῆς παλαιᾶς.

Ἐπαπόρησις ἐκ τῶν αὐτῶν ἀπίστων, ἐκ τῆς καινῆς διαθήκης.

Τοῦ Εὐαγγελίου μὴ λέγοντος, ὅτι ἐσφραγισμένου τοῦ τάφου ἀνέστη ὁ χριστός, πόθεν ὑμεῖς τοῦτο δεικνύετε;

Τοῦ Εὐαγγελίου ἄνω, καὶ κάτω ἄνδρα ΜΑΡΙΑΣ καλοῦντος τὸν ἰωσήφ, διατί ὑμεῖς τοῦτο οὐ λέγετε;

Καθὼς εἶπεν τὸ Εὐαγγέλιον τὴν ἄσπορον σύλληψιν τοῦ χριστοῦ, πῶς οὐκ εἶπεν καὶ τὴν ἄφθορον ἐκ παρθένου κύησιν, ὡς ὑμεῖς λέγετε;

Τοῦ Ἰωάννου λέγοντος Μάρθαν ἀδελφὴν ΜΑΡΙΑΣ τῆς μητρὸς τοῦ κυρίου ἡμῶν, πῶς ὑμεῖς τοῦτο οὐ λέγετε;

Πῶς εἰπὼν ὁ χριστὸς ποιῆσαι ἐν τῷ ᾅδῃ ἀπαραλλάκτως ὡς Ἰωνᾶς τρεῖς ἡμέρας ὁλοκλήρους, καὶ τρεῖς νύκτας. οὐ πεποίηκεν αὐτὰς ὡς Ἰωνᾶς καθάπερ προείρηκεν.

Πῶς δὲ πάλιν ἐν μὲν τῷ ἑνὶ Εὐαγγελιστῇ παραγγέλλει ὑμῖν,

Φορεῖν

I. * *Vnde constat animam nostram esse creatam, vel immortalem permanere, cum hoc in lege nusquam proditum sit?* *Habes hic illustre exemplū; quo fructu sectarij, filū proprij iudicij sequentes, scripturas legant.

Secunda dubitatio seu quæstio ab Ecclesiæ desertoribus proposita. *Vnde cognoscam, librum, qui Genesis inscribitur, esse Moysis; non enim eiusmodi inscriptionem habet, qualem aliorum Prophetarum libri, præterquam quod multa in illo continentur, quæ à veritate aliena videri possint; vt est illa ob esum vetiti pomi prolata à Deo sententia; & quod traditur de ærumnis & afflictionibus, quos Israëlitæ in Ægypto per quadringentos annos perpeßi sint; tantum enim centum & quadraginta annos in Ægypto post mortem Iosephi implerunt. Præterea neque terminus ille, quem vitæ humanæ præstituit Deus, locum habuit in Noë. Decreuerat enim, vt vitæ humanæ cursus vsque ad diluuium centum viginti annis terminaretur.* Genes. 3. Actor. 7. Galat. 3. Genes. 6.

III. *Rursus cùm in Leuitico de variis illis victimarum oblationibus varia imperasset, postea per Isaiam & Hieremiam Prophetas dicit, se nihil de sacrificiis Israëli præcepisse, neq; de holocaustis.* Isai 57. Hierem. 34.

IV. *Iterum pollicitus fore, vt lex legitimum sempiternum foret; quomodo promissa non fecit, præceptaq; sua legalia æterna effecit?* Exod. 28.

V. *Pollicitus se Israëlitis possessionem daturum ab Ægypto vsque ad Euphraten, ne decimam quidem partem promissi sui exsoluit.* Deut. 11.

Hæc ex veteri Testamento obiiciunt; sequuntur, quæ ex nouo adducunt.

I. * *Cùm Euangelium non dicat, Christum clauso ac signato sepulchro resurrexisse, vnde id probatis?* * Quæstio Caluinistica. Matth. 28.

II. *Cùm Euangelium paßim vocet Iosephum, virum Mariæ, quare hoc vos non profitemini?* Matth. 1. Luc. 1.

III. *Cur Euangelium, vt Christi conceptionem absque semine, ita, salua integritate ex Virgine ortum, vt vos dicitis, non tradidit?*

IV. * *Cùm Euangelium dicat, Martham esse sororem Mariæ matris Domini nostri; quî fit, vt vos idem non dicatis?* Ioan. 11. & 3. * En imperitiā similē illi, qua hodie perpetuò clamat: Scrutamini scripturas.

V. *Quomodo cum Christus dixerit, se tres dies integros acturum in sepulchro & tres noctes, instar Ionæ, non egit tot dies noctesq; vt Ionas, quemadmodum prædixerat.*

VI. *Quomodo rursus in Euangelio hortatur, vt feramus calceos, &* Matth. 12.

virgam

φορεῖν καὶ ὑποδήματα, καὶ ῥάβδον. ἐν δὲ τῷ ἄλλῳ εὐαγγελιστῇ, κωλύει τὴν ῥάβδον, καὶ τὰ ὑποδήματα;

Τῶν εὐαγγελιστῶν μηδαμοῦ λεγόντων, πόθεν ἔγνωτε, ὅτι ἐν σπηλαίῳ ἐτέχθη ὁ χριστός; οὐκ εἴρηται γὰρ τοῦτο ἐν τοῖς εὐαγγελίοις.

Εἰ ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν ταῦτα ἐδίδαξε, πῶς ῥαπισθεὶς εἰς τὴν σιαγόνα, οὐκ ἔστρεψε καὶ τὴν ἄλλην; ἀλλὰ καὶ ἐνεκάλεσε τῷ ῥαπίσαντι.

Τοῦ εὐαγγελίου κτιστὸν, ἤτοι γεννητὸν λέγοντος τὸν χριστὸν, πῶς ὑμεῖς, μέρος μὲν αὐτοῦ λέγετε κτιστὸν, μέρος δὲ ἄκτιστον; ὁ γὰρ Ματθαῖός φησιν. Βίβλος γενέσεως, ἤγουν ποιήσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυίδ, υἱοῦ Ἀβραάμ.

Εἰ ἀπερίγραπτον λέγετε τὸν θεὸν, πληροῦντα ὁμοίως τὸν οὐρανὸν, καὶ τὴν γῆν, πῶς ἐξ οὐρανοῦ κατῆλθεν ὁ λόγος, καὶ πάλιν ἐκεῖ ἀνῆλθεν;

Εἰ ἐν τῷ κόσμῳ ἦν ὁ θεὸς λόγος τῇ θεότητι, καὶ πρὸ σαρκώσεως, ὡς λέγει Ἰωάννης ὁ εὐαγγελιστὴς, πῶς κατελθόντα αὐτὸν ἐξ οὐρανοῦ λέγετε ἐν τῇ μήτρᾳ τῆς Μαρίας; ἐὰν γὰρ ὧδε ἦν καὶ πρὸ σαρκώσεως, πρόδηλον, ὅτι οὐ κατῆλθεν. εἰ δὲ ἐν τῇ σαρκώσει κατῆλθεν, εὔδηλον ὅτι ἐν τῷ οὐρανῷ περιγεγραμμένος ἦν καθὰ καὶ οἱ ἄγγελοι.

Εἰ ἐκ τοῦ πατρός ἐστι καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, εὔδηλον, ὅτι πατὴρ ἀμφοτέρων ἐστι. καὶ γέννημά ἐστι καὶ τὸ ἅγιον πνεῦμα. Εἰ δὲ τοῦτο οὐ καταδέχεσθε ὁμολογεῖν, εἴπατε ἡμῖν, ποῖον πρῶτον, καὶ ποῖον δεύτερον προῆλθεν ἐκ πατρὸς; ὁ υἱὸς, ἢ τὸ ἅγιον πνεῦμα. Εἰ δὲ ἐν τῷ ἅμα προῆλθον, εὔδηλον ὅτι διδυμοτόκος ἐστὶν ὁ πατήρ. Καὶ ἀδελφοθεΐαν ἔχουσιν ὁ υἱὸς, καὶ τὸ πνεῦμα. Τίς δέ ἐστι καὶ ἡ διαφορὰ γεννήσεως, καὶ ἐκπορεύσεως, ἐπὶ τῆς ἀπεριγράπτου, καὶ ἀχωρίστου θεότητος;

Πόθεν δῆλον, ὅτι ὁ μὲν λόγος τοῦ θεοῦ ἐνυπόστατος θεός ἐστιν; ὁμοίως καὶ τὸ πνεῦμα τοῦ θεοῦ, θεός ἐστι, καὶ ὑπόστασις θεοῦ. ὁ δὲ νοῦς τοῦ θεοῦ. οὐκ ἔστιν ἄλλος θεὸς, καὶ ἄλλη ὑπόστασις. οὐδὲ ἡ καρδία τοῦ θεοῦ. οὐδὲ ἡ δεξιὰ τοῦ θεοῦ. οὐδὲ ὁ βραχίων, καὶ τὰ λοιπὰ. ὅσα λέγει ἡ γραφὴ ἐπὶ θεοῦ.

Πῶς ἕνδεκα ὄντων τῶν μαθητῶν πρὸ τῆς χριστοῦ ἀναλήψεως, λέγει ὁ Παῦλος, ὅτι ἀναστὰς ἐκ νεκρῶν ὤφθη τοῖς δώδεκα μαθηταῖς; οὔπω γὰρ ἦν ὁ Ματθίας συγκαταριθμηθεὶς αὐτοῖς οὐδὲ ὁ Παῦλος.

virgam. Apud alium verò Euangelistam prohibet, tam calceamenta, quàm virgam. Matth. 10. Marc. 6.

En quæstiones planè Lutheranas & Caluinianas.

VII. *Vnde scitis, Christum in spelunca natum esse, cùm id à nullo Euangelista proditum sit?* Luc. 2.

VIII. *Si quæ cœpit* IESVS *facere, prius docuit, quomodo vna maxilla cæsus non præbuit alteram? quin & cædentem reprehendit?* Matth. 26.

IX. *Cùm Euangelium dicat, Christum esse quiddam creatum aut genitum; quomodo vos partem quidem illius dicitis creatam; alteram partem increatam; nam Matthæus ait: Liber generationis, hoc est, effectionis Christi, filij Dauid, filij Abraham.* Ioan. 1. Luc. 2. Matth. 1.

X. *Si Deum incircumscriptum esse profitemini, qui cœlum & terram æqualiter impleat; quomodo Verbum descendit de cœlo, rursumq́ in cœlum ascendit?* Hierem. 23. Ephes. 4.

XI. *Si Verbum diuinum, per diuinitatem suam erat in mundo, etiam ante Incarnationem, vt scribit Ioannes Euangelista, quomodo dicitis, illud ex cœlo in vterum Virginis descendisse? Si enim etiam ante incarnationem ibi erat, clarum est, non descendisse: si verò in Incarnatione descendit, clarum est, cœlo circumscriptum fuisse, sicut & Angelos.* Ioan. 1.

XII. * *Si filius & Spiritus sanctus est ex patre, manifestum est, vtriusque eundem patrem esse: ipsumq́ adeo Spiritum sanctum esse genitum. Quod si hoc non admittitis, dicite nobis, quis prior, quisue posterior ex patre processerit, filius an Spiritus sanctus? Si verò simul processerunt, iam hoc ipso liquet, patrem geminos peperisse, filiumq́ & Spiritum sanctum in diuinitate quasi fratres esse: Et quænam est generationis & processionis differentia in diuinitate incircumscripta, immutabili & inseparabili?*

* Quæstiones Ariana, Eunomiana, Seruetiana.

XIII. *Vnde constat Verbum Dei esse hypostaticè subsistentem Deum, similiter & spiritum Dei esse Deum & hypostasin Dei: mentem verò Dei non esse alium Deum, neque aliam hypostasin, neque cor Dei, neque dexteram Dei, neque brachium Dei, neque reliqua, quæ scriptura Deo tribuit?*

En imperitiã Arianisticam. Genes. 6. Marc. 1. 16. Actor. 7. Luc. 1. Bar. 2.

XIV. *Quomodo cùm vndecim essent discipuli ante Domini ascensionem, dicit Paulus; resurgentem ex mortuis apparuisse duodecim Apostolis: necdum enim Matthias illis annumeratus fuerat, vt nec Paulus.* 1. Cor. 15. Matth. 19.

Πῶς ὑποσχόμενος ὁ χριστὸς τοῖς δι' αὐτὸν ἀποτασσομένοις ἀγρῶν, καὶ γυναικὸς, καὶ τέκνων, καὶ χρημάτων, ἑκατὸν τὰ πλασίονα διδόναι ἐν τῷ αἰῶνι τούτῳ, οὐ παρέσχεν αὐτοῖς ταῦτα, καθὼς ὑπέσχετο;

Κείσθωσαν ταῦτα τὰ ὅπλα τοῖς φρονίμοις κατὰ τῶν ἀφρόνων, ἡνίκα εἴδετε αὐτοὺς κακοθελῶς πρὸς ἡμᾶς διαλεγομένους, καὶ ἐπιλαμβανομένους κακοθελῶς τῆς δὲ τῆς βίβλου.

Οὐκοῦν πίστις ἀπειρίεργός ἐστιν ὁ χριστιανισμὸς, καὶ δέον, ἐν ἁπλότητι, καὶ εὐθύτητι καρδίας δέχεσθαι, καὶ ἀκούειν πᾶσαν θείαν γραφὴν, καὶ μάλιστα τὰς διδασκαλικάς· αἱ μὲν γὰρ εὐαγγελικαὶ, καὶ ἀποστολικαὶ οἴδαμεν ὅτι ἀνόθευτοι εἰσὶ, καθὰ περὶ τούτου διαφόρως συνετάξαμεν λέγοντες ὅτι διαδοθέντος, καὶ γραφέντος τοῦ εὐαγγελίου ἐν τοῖς γράμμασι τῶν ἑβδομήκοντα δύο γλωσσῶν, καὶ ἐθνῶν, ἀδύνατόν ἐστι ῥαδιουργίαν, ἢ μείωσιν, ἢ προσθήκην ὑπομεῖναι αὐτό. Κἂν γὰρ μιᾶς, ἢ καὶ δευτέρας γλώττης ἐπεχείρησέ τις νοθεῦσαι τὰ βιβλία, ἠλέγχετο εὐθὺς ὑπὸ τῶν ἄλλων ἑβδομήκοντα γλωσσῶν ἡ ῥαδιουργία αὐτή. Ὅρα γοῦν ὅτι τινὲς ἐπεχείρησαν παρεπᾶραι τοὺς θρόμβους τοῦ αἵματος τοῦ ἱδρῶτος χριστοῦ ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου. καὶ οὐκ ἴσχυσαν. Ελέγχονται γὰρ τὰ μὴ ἔχοντα τὸ κεφάλαιον ἐκ πολλῶν, καὶ διαφόρων Εὐαγγελίων ἐχόντων αὐτό. Εν γὰρ πᾶσι τοῖς ἐθνικοῖς εὐαγγελίοις κεῖται, καὶ ἑλληνικοῖς πλείστοις. οἱ δὲ τῶν ἁγίων πατέρων λόγοι, καὶ μάλιστα οἱ δογματικοὶ οὐ διεδόθησαν ἐν πάσαις ταῖς γλώσσαις ταῖς ἐθνικαῖς, οὐδὲ ἐν πάσαις ταῖς χώραις. Καί ἐστιν ὅτε τινὲς αἱρετικοὶ κατὰ καιροὺς, ἴσχυσαν προσθήκας τινὰς, καὶ ὑφαιρέσεις ποιῆσαι ἐν αὐταῖς. ὅπερ ἡμεῖς αὐτῇ τῇ πείρᾳ εὕρομεν τοῦτο αὐτό. πρὸς δὲ ἀπόδειξιν τῶν προειρημένων ἐροῦμεν ἐκ μέρους τινὰς αἱρετικὰς κακουργίας. ἐν ταῖς διδασκαλικαῖς βίβλοις γεγενημένας.

Αγέννητον, ἤγουν ἄκτιστον, μόνον τὸ θεῖον ὑπάρχει. καὶ ἰδοὺ εὑρίσκομεν εἰς τὸν ἅγιον Διονύσιον ἐν κεφαλαίῳ ἐπιγεγραμμένῳ περὶ μεγάλου, καὶ σμικροῦ περὶ θεοῦ λέγοντα οὕτως. ἀμείωτον, ἀγέννητον, οὐχ ὡς μήπω γεννώμενον, ἢ ἀπλείωτον. ἢ ὑπὸ τοῦ δε, ἢ τόδε μὴ γεννώμενον. οὐδ' ὡς μηδαμοῦ μηδαμῶς ὂν, ἀλλ' ὡς ὑπὲρ πᾶν ἀγέννητον. Εἰπὼν δὲ ὑπὲρ πᾶν ἀγέννητον, πολλὰ ἀγέννητα ἐσήμανεν, ἤγουν ἄκτιστα.

καὶ

XV. * *Quomodo Christus pollicitus illis, qui sui caussa agros, vxores, filios & pecuniam desererent, centuplum se redditurum in hac vita; fidem non seruat, sicut promisit?*

Hæc arma prudentes contra imprudentium fraudes in promptu habeant; quoties viderint eos malignè & fraudulēter nobiscum disceptare, & hunc librum inuicta mente carpere.

Igitur fides Christianorum est incuriosa, in simplicitate & rectitudine cordis totam diuinam scripturā recipere & audire consueta, maximè verò doctrinam à Patribus traditam. Dicta enim Euangelica & Apostolica scimus vniuersim deprauari non posse; quemadmodum variis locis iam ostendimus, eò quod Euangelium septuaginta duarū linguarum & gentium literis consignatum sit. Quare fieri nequit, vt vel detractione vel additione à sceleratis corrumpatur. Nam licet quis vnius vel alterius linguę libros falsare conaretur; improbitas tamen ista statim detegeretur & redargueretur ab aliis septuaginta linguis: Quidam enim ex Euangelio S. Lucæ locum illum de guttis sanguinis & sudoris exscindere tentarunt; nec potuerunt. Nam codices qui his carent; falsitatis conuincuntur ex plurimis aliis, qui omnia illa repræsentant: codicibus, qui tam Græcè, quàm aliarum nationum linguis exarati sunt: At verò monumenta patrum, maximè dogmatica, non sunt in omnium gentium sermonem conuersa; nec ad omnes regiones perlata. Quo fit, vt Hæretici quædam adiiciendi; quædam verò demendi occasionem nacti fuerint. Quod nos experientia didicimus. Cæterùm, vt quæ iam diximus, manifestiora fiant, in specie quædam deprauationum exempla in scriptis Patrum occurrentia commemorabimus.

Solus Deus ingenitus est ac increatus. Et tamen apud S. Dionysium in capite, cuius inscriptio est, *de magno & paruo*; hæc de Deo leguntur. *Nullius egens, quod augeri minuiue non possit: ingenitum, non quasi nondum genitum, seu quasi imperfectum sit, seu non sit, aut ab hoc, aut hoc non sit, neque vt quod nusquam, nulloq́; modo sit, sed quod super omne ingenitum sit.* Dicens porro; *super omne ingenitum*, multa *ingenita* seu *increata* significauit. Et quomodo hoc fieri potest? (S. Dionysius libro de diuin. Nom. cap. 9.)

καὶ μὴν πῶς τοῦτο δυνατόν; οὐδεὶς γὰρ ἀγέννητος, εἰ μὴ μόνος θεός. ταύτην γοῦν τὴν χρῆσιν παρήγαγε Μανιχαῖός τις, βουλόμενος δεῖξαι, καὶ τοὺς ἀγγέλους, καὶ τὴν ψυχὴν, καὶ τὰ ὕδατα ἄκτιστα, τουτέστιν, ἀγέννητα.

Πάλιν τὴν μίαν οὐσίαν λεγούσης τῆς Ἐκκλησίας εἶναι πάντας τοὺς ἁγίους ἀγγέλους. Ὁ αὐτὸς θεῖος, καὶ Ἀποστολικὸς Διονύσιος πολλάκις οὐσίας ὀνομάζει τὰς ἄνω δυνάμεις. ὁ γοῦν μέγας Διονύσιος ὁ Ἀλεξανδρείας ἐπίσκοπος, ὁ ἀπὸ ῥητόρων, ἐν τοῖς σχολίοις, οἷς πεποίηκεν εἰς τὸν μακάριον συνώνυμον αὐτοῦ Διονύσιον, οὕτω λέγει. ὅτι ἀγέννητον εἴωθεν καλεῖν ἡ ἔξω φιλοσοφία, πᾶσαν ἀόρατον φύσιν. ὁμοίως καὶ οὐσίας, τὰς ὑποστάσεις. Κἂν τοῦτο φησὶ κατὰ τοὺς ἔξω εἴρηνται τῷ ἁγίῳ Διονυσίῳ αἱ τοιαῦται φωναὶ καταχρηστικῶς. ὥστε οὐ χρὴ ἀσκόπως, καὶ κατὰ τὸ ἡμῖν δοκοῦν, ἑρμηνεύειν τὰς τῶν ἁγίων φωνὰς, καθὰ, καὶ σήμερον ποιοῦσι τινές. πάλιν γὰρ εἴρηται τῷ μακαρίῳ Βασιλείῳ ἐν τῷ λόγῳ τῆς ἑξαημέρου, ὅτι πᾶν τὸ ἀρχὴν ἔχον, πάντως καὶ τέλος ἔχει. ἐπὰν γὰρ ἀρχήν μοι εἴπῃς, περὶ τοῦ τέλους μὴ ἀμφιβάλλῃς. ὅπερ δὴ πάλιν προφέρουσιν ἡμῖν οἱ ματαιόφρονες Ὠριγενιασταὶ, βουλόμενοι δεῖξαι τὴν προΰπαρξιν τῶν ψυχῶν ἐν οὐρανοῖς πρὸ τῶν σωμάτων ὑπαρχουσῶν. καθάπερ πάλιν καὶ τὴν ἀποκατάστασιν τῆς κολάσεως προφέροντες, οὐκ ὀλίγας χρήσεις, ὡς τοῦ θεόφρονος Γρηγορίου τοῦ Νύσσης, καὶ τοῦ Θεολόγου ὑπαρχούσας. Καὶ ταύτας πρὸς τὸ αὐτοῖς δοκοῦν ἑρμηνεύοντες. ταῦτα δέ μοι οὐκ εἰκῆ, οὐδὲ μάτην εἴρηται. ἀλλ᾽ ἐκείνους αἰνίττομαι, τοῖς λεξειδίοις, καὶ χρησειδίοις τῶν πατέρων προσκόπτοντας, καὶ φῶς γνώσεως μὴ ἔχοντας, καὶ σκοτουμένους, καὶ πίπτοντας, καὶ συντάγματα φλυαριῶν συντάττοντας κατὰ τῆς καθολικῆς ἐκκλησίας, τῆς ἐνανθρωπήσιν, τὴν ἐκ παρθένου τοῦ θεοῦ λόγου ἀρνούμενα καὶ ἀνατρέποντα.

Προφέρουσιν οἱ Ὠριγενιασταὶ χρήσεις ἐκ τοῦ λόγου τοῦ εἰς τὰ θεοφάνια τοῦ Θεολόγου. καὶ πάλιν, τοῦ * Νύσσης, ἐκ τοῦ περὶ ἀρετῆς, καὶ τοῦ εἰς τὴν γυναῖκα, καὶ εἰς τοὺς μακαρισμοὺς, καὶ εἰς τὰ ᾄσματα, καὶ εἰς ἑτέρους λόγους. Προσθήσω δὲ τοῖς εἰρημένοις πρὸς ἐντελεστέραν ἀπόδειξιν. ὅτι χρὴ μετὰ φόβου θεοῦ καὶ ἁπλότητος ψυχῆς τοὺς λόγους τῶν ἁγίων πατέρων ἀκούειν, καὶ ἐρευνᾶν, προβαλλομένων ἄνω, καὶ κάτω τὸν ἅγιον

* νύσσης

Κύριλλον

Nullus enim ingenitus est, præter solum Deum. Hanc igitur partem inseruit Manichæus quispiam, eo consilio, vt ostenderet, etiam Angelos, animam & aquas, increata esse; hoc est, *ingenita*.

Rursus cum Ecclesia doceat, vnam esse Angelorũ substantiam: idem diuinus & Apostolicus Dionysius nominat supernas virtutes *multas substantias*. At Magnus Dionysius Alexandrinus ex Rhetorum numero Episcopus factus, in scholiis, quæ scripsit in sibi cognominem Dionysium, hæc habet. *Externa philosophia ingenitam appellare solet omnem naturam inaspectabilem: similiter & hypostases, substantias. Ex cuius more S. Dionysius his locis est locutus*; impropriè nimirum has voces vsurpans. Quocirca non debemus improuidè, & temerè Sanctorum dicta interpretari; sicut hoc tempore nonnulli consueuerunt. Ait S. Basilius sermone in Hexaëmeron, *omne illud, quod principium habet, habere itidem finem: nam quando principium profers, non est, quod amplius de fine dubites.* Quod dictum crebrò nobis obiiciunt vanissimi Origenistæ, vt inde præexistentiam animarum in cœlis ante corpora extundant, qui etiam non pauca testimonia producunt, sub Gregorij Nysseni, & Nazianzeni nomine, vt pœnas æternas aliquando finem habituras, omniumq; rerum in pristinum statum reparationem demonstret: & hæc opinioni suæ conuenienter interpretantur. Ista neque temerè, neque frustra disserui, sed intuitu ad illos, qui ad dicta patrum, scientiæ lumine destituti, impingunt, tenebrisque immersi præcipites ruunt, vanissimosque libellos aduersus Catholicam Ecclesiam componunt, quibus Verbi Incarnationem ex Virgine labefactare ac euertere nituntur.

Proferũt Origenistæ dicta Theologi ex oratione in Theophaniam; & Nysseni ex sermone de Virtute, & in natiuitatem Christi, & in Beatitudines, & in Cantica, & ex aliis sermonibus. Vt autem magis elucescat monumenta Patrum cum timore Dei & simplici animo legenda & audienda esse; addam prædictis sequentia. Cum Gaianitæ & Theodosiani, & Euty-

Κύριλλον Γαϊανιτῶν τε, καὶ Θεοδοσιανῶν, καὶ Εὐτυχιανιστῶν, ὡς μίαν φύσιν λέγοντα ἐπὶ Χριστοῦ, διισχυριζόμενος ἐν τῇ ἑαυτοῦ συγγραφῇ, ὅτι μᾶλλον τῷ Νεστορίῳ συνηγορεῖ Κύριλλος, εἰ καὶ τὰ μάλιστα, φησὶ, λέληθεν ἑαυτὸν, εἰς ὃν φεύγει βρόχον, εἰς αὐτὸν ἀχθεὶς. Εν οἷς προσήγαγεν εὐθὺς ἐκ προοιμίων τὸ τέταρτον κεφάλαιον τοῦ αὐτοῦ μακαρίου Κυρίλλου, τὸ λέγον. εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι διαιρεῖ τὸν Χριστὸν, ἀνάθεμα ἔστω.

Καὶ πρὸς ταῦτα φησὶν ὁ Ἀνδρέας. Εὖγε ὄντως τῆς ὀρθῆς κρίσεως. καὶ ὑπερεῦγε τῆς εὐσεβοῦς τῶν δογμάτων Κυρίλλου ἐκθέσεως. Ἰδοὺ γὰρ πατρικῶς, καὶ μάλα συνοδικῶς, πρόσωπα εἶναι τὰς ὑποστάσεις ὁρίζεται, τοῖς ἐν Νικαίᾳ ἁγίοις πατράσιν ἑπόμενος τοῖς λέγουσιν τρεῖς ὑποστάσεις, ἤτοι πρόσωπα ἐπὶ τῆς ἁγίας, καὶ ὁμοουσίου τριάδος. Εἰ οὖν πρόσωπα εἶναι τὰς ὑποστάσεις καλῶς διισχυρίζεται, πῶς ἐν πᾶσιν αὐτοῦ σχεδὸν τοῖς διδάγμασι, τὰς φύσεις ὑποστάσεις εἶναι ἐκήρυξε; λέγων γὰρ τὰς φύσεις, ὑποστάσεις, τὰς δὲ ὑποστάσεις πρόσωπα, τί ἄλλο ὁμολογῶν εὑρεθήσεται, ἀλλ' ἢ διάφορα ἐν Χριστῷ πρόσωπα, ὡς ὅτ' αὖ λέγῃ, ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, ἤγουν αἱ ὑποστάσεις. αἱ ὑποστάσεις τίνος ὦ γεννάδα Κύριλλε; πρόδηλον αἱ τοῦ Χριστοῦ. εἰ καὶ ὅλως ὑποστάσεις ὁρίζῃ. Εἰ γὰρ μὴ σὺ τὸν τοιοῦτον ὅρον δέδωκας, τοῦτ' ἔστι πρόσωπα τὰς ὑποστάσεις εἶναι, τάχα αὖ ἠδύνατό τις ὑπὲρ σοῦ ἀπολογούμενος λέγειν, ὅτι οὐ πρόσωπα Κύριλλος νοεῖ τὰς ὑποστάσεις, ἀλλ' ὑπάρξεις τινὰς πραγμάτων ἐνουσίων. σοῦ δὲ καθ' ἑαυτοῦ τὸν τοιοῦτον ἐξενεγκόντος ὅρον, ἀποκέκλεισταί σοι λοιπὸν πᾶσα περὶ τούτου ἀπολογία. οὐκοῦν ὅτι λέγεις, ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ φύσεις, ἤγουν αἱ ὑποστάσεις, οὐδὲν ἕτερον λέγεις, ἀλλ' ἤ, ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ Χριστοῦ ὑποστάσεις, ἤτοι τὰ πρόσωπα. ὅθεν κατὰ τοῦτον σου τὸν ὅρον, καὶ νόμον τὸν φάσκοντα, τὴν φύσιν ὑπόστασιν, ἤτοι πρόσωπον εἶναι, εὑρεθήσῃ τρεῖς μὲν φύσεις λέγων Ἀρειανικῶς ἐν τοῖς τρισὶ προσώποις τῆς ἁγίας τριάδος. δύο δὲ πρόσωπα ἐπὶ τῶν δύο, ὧν ὁμολογεῖς φύσεων Χριστοῦ. ὡς ὅταν λέγῃς ἐν τοῖς ἐν πνεύματι λατρείας. ὅτι τύπος ἡμῖν ἔσται ἡ κιβωτὸς τῶν Χριστοῦ φύσεων, ἤγουν ὑποστάσεων καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ φάσκεις οὕτω ξηρᾷ τῇ φωνῇ. ἐκ δύο φύσεων, ἤγουν ὑπο-

chianistæ perpetim Cyrillum obiiciant, quasi qui vnam duntaxat in Christo naturam agnoscat: contendens hæreticus Cyrillum quàm maximè Nestorio patrocinari, etiamsi ignorans id faciat; laqueo, quem ipse tetendit, capitur; hoc ipso, quod ex principio quarti capituli à beato Cyrillo conscripti hæc citat: *Si quis duabus personis siue hypostasibus Christum diuidit, anathema sit.*

Ad hæc ita respondet Andreas. *Quàm præclarum iudicium. Quàm pia est hæc Cyrilli de dogmatibus explanatio. Ecce, Patrum, & maximè Synodorum more, hypostases tradit esse personas, secutus Patres Nicæni Concilij, qui aiunt: Tres esse hypostases siue personas in sacratißima & consubstantiali Trinitate. Si igitur rectè asseuerat hypostases esse personas, qua ratione in omnibus propemodum lucubrationibus suis appellat ipse naturas hypostases? Nam quando naturas vocat hypostases; hypostases verò personas, quid aliud profitetur, nisi diuersas in Christo personas; vt cùm ait: naturas, siue hypostases mansisse inconfusas. Cuius hypostases, ô eximie Cyrille? Clarum, quod Christi, siquidem tu ita hypostases definis. Quod si definitio hæc personas esse hypostases à te non est profecta: potuisset fortasse quis tui defendendi gratia dicere: Cyrillum nomine hypostaseωn non intelligere personas, sed subsistentias quasdam rerum substantialium; sed cum tu aduersus te ipsum definitionem illam attuleris; nullus de cætero defensionis locus tibi relinquitur. Quare quando dicis; Christi naturas, siue hypostases mansisse inconfusas, nihil aliud dicis, quàm mansisse inconfusas hypostases siue personas. Vnde ex hac à te lata lege, nimirum, naturas esse hypostases siue personas, sequitur tres esse naturas in tribus sanctißimæ Trinitatis personis, vt Ariani contendunt; duas verò personas in duabus vnigeniti filij naturis. Itaque cùm ais Tractatu de adoratione in spiritu: duarum Christi naturarum siue hypostaseωn arcam fuisse figuram; Et alibi his ipsis verbis; Ex duabus naturis siue hypostasibus, siue personis constitui Christum: obscurum non est, te fateri Christi corpus in vtero Virginis prius exstitisse ac formatum esse;*

&

ὑποστάσεων, ἤτοι προσώπων πρεσβεύεις εἶναι χριστόν. εὔδηλον, ὅτι προϋποστὰν καὶ προμορφωθὲν ἐν τῇ μήτρᾳ τῆς Παρθένου λέγεις τὸ σῶμα χριστοῦ. καὶ εἶθ᾽ οὕτως ἑνωθὲν ἐν αὐτῷ τὸ πρόσωπον τοῦ θεοῦ λόγου, καθὰ πάλιν, καὶ ἐν τῷ τρίτῳ κεφαλαίῳ τῶν δώδεκα φάσκεις. Εἴ τις μετὰ τὴν ἄφραστον ἕνωσιν διαιρεῖ τὰς ὑποστάσεις. καὶ ἐν ἄλλοις δὲ μυρίοις τόποις τὰς φύσεις ὑποστάσεις προσαγορεύων. ἐν τοῖς πρὸς Ἑρμείαν ἑαυτῷ ἐναντιοῦσαι, καὶ περιπίπτεις, ἕτερον λέγων εἶναι τὴν φύσιν, καὶ ἕτερον τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. πῶς δὲ ἐπιλαβομένου Θεοδωρήτου τῶν δώδεκά σου κεφαλαίων, ἐν ταῖς σαῖς ἀπολογίαις οὐδὲν ἀπελογήσω περὶ τῶν τοιούτων ὑποστάσεων, ὧν ἐν χριστῷ εἴρηκας ἐν τῷ τρίτῳ κεφαλαίῳ. τοίνυν παλίμβολος ὢν ἑαυτῷ ἐναντιοῦσαι, καὶ περιπίπτεις. ποτὲ μὲν μίαν τὸν χριστὸν λέγων φύσιν. ποτὲ δὲ δύο πρόσωπα. καὶ γὰρ ἐν τοῖς γεγραμμένοις σχολίοις ἑρμηνεύων τὸν ἐν τῷ εὐαγγελίῳ στατῆρα, ὃν εὗρεν ὁ Πέτρος ἐν τῷ στόματι τοῦ ἰχθύος, οὕτω λέγεις. οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινὸς ὑπάρχει χριστός. Αὐτὸς γάρ ἐστι ὁ διπλοῦς χαρακτήρ. Πολλὴ τοίνυν χάρις τῷ λογογράφῳ Κυρίλλῳ, ὅλως καθ᾽ οἷον δήποτε τρόπον ὁμολογοῦντι ἐν χριστῷ, χαρακτῆρας, καὶ ὑποστάσεις διαφόρους.

Ηκούσατε ἀδελφοὶ τοῦ πονηροῦ δράκοντος Ανδρέου. ὁποῖα ἠρεύξατο ἐκ τοῦ ἰοῦ τῆς Νεστορίου καρδίας, κατὰ τοῦ πανσόφου διδασκάλου Κυρίλλου. διὰ τῆς φωνῆς τῆς λεγούσης, τὰς φύσεις ὑποστάσεις. Εἰ μὲν οὖν τοῦ ὁσίου πατρός εἰσιν αἱ τοιαῦται φωναὶ, ἢ ἑτέρων τινῶν, οὐκ ἔχω λέγειν. Ὁ γὰρ ἅπας ὁ τῶν πατέρων χορὸς καὶ αὐτὸς ὁ μέγας Κύριλλος ἐν διαφόροις τόποις, ἕτερόν τι λέγουσιν εἶναι τὴν φύσιν, καὶ ἕτερον, τὴν ὑπόστασιν, καὶ τούτῳ τῷ κανόνι στοιχοῦσα ἡ καθολικὴ ἐκκλησία, δύο μὲν ἡνωμένας φύσεις λέγει εἶναι τὸν χριστόν. δύο δὲ ὑποστάσεις, ἤτοι πρόσωπα ἐπ᾽ αὐτοῦ λέγειν οὐκ ἀνέχεται ἀλλ᾽ οὔτι μίαν ἐκ δύο αὐτὸν ὑποστάσεων, ἤτοι προσώπων συντεθέντα κηρύττει. ὑπόστασις γὰρ τὸ ἰδιάζον καθ᾽ ἑαυτὸ πρόσωπόν ἐστιν. οὐδαμοῦ δὲ ἡμεῖς ἔγνωμεν χωρὶς τοῦ θεοῦ λόγου τὴν ἁγίαν σάρκα οὐ γὰρ προϋπέστη τῇ μήτρᾳ, ἀλλ᾽ ἅμα συνῆλθον ἡ θεότης, καὶ ἡ σὰρξ ἔμψυχος λογική. αὕτη γάρ ἐστιν ἡ λεγομένη καθ᾽ ὑπόστασιν ἕνωσις. τὰς μὲν οὖν προειρημένας κατηγορίας ἐποίησεν, ὡς εἶπεν, ὁ μιαρὸς Ανδρέας κατὰ τοῦ θεοσόφου πατρὸς Κυρίλλου.

Μάρων

& postea demùm cum persona Verbi diuini coniunctum. Quod & in tertio capitulo affirmas hunc in modum. Si quis post ineffabilem vnionem diuidit hypostases; Cumque infinitis aliis locis naturas nuncupes hypostases, in libris ad Hermiam tibi ipse aduersaris, & à te dissentis: asserens aliud esse naturam, & aliud hypostasin, siue personam. Et quomodo cùm Theodoretus duodecim capitula tua refutare aggressus esset, nunquam defendisti id, quod de huiusmodi hypostasibus in tertio capitulo asseueras? Quamobrem inconstans tibi ipse repugnas, & tua vineta cædis; aliquando quidem vnam Christi naturam asserens, aliquando duas personas. Etenim in scholiis quoque tuis interpretans staterem, quem reperit Petrus in ore piscis, ita scribis: Igitur verus stater est Christus. Ipse enim est geminus character. Magnæ gratiæ disertissimo Cyrillo, qui vbique diuersos in Christo characteres ac hypostases confitetur.

Audistis fratres, Draconis nequissimi Andreæ conuicia, quæ ex pectore Nestoriani veneni plenissimo aduersus sapientissimum doctorem Cyrillum eructauit, eo quod dixerit, naturas esse hypostases. Ego, num talia dicta sint verè sancti illius patris, an aliorum, non habeo dicere: Vniuersus enim sanctorum Patrum cœtus, & ipse sanctus Cyrillus non vno loco aliud esse dicunt *naturam*, & aliud *hypostasin*; & hanc regulam secuta Catholica Ecclesia, docet, Christum esse duas naturas vnitas; duas verò hypostases siue personas in illo profiteri, vel constituere nequaquam audet; quin neque ex duabus hypostasibus, siue personis ipsum componi tradit; nam hypostasis nihil est aliud, quàm propria secundum seipsam persona. Nusquam verò nos sanctam carnem absque diuino Verbo subsistere nouimus. Non enim prius exstitit in vtero, sed simul conuenerunt diuinitas, & caro anima rationis participe informata. Hæc namque est, quæ dici solet, hypostatica vnio. Prædictas igitur calumnias effudit contra S. Cyrillum execrandus Andreas.

Μάρων δὲ πάλιν ὁ Ἐδεσσηνὸς, καὶ αὐτὸς τὰ Νεστορίου φρονῶν καταγράφων κατὰ Σευήρου τοιαῦτά φησιν. ἡμεῖς οἱ τῆς εὐσεβείας τὸ ἀνατολικὸν φέγγος ἔχοντες, οὐ τοσοῦτον ἀποστρεφόμεθα Διόσκορόν τε, καὶ Σευῆρον, καὶ Θεοδόσιον ὅσον βδελυττόμεθα ἀξίως τὴν βλάσφημον χαλκηδόνος σύνοδον. ἐκείνη μὲν γὰρ οὐκ εἴρηκεν ὑποστάσεις ἐν χριστῷ, καθ' οἷον δή ποτε τρόπον. Σευῆρος δὲ, καὶ ὁ τούτου πατὴρ Κύριλλος, καὶ Διόσκορος, καὶ Θεοδόσιος διὰ πλάστου ἡμῖν ἐν χριστῷ ὑποστάσεις ὁμολογοῦσιν, ἐκ δύο ὑποστάσεων, ἤτοι προσώπων ὁμολογοῦντες αὐτόν. ἀλλὰ καὶ ἀσυγχύτους λέγουσιν εἶναι τὰς χριστοῦ ὑποστάσεις. οὕτω γὰρ αὐτὸς Αἰγύπτιος ἐνομοθέτησε Κύριλλος λέγων. ὅτι ἀσύγχυτοι μεμενήκασιν αἱ χριστοῦ ὑποστάσεις. Εἰ δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ ὑποστάσεις χριστοῦ, τοῦτ' ἔστι τὰ πρόσωπα, πρόδηλον, ὅτι καὶ γνωρίζονται, καὶ εἰς αἰῶνα φυλάττονται. ἐπεὶ πῶς μεμενήκασιν ἀσύγχυτοι; τὸ δὲ παράδοξον, ὅτι οὐ προσέθηκε, ἀδιαίρετοι, ἀλλ' ἀσύγχυτοι, τοῦτ' ἔστι, τηλαυγεῖς, καὶ ἐν τῇ δυάδι τοῦ ἀριθμοῦ γνωριζόμεναι, καὶ οὐδὲ πόσαι αὐταὶ προσέθηκεν, ὡς δῆθεν πλῆθος ἡμῖν ὑποστάσεων ἐν χριστῷ εἰσαγόμενος. οὕτω γὰρ ἀθυροστόμως καὶ τὸν τόκον τῆς Παρθένου δοκῶν τιμᾶν ἐβλασφήμησεν. ποτὲ μὲν φυσικὸν ὀνομάζων τὸν ταύτης τόκον. ποτὲ δὲ φάσκων ἐν τοῖς δώδεκα αὐτοῦ κεφαλαίοις, ὅτι γεγέννηκε σαρκικῶς, σάρκα γεγονότα τὸν λόγον. πρὸς ὃν ἀνταποκρινόμενοι λέγομεν. οὐ σαρκικῶς γεγέννηκεν, ὦ θεομάχε, ἀλλὰ θεοπρεπῶς. ταῦτα μὲν οἱ δυσσεβεῖς αἱρετικοὶ κατὰ τοῦ θεοσόφου πατρός. ἡμεῖς δὲ τοῦτον φωστῆρα, καὶ στύλον τῆς ἐκκλησίας ὄντα κηρύττομεν.

Σχόλιον. Σευῆρος, καὶ Γαϊανὸς ὁμόφρονες τὸ πρὶν ἐτύγχανον, καὶ ἐν τῷ ἅμα ἐν τῷ ὀκτωκαιδεκάτῳ Ἀλεξανδρείας διῆγον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, ἠρώτησεν ὁ Γαϊανὸς τὸν Σευῆρον. πῶς χρὴ ὁμολογεῖν τὸ σῶμα τοῦ χριστοῦ; φθαρτὸν, ἢ ἄφθαρτον; Εἰπόντος δὲ τοῦ Σευήρου, φθαρτὸν τὸ σῶμα πρὸ τῆς τριημέρου ἐκ νεκρῶν ἀναστάσεως. ἀπέσχισεν εὐθέως ὁ Γαϊανὸς ἀπ' αὐτοῦ λέγων. ὅτι περ ἐὰν φθαρτὸν λέγῃς τὸ σῶμα, ἀνάγκη σε πᾶσα, καὶ δύο φύσεις εἰπεῖν ἐν χριστῷ. αὕτη γέγονεν ἡ αἰτία τῆς διαιρέσεως αὐτῶν.

* Maro autem Edessenus, & ipse Nestorij Sectator, scribens contra Seuerum, sic loquitur. *Nos, quibus lumen pietatis exortum est, non tantùm auersamur Dioscorum, Seuerum & Theodosium, quantum iure optimo detestamur blasphemam Synodum Chalcedonensem. Illa enim non dixit hypostases in Christo, sicuti Seuerus, & pater eius Cyrillus, & Dioscorus, & Theodosius duas liberè in Christo hypostases confitentur, eumq; ex duabus hypostasibus, siue personis constare dicunt; quin & addunt, hypostases Christi inconfusas: Ita enim scribit Ægyptius Cyrillus: Christi hypostases manserunt inconfusæ. Si verò Christi hypostases, hoc est, personæ manserunt inconfusæ, planum fit, eas etiam, vt inconfusas, cognosci ac considerari posse; & in omnem æternitatem inconfusas durare. Et quomodo manserunt inconfusæ? Illud admiratione dignum duco, quod non dixerit, mansisse etiam indiuisas, sed solùm inconfusas; hoc est, latè resplendentes. Et binario numero conclusas, sed de numero tacuit; vt multitudinem hypostaseon in Christo comminiscendi licentiam haberet. Sic dum partum Virginis sibi videtur magno honore afficere, petulanter blasphemauit, quia aliquando quidem Virginis partum vocat naturalem: Aliquando, vt in duodecim capitulis, dicit Virginem carnaliter peperisse Verbum carnem factum. Cui respondemus Virginem non carnaliter, sed Deo conuenienter peperisse.* Hæc impij hæretici aduersus diuinum patrem blaterant. Nos verò ipsum vt lumen & columen Ecclesiæ, veneramur ac suspicimus. * Maris.

Scholium. Seuerus & Gaianus initio concordes erant, eandemq; sententiam sequebantur, & simul in decimo octauo vico Alexandriæ degebant. Quadam igitur vice interrogauit Seuerus Gaianum: *Vtrum corpus Christi vocandum sit corruptibile an incorruptibile.* Respõdente Seuero; *fuisse corruptibile ante resurrectionem à mortuis*: secessionem ab ipso Gaianus fecit; ratus, si quis corpus Christi corruptibile asserat, necessariò duas in Christo naturas confitendas esse. Hæc est caussa cur seiuncti sint.

ΚΕΦΑΛΑΙΟΝ ΕΙΚΟΣΤΟΝ ΚΑΙ ΤΡΙΤΟΝ.

Περὶ πίστεως Γαϊανιτῶν.

Οἱ Γαϊανῖται, καὶ Ἰουλιανισταὶ, καὶ Ναρσαῖται, μίαν, καὶ τὴν αὐτὴν πίστιν ἔχουσιν, ὥσπερ πάλιν οἱ Σευηριανοί, καὶ Ἰακωβῖται, καὶ Θεοδοσιανοὶ, καὶ Διοσκορῖται. Ἀλλ᾽ οὗτοι μὲν, λέγω δὴ, οἱ κατὰ Σευῆρον, καὶ Ἰάκωβον, εἰ καὶ τὰ μάλιστα μίαν φύσιν τὸν χριστὸν λέγουσιν, ἀλλ᾽ ὅμως ὁμολογοῦσι δύο ἰδιότητας ἐν αὐτῷ, θείαν, καὶ ἀνθρωπίνην. λέγουσι δὲ καὶ φθαρτὸν τὸ σῶμα αὐτοῦ πρὸ τοῦ πάθους. Οἱ δὲ Γαϊανῖται ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον ἄφθαρτον λέγουσι τὸ σῶμα χριστοῦ, καὶ θεῖον, καὶ μίαν ἰδιότητα ἐπ᾽ αὐτοῦ, τοῦτ᾽ ἔστι θείκην, καὶ ἀπαθῆ. Ἰστέον δὲ, ὅτι οὐ δύνανται δεῖξαι πατέρα ἔγκριτον εἰπόντα τὸν χριστὸν ἐξ αὐτῆς ἑνώσεως κατὰ πάντα τρόπον ἐν ἀφθαρσίᾳ ὄντα, ἀλλ᾽ ἐξ οἰκείων λογισμῶν, καὶ τῶν παρ᾽ αὐτοῖς διδασκάλων τοῦτο λέγουσι κλέπτοντες, ὡς πολλάκις εἶπον, ῥησείδια, καὶ ἀποσπαράγματα λόγων. διὸ καὶ πρὸς αὐτοὺς ἐκ πραγματικῶν ἀποδείξεων παρετάξαμεθα κατὰ τὴν ὑποτεταγμένην διήγησιν.

Διάλεξις Γαϊανίτου, καὶ ὀρθοδόξου γινομένη ἐν Ἀλεξανδρείᾳ, διὸ καὶ ὑμεῖς οὕτως ἁρμόσασθε.

Ὁ ὀρθόδοξος. τὰ πράγματα πιστοπροῦσι τῶν ῥημάτων; ἢ τὰ ῥήματα βεβαιοπροῦσι τῶν πραγμάτων; Ὁ Γαϊανίτης. πρόδηλον, ὅτι τὰ πράγματα ἀξιοπιστότερά εἰσι τῶν ῥημάτων. Ὁ ὀρθόδοξος. ὀρθῶς ἀπεκρίθης κατὰ τὸν νόμον τῆς ἀληθείας, καὶ εὐσεβείας. λοιπὸν εἰπέ μοι παρακαλῶ, ὁ λέγων ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον ἐν ἀφθαρσίᾳ εἶναι, καὶ τὴν θεότητα, καὶ τὸ σῶμα τοῦ χριστοῦ· αὐτὴ ἡ κοινωνία τοῦ παναγίου σώματος, καὶ αἵματος χριστοῦ, ἣν προσφέρεις, καὶ μεταλαμβάνεις, σῶμα, καὶ αἷμα ἀληθινόν ἐστι χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ, ἢ ψιλὸς ἄρτος, ὡς ὁ πιπρασκόμενος κατ᾽ οἶκον, καὶ ἀντίτυπος τοῦ σώματος χριστοῦ, ὡς ἡ θυσία τοῦ τράγου, ἣν Ἰουδαῖοι προσάγουσιν.

Ὁ Γαϊα-

CAPVT VIGESIMVMTERTIVM.

De fide Gaianitarum.

GAIANITAE, Iulianiſtæ, & Nagranitæ vnam eandemque fidem habent, vt & Seueriani & Iacobitæ, & Theodoſiani, & Dioſcoritæ. Sed iſti, Seueriani, inquam, & Iacobitæ, licet maximè vnam in Chriſto naturam conſtituant; nihilominus duas in ipſo proprietates confitentur, diuinam ſcilicet & humanam. Docent inſuper corpus Chriſti fuiſſe paſsibile ante paſsionem. At Gaianitæ ſentiunt corpus Chriſti corruptionis expers & diuinum eſſe, ab initio vnionis, vnamq; duntaxat proprietatem, nimirum diuinam & impaſsibilem in eo reperiri: Noueritis autem, eos, non poſſe vllum ex probatis patribus producere, qui doceat, Chriſtum omni modo, ab ipſo vnionis momento fuiſſe immortalem, ſed ex proprio cerebro, & ex Magiſtrorum ſuorum inſtitutione hæc talia fingunt. Suffurantes ex Patrum commentariis teſtimonia quædam & orationum quaſi fruſta. Quapropter in eo, qui ſubiungitur congreſſu demonſtrationibus potius ex rebus petitis cum illis certandum arbitrati ſumus.

Diſceptatio Gaianitæ & orthodoxi habita Alexandriæ: cuius formam vos etiam imitamini.

ORthodoxus. Num res fide digniores ſunt, quàm verba; an verba firmiora rebus? Caianita. Manifeſtum arbitror, res fide digniores eſſe verbis. Orthodoxus. Rectè reſpondiſti, ex præſcripto nimirum veritatis & pietatis. Sed dic mihi, obſecro, ſi vt diuinitas ita & corpus Chriſti & ab ipſo vnionis exordio immortalitatem habet, num communio ſacratiſsimi corporis & ſanguinis Chriſti, quam offers & participas verè eſt verum corpus & ſanguis Chriſti filij Dei, vel nudus panis, qualis oſtiatim venditur; vel vicem duntaxat & figuram gerit corporis Chriſti, vt ſacrificium hirci, quod Iudæi offerunt? *Notent iſta Sacramentarij.*

Ὁ Γαϊανίτης· μὴ γένοιτο ἡμᾶς εἰπεῖν ἀντίτυπον τοῦ σώματος χριστοῦ, τὴν ἁγίαν κοινωνίαν, ἢ ψιλὸν ἄρτον. ἀλλ' αὐτὸ τὸ σῶμα καὶ αἷμα ἀληθῶς χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ μεταλαμβάνομεν, τοῦ σαρκωθέντος, καὶ γεννηθέντος ἐκ τῆς ἁγίας θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. Ὁ ὀρθόδοξος. οὕτω πιστεύομεν, καὶ οὕτως ὁμολογοῦμεν κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ χριστοῦ, ἣν πρὸς τοὺς μαθητὰς ἐπὶ τοῦ δείπνου τοῦ μυστικοῦ μεταδιδοὺς αὐτοῖς τὸν ζωοποιὸν ἄρτον ἔλεγε· λάβετε, φάγετε. τοῦτό μου ἐστὶ τὸ σῶμα· ὡσαύτως καὶ τὸ ποτήριον μεταδιδοὺς αὐτοῖς φησί. τοῦτό μου ἐστὶ τὸ αἷμα. οὐκ εἶπεν τοῦτό ἐστι τὸ ἀντίτυπον τοῦ σώματος, καὶ τοῦ αἵματός μου. Καὶ ἐν ἑτέροις δὲ πλείοσι τόποις, φαίνεται ὁ χριστὸς εἰπών· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον. λοιπὸν αὐτοῦ, τοῦ χριστοῦ μαρτυροῦντος, ὅτι σῶμα αὐτοῦ ἐστιν ἀληθῶς καὶ αἷμα, ὅπερ οἱ πιστοὶ προσάγοντες μεταλαμβάνομεν. ἄγαγε ἡμῖν ἐκ τῆς κοινωνίας τῆς ὑμετέρας ἐκκλησίας, ὡς ὀρθοδόξου οὔσης, ὡς λέγεις ὑπὲρ πᾶσαν ἄλλην ἐκκλησίαν. Καὶ ἀποτιθοῦμεν ἐν πάσῃ τιμῇ τὸ τοιοῦτο ἅγιον σῶμα χριστοῦ, καὶ αἷμα εἰς σκεῦος ἐνδόξως, καὶ ἐντὸς ὀλίγων ἡμερῶν, ἐὰν μὴ φθαρῇ, ἢ τραπῇ, ἢ ἀλλοιωθῇ, πρόδηλον, ὅτι καλῶς κηρύττετε τὸν χριστὸν, κατὰ πάντα τρόπον ὄντα ἐξ αὐτῆς ἄκρας ἑνώσεως ἐν ἀφθαρσίᾳ. Εἰ δὲ φθαρεῖ, ἢ ἀλλοιωθεῖ, ἀνάγκη πᾶσα ἡμᾶς, ἓν ἐκ τῶν ὁποτέρων εἰπεῖν. ἢ, ὅτι οὐκ ἔστιν, ὃ μεταλαμβάνετε, σῶμα ἀληθινὸν χριστοῦ, ἀλλ' ἀντίτυπον, καὶ ψιλὸν, ἢ, ὅτι διὰ τὴν κακοπιστίαν ἡμῶν, οὐκ ἐπεφοίτησε εἰς αὐτὸ τὸ πνεῦμα, τὸ ἅγιον. ἢ ὅτι φθαρτόν ἐστι τὸ σῶμα χριστοῦ πρὸ τῆς ἀναστάσεως, ὡς θυόμενον, καὶ νεκρούμενον, καὶ τιτρωσκόμενον, καὶ βελιζόμενον, καὶ ἐσθιόμενον. ἄφθαρτος γὰρ φύσις, οὔτε τέμνεται, οὔτε τιτρῶται πλευρὰν, καὶ χεῖρας, οὔτε βελίζεται, οὔτε νεκροῦται, οὔτε ἐσθίεται, οὔτε ὅλως κρατεῖται, ἢ ψηλαφᾶται· οἵα ἐστὶν ἡ ἄφθαρτος τῶν ἀγγέλων, καὶ τῶν ψυχῶν φύσις.

Ὁ Γαϊανίτης. Καὶ πῶς εὑρίσκομεν πολλοὺς ἁγίων πατέρων λέγοντας ἄφθαρτον τὸ σῶμα χριστοῦ; Ὁ ὀρθόδοξος. Τὸ ἄφθαρτον, καὶ ἡ φθορὰ, καθὼς καὶ ἐν τοῖς ὅροις εἰρήκαμεν, κατὰ δύο τρόπους ἐν ταῖς θείαις γραφαῖς εἴρηται. ποτὲ μὲν σωματικῶς, ποτὲ δὲ καὶ ψυχικῶς. ὅθεν φησὶν ἡ γένεσις, ὅτι εἶδεν ὁ θεὸς, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατεφθαρμένη, τοῦτ'

ἔστι,

Gaianita. Absit, vt dicamus, sacram communionem esse tantùm figuram corporis Christi, aut nudum panẽ; sed ipsum corpus & sanguinem Christi filij Dei incarnati & ex sanctissima Deipara & semper Virgine Maria nati verè accipimus. Orthodoxus. Sic credimus, & sic confitemur iuxta dictum Christi ad discipulos in cœna mystica dãtis illis viuificum panem; *Accipite, comedite, hoc est corpus meum:* Similiter & calicem dedit illis dicens: *Hic est sanguis meus.* Non dixit: hoc est, *figura, seu, quid vices gerens corporis & sanguinis mei.* Et pluribus aliis locis ait Christus: *Qui manducat meam carnem & bibit meum sanguinem, habet vitam æternam.* Cùm igitur ipse Christus fateatur, verè esse corpus suum & sanguinem, quem nos fideles sumimus: agedum adfer nobis aliquid ex communione vestrę Ecclesię, tanquam supra omnes alias Ecclesias orthodoxæ, & in vase cum omni honore & reuerentia reponemus hoc sanctum corpus Christi & sanguinem. Et si intra paucos dies non corrumpatur aut immutetur, aut alteretur, planum fiet vos rectè asserere corpus Christi penitus ab ipso incarnationis exordio corruptionis expers esse: si verò corrumpatur, aut immutetur; necessarium erit, vt vnum è duobus fateamini; aut id quod sumitis, non esse verũ corpus Christi; sed solam figuram, & quasi vicarium quiddam: aut propter peruersam fidem vestram, Spiritum sanctum in illud non descendisse: aut corpus Christi ante resurrectionem corruptioni subiectum esse: vtpote immolatum, morti traditum, vulneratum, diuisum & manducatum: Nam immortalis natura neque scinditur, neque latere & manibus vulneratur, neque in partes diuiditur, nec morti datur, neque manducatur: neque teneri potest, neque tangi; vt patet exemplo incorruptibilium naturarum Angeli & animæ. *Matth. 26.* *Ioan. 6.*

Gaianita. Et quomodo multi ex sanctis Patribus affirmãt, corpus Christi esse incorruptibile; Orthodoxus. Incorruptibile & corruptibile bifariam in diuinis literis vsurpantur, sicut iam antea in definitionibus dictum est: Interdum secundum corpus; interdum secundum animam: Vnde in Genesi dicitur: *Vidit Deus, & ecce omnis caro corrupta erat:* hoc est, omnes *Gen. 6.*

homines

ἐστι, πάντες οἱ ἄνθρωποι περιφέρομεν. περὶ ὧν καὶ ὁ Δαυὶδ φησὶν, ὅτι διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, καὶ ἐν ἐπιτηδεύμασι. πρὸς ταύτην οὖν τὴν φθορὰν τῆς ἁμαρτίας, ἄφθαρτον, τοῦτ᾽ ἔστιν, ἀναμάρτητον λέγομεν τὸ πανάγιον, καὶ πανάμωμον σῶμα τοῦ χριστοῦ. Ἐπεὶ κατὰ πάντα τρόπον ἐν ἀφθαρσίᾳ, ὡς ὑμεῖς λέγετε. οὐδεὶς τῶν ἐξ αἰῶνος ἁγίων πατέρων εἴρηκεν. ὅθεν καὶ ὁ τρισμακάριος Ἀθανάσιος, οὕτως ἐπὶ λέξεως περὶ τοῦ κυριακοῦ σώματος φησί. φθαρτὸν ἦν τὸ σῶμα. ὅτι καὶ ἡ Μαρία κτιστὴ ἦν. πῶς δὲ δυνατὸν εἰπεῖν τὸ σῶμα χριστοῦ ὁμοούσιον ἡμῶν, ἢ ὅτι πρὸς τὰ παιδία κεκοινώνηκε σαρκὸς, καὶ αἵματος; ἢ ὅτι σπέρματος Ἀβραὰμ ἐπελάβετο; ἢ, ὅτι πεπείραται κατὰ πάντα τρόπον κατ᾽ ὁμοιότητα ἡμῶν, εἴπερ ἄρα ἄφθαρτος ἦν ἐξ αὐτῆς ἄκρας ἑνώσεως, ὡς ὑμεῖς κηρύττετε.

Κἀντεῦθεν δὲ μανθάνομεν, ὅτι πρὸ μὲν τοῦ πάθους, φθαρτὸν ἦν τὸ τοῦ χριστοῦ πανάγιον σῶμα. μετὰ δὲ τὴν τριήμερον ἔγερσιν, ἄφθαρτον. λέγω δὴ, ὅτι πρὸ μὲν τοῦ πάθους, διαφόρους ῥύσεις, ὡς ῥευστὸν, ἐποιήσατο, τοῦτ᾽ ἔστιν, αἵματος, ἱδρῶτος, πτύσματος, καὶ δακρύου. μετὰ δὲ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, εἰ καὶ ἔφαγεν οἰκονομικῶς πρὸς πίστωσιν τῶν μαθητῶν. ἀλλ᾽ ὅμως οὐδὲ μίαν ὅλως ἔκκρισιν, ἢ ῥύσιν, ἢ ἀποβολὴν εὑρίσκομεν αὐτὸν πεποιηκότα. οὐ πτύσαντα, οὐ δακρύσαντα, οὐχ ἱδρώσαντα, οὐχ αἱμοῤῥοήσαντα. ἀλλ᾽ οὐδὲ ἁμαρτωλοῖς τοῦ λοιποῦ συναναστραφέντα. οὐχ ὑπνώσαντα, οὐ διψήσαντα, ἀλλ᾽ οὔτε πεινάσαντα. ἀλλ᾽ οὕτω μετὰ τὴν ἀνάστασιν φαγόντα. ὥσπερ ἐσθίει τὸ πῦρ τὸν κηρόν. καὶ ὥσπερ ἔφαγον ἐπὶ τοῦ Ἀβραὰμ οἱ ἄγγελοι. ὅθεν πρὸ μὲν τοῦ πάθους οὔτε ὤφθη ὁ χριστὸς ἐν διαφόροις μορφαῖς, καὶ σχήματι προσώπου παρηλλαγμένοις, ὥσπερ μετὰ τὴν ἀνάστασιν, ἐν ἑτέρᾳ μορφῇ ἐφάνη τῇ Μαγδαληνῇ. καὶ ἐν ἑτέρῳ σχήματι τοῖς περὶ Κλεόπαν, καὶ πάλιν ἄλλως ἐπὶ τῆς θαλάττης τῆς Τιβεριάδος. πάλιν τε πρὸ τοῦ πάθους, καίπερ δυνάμενος, οὐχ ὡράθη κατ᾽ αὐτὴν τὴν ὥραν ἐν διαφόροις τόποις. ἵνα μὴ πάλιν φαντασία νομισθῇ. ἀλλὰ κατὰ τὴν κοινὴν τῶν σωμάτων φύσιν ἐποιεῖτο τὰς τοπικὰς μεταστάσεις. μετὰ δὲ τὴν ἐκ νεκρῶν ἔγερσιν, κούφου λοιπὸν, καὶ πνευματικοῦ, καὶ λεπτοτάτου, καὶ ἀφθάρτου ἀναστάντος, καὶ ἀποτελεσθέντος τοῦ παναγίου αὐτοῦ σώματος, ἀκωλύτως

λοιπὸν

homines ſceleribus addicti erant: de quibus canit Dauid: corrupti & abominabiles facti ſunt in iniquitatib. & ſtudiis ſuis. Pſal. 52.
Reſpectu igitur huius corruptionis, incorruptibile, hoc eſt, peccati expers, profitemur ſacratiſsimum & integerrimum corpus Chriſti. At verò corpus Chriſti omni penitus alio modo incorruptibile eſſe, nullus ſanctorum Patrum vnquam aſſeruit: vnde beatiſsimus Athanaſius hæc ad verbum ſcribit. *Corruptibile erat corpus, quia & Maria erat creata.* Qua verò ratione affirmare licebit, corpus Chriſti eſſe eiuſdem ſubſtantiæ nobiſcum, aut Chriſtum cum pueris carnis & ſanguinis participem effectum; aut ſemen Abraham aſſumpſiſſe, aut ad ſimilitudinem noſtram per omnia tentatum ac probatum eſſe; ſi à primo vnionis momento incorruptibile erat, vt vos contenditis?

Et ex his liquet, ſacratiſsimum Chriſti corpus ante paſſionem corruptioni obnoxium fuiſſe: poſt reſurrectionem verò, incorruptibile, quia ante paſsionem variis quaſi defluxionibus ſubiiciebatur, ſanguinis, inquam, ſudoris, ſputi & lacrymarum: At poſt reſurrectionem à mortuis, tametſi per diſpenſationem manducauit; vt diſcipulorum fidem confirmaret; attamen ab omni egeſtione ac ſecretione immune erat: neque enim expuiſſe, lacrymaſſe, ſudaſſe, aut ſanguinem fudiſſe legitur; neque etiam cum peccatoribus amplius vitam egiſſe; nec ſomnum cepiſſe; nec ſitiiſſe; nec famuiſſe: ſed ſic poſt reſurrectionem comediſſe, ſicut ignis abſumit ceram: & ſicut Angeli ab Abrahamo hoſpitio excepti manducarunt. Quamobrem ante paſsionem non apparuit Chriſtus diuerſis formis indutus; & varia vultus ſpecie, quemadmodum poſt reſurrectionem, alia ſpecie ſeſe obtulit Magdalenæ; & alia Cleophæ cum ſocio: & alia ad mare Tiberiadis. Luca 24. Rurſus ante paſsionem nunquam viſus eſt in diuerſis locis, tametſi poterat: ne inane ſpectrum ac phantaſma cenſeretur: ſed communi corporum more de loco ad locum mouebatur. At poſt reſuſcitationem ex mortuis, corpore iam agilitate, tenuitate

λοιπὸν, καὶ τάφου ἐσφραγισμένου ἐξῆλθε, καὶ θυρῶν κεκλεισμένων εἰσῆλθεν, καὶ ἐν μιᾷ ὥρᾳ οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐν ᾗ ἀνέστη, καὶ εἰς τὴν ἱερουσαλὴμ, καὶ εἰς τὴν Ἐμμαοὺς ὤφθη τοῖς μαθηταῖς. Εἰ δὲ ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον, ὁμοίως ἦν ἄφθαρτον, τί δή ποτε, μὴ καὶ πρὸ τοῦ πάθους, * παντὶ ἐν μιᾷ ὥρᾳ σαρκὶ ἐφαίνετο ὁ χριστὸς ἐν διαφόροις τόποις, καὶ ἰδέαις, καὶ σχήμασι προσώπου; τί δή ποτε μὴ καὶ μετὰ τὴν αὐτοῦ ἀνάστασιν καὶ ἔπτυσε, καὶ ἔκλαυσεν; ὅθεν ἐκ πάντων τούτων δῆλόν ἐστι. φθαρτὸν μὲν εἶναι τὸ ἅγιον χριστοῦ σῶμα πρὸ τοῦ πάθους. μετὰ δὲ τὴν ἀνάστασιν αὐτοῦ, ἄφθαρτον.

* σάση

Ὁ Γαϊανίτης. Εἰ καὶ ἐδάκρυσεν ὁ χριστὸς τὸν Λάζαρον, ἀλλ᾽ ὅρα, ὅτι ὡς ἄφθαρτον τὸ δάκρυον αὐτοῦ, καὶ θεῖον, τὸν νεκρὸν ἤγειρεν. Εἰ καὶ ἔπτυσεν, ἀλλὰ τὸ πτύσμα αὐτοῦ τὸν τυφλὸν ἀνέβλεψεν. Εἰ καὶ ἐξήγαγεν αἷμα ἐκ τῆς πλευρᾶς, ἀλλὰ δι᾽ αὐτοῦ τὸν κόσμον ἔσωσεν. Εἰ καὶ ἐσταυρώθη, ἀλλ᾽ ὡς θεὸς τὸν ἥλιον ἐσκότισεν. Ὁ ὀρθόδοξος. Ὅτι μὲν τῇ πρὸς τὸν θεὸν λόγον ἑνώσει, ἅγιον, καὶ θεῖον, καὶ παντοδύναμον, καὶ δημιουργὸν, τὸ παναμώμον σῶμα αὐτοῦ τυγχάνει, οὐ δεῖ ἀμφιβάλλειν, πλὴν ἀκούομεν τοῦ μεγάλου Γρηγορίου τοῦ Νυσσαέως λέγοντος. ὅτι οὔτε ζωοποιεῖ τὸν Λάζαρον ἡ ἀνθρωπεία χριστοῦ φύσις. οὔτε κλαίει τὸν κείμενον ἡ ἀπαθὴς ἐξουσία. ἀλλ᾽ ἴδιον μὲν τοῦ ἀνθρώπου τὸ δάκρυον. ἡ δὲ ζωὴ τῆς ὄντως ζωῆς. Εἰ δὲ καθὼς ἡμεῖς δογματίζετε, οὐ τῆς θεότητος, ἀλλὰ τοῦ σώματος χριστοῦ αἱ θαυματουργίαι ὑπῆρχον, ἔδει αὐτὸν εὐθέως ἐκ σπαργάνων τὰ θαύματα ἐνδείξασθαι. Καὶ γὰρ μυριάκις νηπιοπρεπῶς ἔκλαυσεν. μυριάκις ὡς ἄνθρωπος γενόμενος ἔπτυσεν. πεπείραται γὰρ τῶν καθ᾽ ἡμᾶς πάντων, ὡς φησὶν ὁ Παῦλος, δίχα μόνης τῆς ἁμαρτίας. ἰδοὺ γοῦν περιτομὴν καταδεξάμενος οὐδὲν θαῦμα διὰ τῆς αἱμορροίας ἐκείνης τῆς θεοσάρκου ποιῆσαι ἠθέλησε. περὶ δὲ τοῦ προφέρειν ὑμᾶς τὸ, οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθορὰν, διαφθορά ἐστι παντελὴς οὐσίας ἀφανισμός. ὃν ἵνα οὐχ ὑπέστησεν τῷ τάφῳ τὸ σῶμα τὸ δεσποτικὸν, ὑπὸ τῆς ἐν αὐτῷ θεότητος φυλαχθὲν, καὶ μεταποιηθὲν εἰς ἀφθαρσίαν, καὶ ἀποκατασταθὲν τοιοῦτο, οἷον ἦν τὸ σῶμα τοῦ Ἀδὰμ πρὸ τῆς παραβάσεως.

Ἱππο-

& incorruptione prædito;absq; vllo obstaculo potuit,& clauso sepulchro egredi, & per clausas ianuas ingredi: & eadem hora illius diei, quo surrexit, cùm iam serò esset; Hierosolymæ, & discipulis euntibus in Emaus apparuit. Si autem ab ipso vnionis exordio prorsus erat incorruptibilis, cur non etiam ante passionem omni carni eadem hora, in diuersis locis, formis ac figuris conspiciendum sese exhibuit? Cur non post resurrectionem quoque exspuit & fleuit? Quocirca ex omnibus istis planum relinquitur, sacratissimum corpus Christi ante passionem fuisse corruptioni obnoxium;post resurrectionem verò corruptionis expers.

Gaianita. Etiamsi Christus Lazarum defleuerit,attamen lacrymæ illius, tanquam incorruptibiles ac diuinæ mortuum excitarunt. Et quamuis exspuerit;at sputum eius cæco lumen restituit. Et quamuis sanguinem profuderit, attamen illò mundum redemit. Et quamuis crucifixus sit, attamen, vt Deus, soli tenebras induxit. Orthodoxus. Illibatum corpus Christi per vnionem cum Verbo euasisse sanctum & diuinum, & omnipotens, & ad mira patranda aptum, nemo ambigit. At audiamus Gregorium Nyssenum, qui asserit, neque humanam naturam Christi viuificasse Lazarum; neque impatibilem potentiam fleuisse exanimem: sed lacrymas hominis proprias esse; vitam verò veræ vitæ. Si autem, vt vobis placet, miracula non fuerunt diuinitatis, sed corporis Christi, necesse erat, vt statim ab incunabilis miracula patraret: Atqui infinities, infantium instar, fleuit: infinities, vt homo, exspuit. Tentatus enim & probatus est per omnia nostra, vt dicit Paulus, excepto solo peccato. Vide igitur, circumcisus nullum miraculum per sanguinem illum à diuina carne effusum, operatus est. Quod verò profertis illud; *non dabis sanctum tuum videre corruptionem*; noueris, corruptionem esse totius substantiæ abolitionem; quæ in corpus Domini in sepulchro à diuinitate custoditum cadere non poterat: sed immortalitate donatum est ac eiusmodi effectum, quale erat corpus Adami ante transgressionem.

Hebr. 4.

Psal. 15.

Ἱππολύτου Ἐπισκόπου ῥώμης ἐκ τοῦ περὶ ἀναστάσεως, καὶ ἀφθαρσίας λόγου.

Ἔσονταί φησιν ἐν τῇ ἀναστάσει οἱ ἄνθρωποι, ὡς οἱ ἄγγελοι, τοῦ θεοῦ. ἐν ἀφθαρσίᾳ δηλονότι, καὶ ἀθανασίᾳ, καὶ δεξουσίᾳ. ἄφθαρτος γὰρ οὐσία οὐ γεννᾷ, οὐ γεννᾶται, οὐκ αὔξει, οὐχ ὑπνοῖ, οὐ πεινᾷ, οὐ διψᾷ, οὐ κοπιᾷ, οὐ πάσχει, οὐ θνήσκει, οὐ τιτρᾶται ὑπὸ ἥλων, καὶ λόγχης, οὐχ ἱδροῖ, οὐχ αἱμορροεῖ. τοιαῦται οὐσίαι εἰσίν. ἥ τε τῶν ἀγγέλων, ἥ τε τῶν ψυχῶν, τῶν ἐκ σωμάτων ἀπηλλαγμένων. ἐπειδὴ καὶ ἀμφότεραι ἑτερογενεῖς εἰσι, καὶ ἀλλότριαι τῆς ὁρωμένης, καὶ φθειρομένης ταύτης τοῦ κόσμου κτίσεως. Ὁ αἱρετικός. ἀλλ' ἀντιλέγει ὁ δι' ἐναντίας φάσκων. ὅτι ἑκουσίως, καὶ γνωμικῶς τὰ πάθη κατεδέξατο ὁ χριστός. τὰ δὲ ἑκουσίως γινόμενα, καὶ γνωμικῶς, εἰς νόμον οὐκ ἀναφέρονται φύσεως. Ὁ ὀρθόδοξος πρὸς ταῦτα. Οὐκοῦν ἐπειδὴ ἑκουσίως κατῆλθεν ὁ θεὸς λόγος ἐξ οὐρανοῦ, μὴ λεγέσθω ἀληθὴς ἡ κατάβασις αὐτοῦ. ἐπειδὴ ἑκουσίως ἐσαρκώθη, μὴ λεγέσθω φύσις τὸ σῶμα αὐτοῦ. μὴ δὲ τόκος ὁ τόκος αὐτοῦ. μὴ δὲ χρόνος, ὁ χρόνος αὐτοῦ. μή τι γένος, τὸ γένος αὐτοῦ. μή τι πάθος, τὸ πάθος αὐτοῦ. μή τι θάνατος, ὁ θάνατος αὐτοῦ. μή τι ἀνάστασις ἡ ἀνάστασις αὐτοῦ. μή τι ἀνάληψις, ἡ ἀνάληψις αὐτοῦ. πάντα γὰρ ταῦτα ἑκουσίως, καὶ οἰκείᾳ γνώμῃ, ἀλλ' οὐκ ἐξ ἀνάγκης τινὸς ὑπέμεινεν, καὶ κατεδέξατο ἐνανθρωπῆσαι ἐπὶ τῆς γῆς. αὕτη δὲ ἡ ἐφεύρεσις Μανιχαίων καθέστηκεν.

Ἑτέρα τις ἀπολογία, καὶ ἐπίλυσις σαφὴς ὑπὲρ τῆς φωνῆς τῆς λεγούσης, μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην, πρὸς τοὺς τὰ Σευήρου φρονοῦντας.

Ὥσπερ τριῶν τινῶν ὁμουσίων, καὶ ἀπεριγράπτων ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ φωστήρων ὄντων, οὐδεὶς τῶν εὐφρονούντων τρεῖς φωτὸς αὐτοὺς φύσεις προσαγορεύει, ἀλλὰ τρεῖς φωτὸς ὁμουσίου ὑποστάσεις, συμφυεῖς, καὶ ὁμοφυεῖς, καὶ ὁμογενεῖς, καὶ συγγενεῖς ἀδιαίρετον φῶς ἐχούσας. οὕτω δὴ ἐπὶ τοῦ τριαδικοῦ λόγου ὑπόστασις, ἀλλ' οὐ φύσις προσαγορεύεται ὁ θεὸς λόγος, καθὰ καὶ ὁ πατὴρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὥσπερ δὲ πάλιν εἰ δόξει τὸν ἕνα τῶν τοιούτων φωστήρων ἑνωθῆναι τῇ νεφέλῃ, καὶ ταύτην ἀμφιάσασθαι ἀπεριγράπτως. λέγεται λοιπὸν ὁ ἐν αὐτῇ φωστὴρ, καὶ ὑπόστα-

Hippolyti Episcopi Romani, ex sermone de Resurrectione & incorruptione.*

* *Non fuit Episcopus Romanus. Aliqui Portuensem vocant.*

ERunt, inquit, *homines in resurrectione, sicut Angeli Dei, nimirum corruptionis expertes, immortales, nihil defluxu aliquo deperdere soliti: Nam immortalis natura, non generat, non generatur; non augetur, non dormit, non esurit, non sitit; non fatigatur, non patitur, non moritur, neque à clauis & lancea perforatur, non sudat, non fundit sanguinem. Eiusmodi naturis constant Angeli, & animæ corporeis vinculis exsolutæ; Ambæ enim istæ naturæ sunt alterius generis, & diuersæ à creaturis huius mundi, quæ sub aspectum cadunt, & corruptioni subiiciuntur.* Cæterùm hic occurrit aduersarius, aitque: *Christum sponte, & ex certa sententia passionem & cruciatus subiisse; ea autem, quæ spontè, & ex libera potestate fiunt; ad leges naturæ nequaquam pertinere.* Orthodoxi responsio. Igitur cum Christus sponte sua de cœlo descenderit, descensus eius nequaquam verus erit. Et cum sponte incarnatus sit, non poterit corpus eius dici *natura*; neq; partus, partus eius; neque tempus, tempus eius; neque genus, genus eius; neque passio, passio eius; neque mors, mors eius; neq; resurrectio, resurrectio eius, neque ascensio, ascensio eius: omnia enim hæc vel subiit, vel suscepit sponte & propria voluntate; nullaque prorsus necessitate adactus hominem induit. Hæc autem euasio à Manichæis excogitata est.

Contra Seuerianos alia explicatio & solutio dicti illius: Vnam diuini Verbi naturam esse incarnatam.

QVemadmodum, si in firmamento cœli tria luminaria eiusdem substantiæ, & incircumscripta lucerent; nemo, qui saperet, ea tres naturas appellaret, sed tres lucis consubstantialis hypostases, eandem cognatam, eiusdemque generis modi ac rationis, indiuisamque lucem habentes; sic & in Trinitatis mysterio, Verbum diuinum non appellatur *natura*, sed hypostasis, quemadmodum Pater quoq; & Spiritus sanctus. Et quemadmodum, si quod ex tribus illis luminaribus vniretur nebulæ, eamque incircumscriptè assumeret; vocaretur de

ὑπόστασις, ὡς εἷς ὑπάρχων τῶν τριῶν τοῦ φωτὸς ὑποστάσεων. λέγεται δὲ καὶ φύσις, ὡς πρὸς σύγκρισιν τῆς ἑνωθείσης αὐτῷ ἑτερογενοῦς, καὶ ἑτερουσίου νεφέλης. οὕτω δὴ νόησον τὴν τοῦ θεοσόφου Κυρίλλου φωνὴν, ἡνίκα ἐν τῇ ἑνώσει τῆς σαρκὸς λέγει, μίαν τοῦ θεοῦ λόγου φύσιν σεσαρκωμένην. Εἰ δὲ ἀπερισκέπτως κατατρέχεις τῇ φωνῇ, ἀγωνιζόμενος, φύσιν ὀνομάζειν τὴν ὑπόστασιν τοῦ λόγου, ἀνάγκη σε πᾶσαν φύσιν ὁμοίως προσαγορεύειν ἰδικὴν, καὶ τὸν πατέρα τοῦ θεοῦ λόγου. ὁμοίως καὶ ἄλλην ἑτέραν φύσιν ἰδιάζουσαν, τὸ πανάγιον πνεῦμα. οὕτω γὰρ δογματίσας, καὶ νοήσας ὁ Σευῆρος, εἰς τὸ Ἀρειανὸν τῆς τριθεΐας βάραθρον ἐξεκυλίσθη. καὶ ἄνθρωπος δὲ γυμνὸς ὢν ὑπόστασις λέγεται μία τῶν πάντων. ἐὰν δὲ ἐνδύσηται ἐσθῆτα, δύναται καὶ φύσις λέγεσθαι διὰ τὸ ἑτεροφυὲς τῆς ἐσθῆτος τῆς ἑτερογενοῦς, ἧς ἠμφιάσατο. καὶ ὁ Γαβριὴλ δὲ φέρε εἰπεῖν, μία τῶν ἀγγελικῶν ὑποστάσεων ὑπάρχων, εἰ ἐνεδύσατο σάρκα, ἠδύνατο καὶ φύσις προσαγορεύεσθαι, διὰ τὴν ἕνωσιν τῆς ἑτερογενοῦς αὐτοῦ σαρκός. καὶ ἡ ψυχὴ δὲ ἡ λογικὴ, οἷον τοῦ Παύλου γυμνὴ καθ' ἑαυτὴν, καὶ ἄσαρκος νῦν ὑπάρχουσα, μία ὑπόστασις τῆς κοινῆς οὐσίας τῶν ἀνθρωπίνων ψυχῶν λέγεται, καὶ οὐ φύσις. Εἰ δὲ νῦν ἡνώθη τῷ ἑαυτῆς σώματι πρὸ ἀναστάσεως, δύναται διὰ τὸ ἑτεροφυὲς, καὶ γηγενὲς τῆς σαρκὸς τρόπῳ τινὶ εὐσεβεῖ, καὶ φύσις προσαγορεύεσθαι. διὸ καὶ ἐκ δύο φύσεων τὸν ἄνθρωπον συγκεῖσθαι. οἱονεί πως οἱ μακάριοι Πατέρες εἰρήκασιν.

Ἀλλὰ κατατρέχει ἡμῶν καὶ ἐν τούτῳ ὁ Ἀκέφαλος λέγων· ὅτι εἰ ἐκ δύο φύσεων ὁ ἄνθρωπος σύγκειται, προσελάβετο δὲ τοῦτον ὁ θεὸς λόγος, εὑρεθήσεσθε τρεῖς λοιπὸν φύσεις ὁμολογοῦντες ἐν τῷ Χριστῷ. πρὸς οὓς λεκτέον. ὅτι ἐντεῦθεν ἐλέγχεσθε ἀρνούμενοι τὸν τῆς σαρκώσεως λόγον. καὶ οὔτε σῶμα, οὔτε ψυχὴν ὁμολογοῦντες ἐν ἀληθείᾳ ἀναλαβεῖν τὸν θεὸν λόγον. εἰ δὲ ὅλως λέγετε αὐτὸν τέλειον ὄντα ἐν ἀνθρωπότητι, ὥσπερ καὶ ἐν θεότητι, εὑρίσκεσθε, καὶ ὑμεῖς ἐκ τριῶν φύσεων λέγοντες εἶναι τὸν Χριστόν. πλὴν ὥσπερ τὸ δένδρον, πλείστας ποιότητος διαφορὰς ἔχον, λέγω δὴ, ῥίζης, κλάδων, φύλλων, ἄνθους, καρποῦ, μία φύσις λέγεται. οὕτω καὶ ἄνθρωπος ὅλος, καθά φη-

cætero ipsum luminare etiam hypostasis, tanquam vna ex tribus lucis hypostasibus; vocaretur præterea natura, comparatione ad vnitam sibi alterius generis, & rationis nebulam: sic & tu sapientissimi Cyrilli dictum accipe; quando dicit, in vnione carnis vnam naturam Verbi diuini incarnatam esse. Quod si dictum hoc inconsideratè arripias; contendasque: ipsam Verbi hypostasin nominari naturam, necessariò cogeris, etiam diuini Verbi Patrem appellare naturam propriam; & similiter ipse Spiritus sanctus alia propria natura erit. Quod cùm Seuerus asseruisset & docuisset, in Arianismi de tribus Diis impiam voraginem præcipitatus est. Homo etiã nudus merusque; hypostasis appellatur, & vna quidem omnium; si verò vestem induat, poterit & natura dici propter vestem diuersi generis, & alterius à se rationis, quã induit. Et Gabriel, qui est vna ex Angelicis hypostasibus, si carnem assumeret posset quoq; natura vocari, propter vnionem cum carne, quæ est diuersæ à Gabriele substantiæ; Et anima rationis particeps, Pauli, v.g. præcisè secundum seipsam spectata, & à carnis concretione libera, appellatur vna quædam communis naturæ humanarum animarum hypostasis, & non natura; si verò ante *resurrectionem* corpori vniatur, poterit propter diuersitatem, & terream molem carnis, pio quodam modo etiam natura nominari. Qua de caussa etiam ex duabus naturis hominem compositum esse, aliquando sancti Patres pronunciarũt.

Verùm hic quoque in nos incursant Acephali. *Si homo ex duabus naturis constat; hunc verò Verbum diuinum assumpsit; tres vtique naturas in Christo constituitis.* Quibus respondere oportet; vel hinc manifestum fieri, eos Incarnationis mysterium tollere & abnegare; Verbumque diuinum, ex eorum sententia, neque corpus, neque animam verè assumpsisse. Quod si omnino asseritis, Christum perfectum esse in humanitate, sicut & in diuinitate; sequitur, etiam vestro iudicio, Christũ ex tribus naturis constare. Cæterùm sicuti arbor vna & est & appellatur natura, quantumuis ex differentium qualitatũ partibus compacta, vt ex radice, ramis, foliis, flore, fructu; ita & totus homo vna est natura, iuxta illud Iacobi fratris Domini: *Omnis* *Iacob. 3.*

σιν ὁ θεάδελφος Ἰάκωβος, πᾶσαν φύσιν ζώων, καὶ πετεινῶν, καὶ ἐναλίων δαμάζεσθαι ὑπὸ τῆς ἀνθρωπίνης φύσεως.

Ἐπίλυσις, ἤτοι ἀνατροπὴ τῆς τῶν μονοφυσιτῶν προτάσεως τῆς λεγούσης, ὅτι εἰ τελεία θεότης ἐστὶν ἡ σαρκωθεῖσα τοῦ θεοῦ λόγου ὑπόστασις, καὶ ἐν αὐτῇ ὁρᾶται πᾶν τὸ πλήρωμα τῆς ἁγίας τριάδος, εὑρίσκονται πάντα, τὰ ἐν τῷ υἱῷ ὁμολογούμενα ἐν τῇ οἰκονομίᾳ, ταῦτα τῇ πάσῃ τριάδι προσαπτόμενα. Εἴτε δύο φύσεις, εἴτε θελήσεις, εἴτε ἐνέργειαι. Οἱ δὲ μὴ οὕτω φρονοῦντες, εὑρίσκονται, φησὶ, διδόντες τῇ ἁγίᾳ τριάδι τρεῖς μὲν φύσεις ἰδικὰς, μίαν δὲ κοινήν. Εἴρηται μὲν οὖν ἡμῖν πρὸ βραχέως βραχέα περὶ τούτου. ὅπως δὲ μὴ καὶ ἡμεῖς, ὡς οἱ αἱρετικοὶ ἰδίους μύθους ἀναπλάττοντες τῇ θείᾳ κατάρᾳ ὑποπέσωμεν τῇ λεγούσῃ. οὐαὶ τοῖς ἐξ οἰκείας καρδίας προφητεύουσι, καὶ οὐκ ἐκ θεοῦ. Φέρε ὥσπερ ὁ Δαυὶδ ἑνὶ λίθῳ Γολιαθίτῃ πᾶσαν τὴν παρεμβολὴν τῶν ἀλλοφύλων πατάξωμεν, ἀποφράττοντες αὐτῶν τὰ στόματα, τὰ φάσκοντα. ὅτι ὅσα ἂν προστεθῇ τῷ ἑνὶ τῆς ἁγίας τριάδος Χριστῷ, ταῦτα καὶ τῇ πάσῃ τριάδι λογίζονται.

ΚΕΦΑΛΑΙΟΝ ΕΙΚΟΣΤΟΝ ΚΑΙ ΤΕΤΑΡΤΟΝ.

Τοῦ ἁγίου Ἀποστολικοῦ διδασκάλου Διονυσίου, τοῦ Ἀρεοπαγίτου ἐκ τοῦ κεφαλαίου τοῦ περὶ ἡνωμένης, καὶ διακεκριμένης θεολογίας.

Καθάπερ φῶτα λαμπτήρων, ἵνα αἰσθητοῖς, καὶ ἰδίοις χρήσωμαι παραδείγμασιν, ὄντα ἐν οἴκῳ ἑνὶ, ὅλα ἐν ἀλλήλοις ἐστὶ, καὶ ἀκριβῆ τὴν ἀπ' ἀλλήλων ἰδικῶς ὑφισταμένην ἔχει διάκρισιν, ἡνωμένα τῇ διακρίσει, καὶ διακεκριμένα τῇ ἑνώσει. καὶ γοῦν ὁρῶμεν ἐν οἴκῳ πολλῶν ὄντων τῶν λαμπτήρων, πρὸς ἕν τι φῶς ἑνούμενα τὰ πάντα φῶτα, καὶ μίαν αἴγλην ἀδιάκριτον ἐκλάμποντα. καὶ οὐκ ἄν τις, ὡς οἶμαι, δυναιτο τὸ τοῦδε τοῦ λαμπτῆρος τὸ φῶς ἀπὸ τῶν ἄλλων ἐκ τοῦ πάντα περιέχοντος

ἀέρος

nis natura bestiarum & volucrum, & aquatilium domatur à natura humana.

Solutio & refutatio propositionis Monophysitarum, quę affirmat; *Perfectam diuinitatem nihil aliud esse, quàm incarnatam Verbi diuini hypostasin; & in ea omnem sanctissimæ Trinitatis plenitudinem inesse; & omnia, quæ in Christo propter Incarnationis œconomiam confitemur, toti Trinitati competere; siue duas naturas, siue voluntates, siue operationes; & qui non ita sentit,* inquiunt isti; *is in Trinitate tres proprias naturas vnamque communem constituit.* De quo paulò antea pauca quidem diximus; ne verò nos etiam, hæreticorum more, videamur propria commenta excogitare; & in diuinam illam maledictionem incidere; *Væ his, qui prophetant ex corde suo,* non ex Deo; agedum, vt Dauid vno lapide, in Goliathis fronte infixo; vniuersum alienigenarum exercitum percutiamus, obturantes ora eorum, qui aiunt; omnia quæ vni ex sanctissima Trinitate, nimirum Christo, tribuuntur, toti Trinitati tribui. Ezech. 13.

CAPVT VIGESIMVMQVARTVM.

Sancti & Apostolici Doctoris Dionysij Areopagitæ, ex capite de coniuncta & discreta Theologia.

S. Dionys. lib. de diuin. Nomin. cap. 2. parte prima.

Quemadmodum lumina lucernarum, vt sensibilibus & familiaribus vtar exemplis, in domo vna cùm sint, tota in se mutuo sunt; & exactè à se mutuo secundum propriam subsistendi rationem secernuntur; vnita discretione; & discreta vnione; Denique cernimus in domo pluribus lucernis illustri; omnia lumina in vnum lumen coalescere, & vnum indiscretum fulgorem emittere; neque vlli, vt arbitror, procliue fuerit, huius vel illius lucernæ lumen in aëre omnia lumina continente, ab alterius lucernæ lu-

ἀέρος διακρῖναι, καὶ ἰδεῖν αὐτὸ θατέρου θάτερον, ὅλων ἐν ὅλοις ἀμιγῶς συγκεκραμένων. ταῦτα Διονυσίου.

Σχόλιον. ἡνωμένην, καὶ διακεκριμένην λέγει τὴν ἁγίαν τριάδα, διὰ τὸ κοινὸν τῆς οὐσίας, διαιρετὸν δὲ τῶν ὑποστάσεων.

Ἐπὶ δὲ τὴν λύσιν τῶν εἰρημένων χωρήσωμεν. Ὅλος ὁ υἱὸς τοῦ πατρὸς, τοῦτον ἔχει τὸν τρόπον. ὑπόδειγμα εἶπεν ἐπὶ τῆς ἁγίας τριάδος τριῶν τινῶν λύχνων, ἢ κηρῶν ἁπτόντων ἔν τινι ναῷ, ἢ οἴκῳ. ταῖς μὲν ὑποστάσεσι διακεκριμένων, ἤγουν κεχωρισμένων ἐξ ἀλλήλων. ἄλλος γὰρ, καὶ ἄλλος. καὶ ἄλλος λύχνος ἐστιν ἰδικῶς ὁ καθ' εἷς, τῷ δὲ φωτὶ, ἡνωμένην ἔχουσι, καὶ ἀχώριστον τὴν κοινωνίαν τῆς φύσεως, καὶ τῆς ἐνεργείας. καὶ οὐδεὶς δύναται ἐν τῷ ἀέρι τοῦ οἴκου διακρῖναι, καὶ εἰπεῖν. ποῖον μὲν φῶς ἐστι τοῦδε τοῦ λύχνου, ποῖον δὲ τοῦ ἑτέρου. ταῦτα ὁ διδάσκαλος εἶπεν. Μετέρχεται λοιπὸν ἐκ τοῦ τριαδικοῦ, εἰς τὸν τῆς οἰκονομίας λόγον (ἔξοδον ἐπὶ θεοῦ μηκέτι τοπικὴν νοήσῃς) καὶ τὴν ἔξοδον τοῦ θεοῦ λόγου τὴν τοῦ πατρὸς κατὰ τὴν αὐτοῦ φωνὴν τὴν φάσκουσαν. ὅτι ἐγὼ ἐκ τοῦ πατρός μου ἐξῆλθον, καὶ πρὸς τὸν πατέρα μου ὑπάγω. Διονυσίου. Ἀλλὰ καὶ εἰ τὸν ἕνα τις τῶν πυρσῶν ὑπεξαγάγοι τοῦ δωματίου, συνεξελάσεται, καὶ τὸ οἰκεῖον ἅπαν φῶς, οὐδέν τι τῶν ἑτέρων φωτῶν ἐν ἑαυτῷ συνεπισπώμενον, ἢ τοῦ ἑαυτοῦ τοῖς ἑτέροις καταλιπών. ἐξελθὼν, φησὶν, ὁ υἱὸς ἐκ πατρὸς, καὶ ἐπιδημήσας ἐν τῷ κόσμῳ, οὔτε τὸν πατέρα, καὶ τὸ πνεῦμα συνεξήγαγε σὺν ἑαυτῷ. οὔτε μὴν τῶν οἰκείων τι ὁ ἐξελθὼν ἐκείνοις κατέλιπεν. ἀλλ' ἰδιαίτερον τῆς ἑαυτοῦ μόνης ὑποστάσεως ἐποιήσατο ἔξοδον. Εἶτα ἐν τοῖς ἑξῆς τρανοῖ τὰ εἰρημένα λέγων. Διακέκριται δὲ τῆς ἀγαθοπρεποῦς εἰς ἡμᾶς θεουργίας τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς, καὶ ἀληθῶς οὐσιωθῆναι τὸν ὑπερούσιον λόγον. Ἑρμηνεία. διακέκριται, τοῦτ' ἔστι κεχώρισται τοῦ τριαδικοῦ, καὶ θεολογικοῦ λόγου, τῷ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς, καὶ ἀληθῶς σαρκωθῆναι, τοῦτ' ἔστιν, ὁ τῆς ἐνανθρωπήσεως καὶ σαρκώσεως χριστοῦ λόγος, καὶ δρᾶσαι, καὶ παθεῖν, ὅσα τῆς ἀνθρωπικῆς αὐτοῦ θεουργίας ἐστὶν ἔγκριτα καὶ ἐξαίρετα. Ἔγκριτα φησὶ, καὶ ἐξαίρετα, τοῦτ' ἔστι, καθαρὰ, καὶ ἀδιάβλητα τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως. ἅτινά εἰσι, τόκος, νηπιότης.

αὔξη-

mine discernere, & intueri, cum tota in totis impermixtè permixta sint. Hæc Dionysius.

Scholium. Vnitam & discretam vocat sanctissimam Trinitatem, propter communem naturam & hypostaseωn distinctionem.

Nunc ad solutionem dictorum accedamus. Sensus patris eiusmodi est. In mysterio Trinitatis explicando vsus est exemplo cereorum vel lucernarum in aliquo templo vel domo accensarum, quæ hypostasibus quidem secernuntur, & à se mutuò separantur. Alia enim & alia lucerna est secundum indiuiduam rationem: luce autem coniunctam habent, & inseparabilem naturæ, & operationis communionem; neque vllus potest in circumfuso aëre discernere, ac dicere: quodnam lumen sit huius lucernæ; & quod illius. Hæc Doctor ille. Postea transit à sermone de Trinitatis mysterio ad Incarnationis rationem; & ad processionem in Deo (processionem verò cùm audis, ne localem existimes) sed illam, de qua hæc ipsemet Christus. *Ego à Patre exiui, & ad Patrem vado.* Dionysius. *Si quis ex domo aliquam lucernam efferat, simul exibit totum, quod ab illa manat, lumen, nihil de aliis luminibus secum extrahens; aut aliquid sui aliis relinquens.* Egressus, inquit, Filius à Patre, neque Patrem, neque Spiritum sanctum secum traxit; neque quidquam ex propriis is, qui egressus est, aliis reliquit; sed secundum solam hypostasin suã exiuit: Deinde explicans quæ dixerat; ita scribit: *Discretum est autem à diuinis operibus in nos benignè manantibus, quod secundum nos atq; ex nobis integrè ac verè substantiam sumpsit supersubstantiale Verbum.* Explicatio. Discretum est, hoc est, seiunctum est; à Trinitatis Theologico mysterio, per hoc, quod naturam nostram totam per Incarnationem assumpsit: (hæc enim est Incarnationis & assumptionis humanæ naturę ratio) quodque agit, & patitur quæcunque humanæ naturæ cum diuina coniũctæ sunt consentanea; & consona. Consentanea, inquam, & consona; hoc est, pura seu munda, & non digna reiici ab humana natura: cuiusmodi sunt partus, infantia,

αὔξησις, πεῖνα, δίψα, κόπος, λύπη, δάκρυα, μώλωπες, ἱδρῶτες, τρῆσις, φθορὰ, λύσις, θνῆσις, νέκρωσις, ἀφθεγξία, ἀκινησία. ἐπιφέρει γὰρ ἀκολούθως λέγων. τούτοις γὰρ ὁ πατὴρ, καὶ τὸ πνεῦμα κατ' οὐδένα κεκοινώνηκε λόγον.

Αἰσχυνέσθω Σευῆρος. αἰσχυνέσθω Διόσκορος, καὶ Τιμόθεος, καὶ Εὐτυχής. αἰσχυνέσθω Θεοδόσιος, καὶ Ἰάκωβος. αἰσχυνέσθω τὸ δεκακέρατον τοῦ ἀντιχρίστου, τὸ λέγον. ὅτι πάντα, τὰ ἐν τῷ χριστῷ λεγόμενα, ταῦτα καὶ τῇ πάσῃ τριάδι ἁρμόζουσιν. Ἰδοὺ γὰρ σαφῶς ὁ ἀποστολικὸς φωστὴρ τῆς οἰκουμένης φησίν. ὅτι τῆς ἐν σαρκὶ, ἢ διὰ σαρκὸς χριστῷ πεπραγμένοις, ἢ προσειλημμένοις, ὁ θεὸς, καὶ πατὴρ, ἢ τὸ πνεῦμα τὸ ἅγιον κατ' οὐδένα κεκοινώνηκαν τρόπον. εἰ μή πού τίς φαίη φησὶ, κατὰ τὴν ἀγαθοειδῆ, καὶ φιλάνθρωπον βούλησιν. μόνῃ φησὶ τῇ βουλῇ, καὶ εὐδοκίᾳ, καὶ συναινέσει κεκοινώνηκεν ὁ πατὴρ, καὶ τὸ ἅγιον πνεῦμα τῷ τῆς σαρκώσεως χριστοῦ λόγῳ, καὶ τρόπῳ. ἀκοινώνητοι, καὶ ἀλλότριοι κατὰ τὰς ἰδίας ὑποστάσεις μείναντες πάντων ὅσων ἐκ τῆς Παρθένου προσελάβετο ὁ θεὸς λόγος σαρκωθείς. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Συγγνώμην αἰτοῦμαι παρὰ τῶν φιλοπόνων. ἐκ μέρους γὰρ γινώσκομεν, ὡς ὁ Παῦλος βοᾷ, καὶ ἐκ μέρους νοοῦμεν, καὶ ἐκ μέρους λαμβάνομεν, καὶ ἐκ μέρους δογματίζομεν. ὅσον γὰρ ἐρευνᾶται τὸ θεῖον, τοσοῦτον ἐπὶ πλέον ἀγνοεῖται. οὔτε γὰρ αὐτοὶ οἱ ἅγιοι ἄγγελοι τελείως τὰ περὶ θεοῦ ἐπίστανται.

Προσθήσω δὲ ὥσπερ τινὰ στεφάνην ἐπινίκιον νυμφικὴν τῇ βίβλῳ, καὶ τάδε. Νόμος θεῖος παλαιός τε, καὶ νέος διακελεύεται, ἐπὶ στόματος δύο, καὶ τριῶν μαρτύρων, ἵστασθαι πᾶν ῥῆμα. Ἐν τοίνυν τῇ ἁγίᾳ συνόδῳ τῶν τριακοσίων δέκα, καὶ ὀκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, ἐρρέθη, μὴ ταυτὸν εἶναι, τὴν φύσιν, καὶ τὴν ὑπόστασιν, ὡς ἐν τοῖς ἔμπροσθεν παρεστήσαμεν. Ὁμοίως καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσῳ τὸ πρότερον, τῶν διακοσίων ἁγίων πατέρων, διὰ τοῦ πανσόφου Κυρίλλου, δημοσίως ὥρισεν, ἕτερον εἶναι καὶ τὴν φύσιν, παρὰ τὴν ὑπόστασιν, ἤτοι τὸ πρόσωπον. Ἀρκοῦσι τοίνυν τῇ ἁγίᾳ ἡμῶν καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ οἱ πεντα-

κόσιοι

incrementũ, fames, ſitis, labor, triſtitia, lacrymæ, ſputa, ſudores, ſanguis, transfixio, corruptio, diſſolutio, vitæ amiſsio; loquendi ſeque mouendi impotentia. Quibus adiungit Dionyſius. *Horum enim nulla ratione Pater & Spiritus ſanctus participes effecti ſunt.*

Erubeſcat Seuerus. Erubeſcat Dioſcorus, Timotheus & Eutyches. Erubeſcat Theodoſius & Iacobus. Erubeſcat *decicornis* illa Antichriſti cohors, quæ dicit; omnia, *quæ de Christo dicuntur, conuenire in totam Trinitatẽ.* Ecce Apoſtolicum illud vniuerſi orbis lumen Dionyſius diſertè profitetur, eorum quæ Chriſtus in carne & per carnem geſsit, vel aſſumpſit, Deum patrem & Spiritum ſanctum nullo pacto participem factum eſſe: *niſi fortè quis aſſerat,* inquit, *benignitate, clementia & communione voluntatis.* Solo, inquit, conſilio, beneplacito & approbatione Pater & Spiritus ſanctus communicarunt de ratione & modo Incarnationis Chriſti: Secundum proprias verò hypoſtaſes nihil omnino participarunt de illis, quæ verbum Incarnatum ex Virgine aſſumpſit, ipſi gloria in ſecula ſeculorum, Amen.

Veniam peto à ſtudioſis; ex parte enim cognoſcimus, vt Paulus clamat, & ex parte intelligimus, & ex parte rem aſſequimur; & ex parte dogmatizamus; quanto enim magis inueſtigatur Deus; tanto magis ignoratur; neque enim ipſi Angeli res diuinas perfectè intelligunt. *1. Cor. 13.*

Adiungam & iſta libro huic tanquam coronam triumphalem & victricem, ſponſæ impoſitam. Lex diuina vetus & noua præcipit, *vt in ore duorum vel trium teſtium ſtet omne verbum.* *Deut. 19.* Itaque in ſancta Synodo Nicæna trecentorum decem & octo *Matth. 18.* Patrum dictum eſt, naturam & hypoſtaſin non eſſe vnum & idem, quemadmodum antea demonſtrauimus. Similiter & Synodus Epheſina ducentis Patribus conſtans, per ſapientiſſimum Cyrillum publicè ſtatuit: naturam ab hypoſtaſi ſeu perſona diſtingui; ſufficiunt igitur ſanctæ, Catholicæ, & Apo-

κόσιοι δέκα καὶ ὀκτὼ Πατέρες εἰς συνηγορίαν, καὶ ὑπερμαχίαν κατὰ τῶν ἀκεφάλων. οὔτε γὰρ ἄνθρωπος, οὔτε πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν ἰσχύουσι ποτὲ ἃ ὥρισαν, καὶ ἐθέσπισαν οἱ τῶν τοιούτων ἁγίων Συνόδων Πατέρες λῦσαι, ἢ ἀνατρέψαι; λοιπὸν ἡνίκα ἡμῖν οἱ ἀκέφαλοι προβάλλονται, ἓν πολλάκις ῥῆμα, ἢ δύο λέγοντα τὴν φύσιν πρόσωπον, προβαλλώμεθα αὐτοῖς τὸν τῶν πεντακοσίων δέκα, καὶ ὀκτὼ ἁγίων Πατέρων χορόν. τῶν πλειόνων γὰρ ἰσχύει ἡ ψῆφος ἐπὶ παντὶ πράγματι, καθὼς οἱ κανόνες τῶν ἁγίων Ἀποστόλων Χριστοῦ διετάξαντο. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΤΕΛΟΣ.

ſtolicæ Eccleſiæ quingenti decem & octo Patres pro defenſione & ſubſidio aduerſus Acephalos; neque enim vllus homo, neque ipſæ cœlorum virtutes vniuerſæ poterunt aliquando ſoluere aut euertere ea, quæ tales ac tanti patres decreuerunt. De cetero, quando Acephali ſæpius nobis vnum vel alterum dictum obiectant; quod naturam nominet perſonam; obiiciamus nos quingentorum decem & octo Patrum chorum. Suffragium enim plurium omni in negotio valet: ſicut ſanctorum Apoſtolorum canones decreuerunt. Deo gloria & imperium in ſecula ſeculorum, Amen.

Laus Deo Virginique Matri.

Digitized by Google

THEODORI ABVCARAE, EPISCOPI CARIÆ, VARIA CONTRA HÆRETICOS, IVDÆOS ET SARRACENOS OPVSCVLA.

Nunc primùm

GRÆCE ET LATINE EX SERENISSIMI VTRIVSQVE BAVARIAE DVCIS MAXIMILIANI BIBLIOTHECA IN LVCEM PROLATA.

INTERPRETIBVS

FRANCISCO TVRRIANO, ET IACOBO GRETSERO, SOCIETATIS IESV.

AD

REVERENDVM ADMODVM ET NOBILEM DOMINVM ANTONIVM VELSERVM, SS. THEOLOGIÆ DOCTOREM, Cathedralis Ecclesiæ Frisingensis Canonicum, &c.

Digitized by Google

ADMODVM REVERENDO ET NOBILI DOMINO, ANTONIO VELSERO, SS. THEOLOGIÆ DOCTORI, CATHEDRALIS ECCLESIÆ Frisingensis Canonico, Præposito Spaltensi, optimo & eruditissimo viro IACOBVS GRETSERVS Societatis IESV S. D.

MITTO ad te, *admodum Reuerende & clarissime Domine Doctor*, Theodorum cognomento Abucaram, opus nec nouum, neque antiquum; sed, si nouato vocabulo vti licet, *νεοπάλαιον*, *Nouantiquum*. Antiquum est; quia iam olim doctissimus *Genebrardus* quindecim huius Auctoris dissertationes latinitate abs se donatas publici iuris fecit; quæ etiam in Tomum quartum Bibliothecæ sanctorum Patrum relatæ sunt. Nouum est, quia Græcè, quod mihi liqueat, iam primùm prodit. Nouum, quia noua partim *Turriani* nostri, partim mea Interpretatione vestitum, lucem aspicit. Nouum, quia duplo propemodum auctius, quàm antea dias sub luminis auras & oras sese effert; quod Bibliothecæ Bauaricæ in acceptis referēdum est; ex cuius duobus manu scriptis codicibus hactenus inedita, edenda: Græca, exscribenda; inque latinum sermonem conuertenda curauimus. Hoc laboris, quod-

cunque id eſt, libenter cepi, præcipuè propter ipſum Abucaram, quia doctus eſt, argutus, elegans, inuictuſq; monſtrorum domitor; dignus legi, hoc potiſſimùm æuo, ſimilium portentorum feraciſſimo. Deinde adiungendus fuit Anaſtaſio Sinaitę comes; ne ſolus latinum, ignotum ſibi, orbem, peragraret. Quis autem aptior comes, quàm Abucaras, contra eoſdem cum Anaſtaſio hoſtes Chriſtique oſores viriliter dimicans; & breuia quidem; ſed ſanguinem elicere nata ſpicula in impiorum cateruas ſpargens. Tertiò, dedi aliquid memoriæ Turriani; de Eccleſia Dei optimè meriti; & in Græcorum monumentis verſatiſſimi, cuius vel ſolum nomen non modò viui, ſed & ad meliorem vitam euocati, animo meo ſemper venerabile fuit: Indignum mihi *videbatur*, vt quæ tanto ſtudio conquiſierat, & in latinam linguam tranſtulerat, cum mortuo intermorerentur, & denuò tenebris occulerentur. Itaq;, vt aliâs alia; ita iam hæc opuſcula Abucaræ vulganda *cenſui*. Quis autem iſte Abucaras fuerit; quo ſeculo floruerit, non ego dicere; ſed à te, *vir clariſſime*, qui omnem antiquitatis memoriam pectore concluſam tenes, diſcere cupio. Turrianus aliquoties Damaſceni diſcipulum nominat, cui probabilitatem conciliat illud ex titulo diſſertationis decimæ octauæ: διὰ φωνῆς Ἰωάννου Δαμασκηνοῦ, ſignificat enim Abucaram, ea, quæ in illa diſputatione aduerſus Sarracenos diſſeruntur, ex ore dictantis Damaſceni excepiſſe: quo modo Leontius etiam Byzantinus literis ſe mandaſſe profitetur commentarium de ſectis ἀπὸ φωνῆς Θεοδόρου τοῦ θεοφιλεστάτου ἀββᾶ, *ex ore Theodori religioſiſſimi Abbatis*. Haud grauatè aſſentirer, niſi me conicctura aliò raperet. Arbitror enim Theodorum noſtrum Abucaram, alium non fuiſſe, quàm illum, qui cum Photianas

tianas partes contra Ignatium legitimum Sedis Constantinopolitanæ præsulem secutus fuisset; atq; adeò vnà cum Zacharia Metropolitano Chalcedonensi pro Phocio ad Ludouicum II. Imperatorem, Francorumque Regem, legationem obiisset; vt in vita Ignatij testatur Nicetas, postea Photij fraudibus in apertum prolatis, vela retrorsum vertit; & in octaua Synodo œcumenica admissi piaculi veniam impetrauit, prout secũda & quarta eiusdẽ Concilij Actio nos docet; pro quo etiã apud Hadrianum summum Pontificem intercessit B. Ignatius, vt pristino honori & muneri restitueretur; quod item fecerũt tres Imperatores Basilius, Constantinus, Leo, in litteris ad eundem Romanæ Ecclesiæ Antistitem: qui Theodorum insigni encomio decorarũt, cùm, *hominem Ecclesiæ valde vtilem*, appellare voluerũt. *Exst. hæ litt. in fin. octauæ Synodi, cit. Barõ.* Qua de caussa verò, nisi propter eximiam eruditionem, qua instructus cum Hæreticis, Iudæis & Mahometanis animosè congrediebatur? quorum ingens in Caria tum multitudo; vt & Laodiceæ; quò Theodorum translatum Nicetas scribit. Cũ ergo Nicetas, & octaua Synodus Theodorum illum nominent Cariæ Episcopum & Metropolitam; vt & Ignatius, & Imperatores in epistolis ad Hadrianum Pontificem; noster autem Theodorus Cariæ Præsul fuerit; neque temporis ratio obstet; in eam sententiam descendo, vt mihi persuadeam, alium harum dissertationum auctorem non fuisse; quã illum Theodorum Cariæ Antistitem; qui sub Basilio Macedone, temporibus octauæ Synodi, doctrina nominisq; celebritate claruit. Cùm autem à secunda Synodo Nicæna anno Domini DCC. LXXXVII. celebrata; vsque ad octauam Synodum, quæ habita est, Anno Redemptoris DCCC. LXIX. anni septuaginta duo interfluxerint;

rint; Ioãnes verò Damascenus, vt plerisq; Chronologię non imperitis placet, ante septimam Synodum supremum diem obierit; alterutrum necessariò asserendum esset; aut Abucaram fermè adhuc puerum Damasceno operam dedisse; aut octogesimum ætatis annum longè transcendisse; quãdo Constantinopoli œcumenica Synodus, ordine octaua, coacta fuit; nisi quis Damasceni vitam, vltra septimam Synodum proferre velit.

Verùm hæc omnia tui iudicij & arbitrij facio, *eruditißime Domine*, qui nodo huic facilè vindicem reperies; cui Abucaram, quisquis tandem fuerit, & quocunq; sęculo vitam agitarit, sacrum dicatumq; volo, testem & indicẽ mei in te amoris, & singularis obseruantię. Occurrebat quidem ille apud Plutarchũ ver*siculus:*

Οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,
Μή μ᾽ ἄφρονα κρίνῃς, ἢ διδοὺς αἰτεῖν δοκῶ.
Pauper ego cùm sim, nolo diuiti dare.
Ne videar amens: vel aliquid dans poscere.

Sed vicit desiderium mei erga te affectus publicè testãdi. Nam simul atque cum MARCO, fratre tuo, litteraria necessitudo ante complusculos annos mihi contracta est; tecũ etiam contracta est; & quidem nexu firmo, nec vt voueo, dissoluendo. Et quamuis in te admirer ac suspiciam ea omnia ornamenta & decora, quibus virum Ecclesiasticum insignitum nobilitatumq́; esse oportet; nescio tamen quo occulto illice mirificè me in tui cultũ trahat incredibilis illa tua doctrinæ varietas, Theologiæ, inquam, Philosophiæ; & elegantioris litteraturæ scientia; linguarumque non modò Italicæ, Gallicæ, Hispanicæ; sed & Græcæ; & Latinæ; nõ illius, quæ & compita & pulpita iam obsidet; sed eius, qua prisci illi Quirites vsi, peritia; Vnde fit, vt æs nunquã melius vtiliusq́; exposi-

expoſitũ inſumptumq; opineris; quàm ſi in libros impendatur. Hinc Bibliotheca illa tua omni voluminum genere inſtructiſſima & abundantiſſima. Quis vel apud vltimos Iberos bonæ probæque notæ Auctor in publicũ venit, qui per tot maris terrarumq; ſpatia *Friſingam* pariter ad Muſeum tuum non veniat?

Laudat Agathias Hiſtoricus Trallianam quandam mulierem, eamque fortunatam prædicat, quòd quinq; filios, eoſq; poſtea omnes doctiſſimos & celeberrimos progeneraſſet. Arthmeſium Mathematicum; Metrodorum Grammaticum: Olympium Iureconſultum: Dioſcorum & Alexandrũ Medicos. Hæc profectò laus in tuam domũ ſtirpemque concinnius, quàm in illam Trallienſem, quadrat; in qua inſignem πεντάδα ſelectiſſimorum fratrum cernere licet; litteris ita florentem, vt has ſolas tractare videatur; rurſumque in negotiis quæ ad Dicen & Themidem ſpectant, vſque adeò excellentẽ, vt reliquis omnibus poſthabitis, hoc vnũ duntaxat curæ cordique habere exiſtimari queat. Nec pluribus te detineo; tantum rogo, vt quia Anaſtaſius, MARCO, fratri tuo, viro ampliſſimo, inſcriptus eſt; tu itidem nomen tuum, Abucaræ quaſi poſtibus præfixum prænotatumque, æquo animo intuearis; huncque nouum ciuem in libraria & litteraria tua ciuitate; loco aliquo & ſtatione digneris; quamuis ſatius fortè fuerit, non rogare; quia vt Ennodius Ticinenſis ſcitè alicubi ait, *argumentum eſt nil merentis, diu rogare*. Vale.

Ingolſtadij X. Kalend. Martij.

M. DCVI.

THEO-

1 # ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΤΟ ΕΠΙΚΛΗΝ ΑΒΟΥΚΑΡΑ ΤΟΥ ΚΑΡΩΝ ΕΠΙΣΚΟΠΟΥ ΓΕΓΟΝΟΤΟΣ, ὅτι πέντε ἐχθροὺς ἔχομεν, ἐξ ὧν ἡμᾶς ὁ σωτὴρ ἐλυτρώσατο.

κατὰ πεῦσιν, καὶ ἀπόκρισιν.

A. Πέντε θανατηφόρους ἐχθροὺς ἔχομεν, ἐξ ὧν ἡμᾶς ἐνανθρωπήσας ὁ χριστὸς ἐλυτρώσατο. B. τίνες οὗτοι, καὶ τίς ὁ τρόπος τῆς ἐξ ἑκάστου λυτρώσεως, ἡδέως ἂν γνοίην, καί σου δυσωπητικῶς πυνθανομένου, καὶ φράσαι παρακαλῶ; A. ἐγώ σοι φιλοπευστοῦντι τὸ ζητούμενον, ὡς ἂν οἷός τε ὦ, τῷ λόγῳ διασαφήσω. ἐκεῖνο δέ μοι * ἐπερωτῶν σε, * λέξον. B. ποῖον; A. φῂς τὸν ἐπὶ πᾶσι θεὸν μάτην τι, καὶ εἰκῇ πράττειν, ἢ ἀποφαίνεσθαι; B. πῶς τοῦτο ἐπὶ θεοῦ λέγειν εὐαγὲς, ὅπου γε, οὐδὲ ἐπὶ τὸν σώφρονα λογισμὸν ἐχόντων, καὶ ἀπείρων ἀνθρώπων; A. ἡνίκα οὖν κατὰ τοῦ ἀνθρώπου τοῦ παραβεβηκότος αὐτοῦ τὴν ἐντολὴν ἀπεφήνατο, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, κατὰ τὴν προτέραν αὐτοῦ πρὸς αὐτὸν διαμαρτυρίαν. ᾗ δ' ἂν ἡμέρᾳ φαγῇ ἀπ' αὐτοῦ τοῦ ἀπηγορευμένου, δῆλον, ὅτι * ξύλου, θανάτῳ ἀποθανῇ. πῶς ἂν τὴν ἰδίαν ἠκύρωσεν ἀπόφασιν, μηδενὸς ἑτέρου γεγονότος λόγου δικαίως αὐτὴν λύοντος; εἰ γὰρ κριτὴν ἑώρακας κρίσιν τινὰ κρίνοντα σήμερον. εἶτα αὔριον αὐτὴν καταργοῦντα· οὐκ ἂν αὐτὸν ὑπείληφας μαίνεσθαι; πῶς οὖν ὁ θεὸς τὴν πρώτην αὐτοῦ κρίσιν ἀνέτρεπεν, καὶ ἀπόφασιν; B. εἰπέ, πῶς. συνιδεῖν γὰρ οὐκ ἔχω. A. τίς ἡ αἰτία τῆς τοῦ θανάτου κατακρίσεως; B. ἡ παρακοὴ δηλονότι. A. ὥσπερ διὰ τῆς

* ἐπερωτῶντι.
* C. B. λέξω. malè.
* Videtur legend. ξύλου, δῆλον, ὅτι.

τῆς

THEODORI COGNOMENTO ABVCARA EPISCOPI CARVM. DE QVINQVE INIMICIS, A QVIBVS NOS CHRISTVS HOMO FACTVS LIBERAVIT.

I. *In aliis attribuitur Chrysostomo, sed falso.*

Per interrogationem, & responsionem.

Francisco Turriano, Societatis IESV, interprete.

A. Christianus. B. Infidelis.

A. Quinque nobis inimici sunt capitales, à quibus nos Christus homo factus liberauit. B. Qui isti sunt inimici? & quomodo ab vno quoque eorum liberati sumus, libenter intelligerem; idque te reuerenter interrogo, & vt explices, rogo. A. Ego tibi cupidè interroganti, & scire auenti, quantum consequi potero, quod quæris, sermone explanabo. Sed illud primum mihi responde. B. Quid? A. Dicis ne tu Deum, qui omnia moderatur, & regit, quicquam temerè, & frustra facere, aut dicere? B. Quomodo hoc de Deo fas est dicere? quandoquidem nec in hominem sana mente præditum, & cordatum cadere hoc decet. A. Cùm igitur Deus contra hominem, qui mandatum eius transierat, *Terra es, & in terram ibis*, pronunciauit, sicut postulabat, quod prius eidem testatus fuerat, *quocunque*, inquiens, *die ex ligno interdicto comederis, morte morieris*, Quomodo sententiam suam irritam fecit, si nullum verbum aliud factum est, quo iustè sit sententia illa abrogata? Si enim tu iudicem vidisses, hodie iudicium aliquod pronunciare, & cras illud ipsum irritum facere, annon existimares insanire? quomodo igitur illius primum iudicium, & sententiam abrogauit? B. Dic tu quomodo. ego enim intelligentia comprehendere non possum. A. Quæ fuit caussa iudicij de morte pronuncia-

Gen. 3. *Gen. 2.*

τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου Ἀδὰμ, ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ οὕτως εἰς πάντας ἀνθρώπους διέβη, οὕτως καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς ἀνθρώπου δευτέρου Ἀδὰμ Χριστοῦ, ὁ θάνατος εὐλόγως καταργηθήσεται, καὶ ἡ ζωὴ ἀντεισαχθήσεται. Β. πρὸ οὖν τοῦ Χριστοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Μωσῆς, καὶ Ἐνὼχ, οὐχ ὑπήκουσαν τοῦ θεοῦ, καὶ εὐηρέστησαν αὐτῷ; Α. εἰ καὶ εὐηρεστηκέναι τῷ θεῷ λέγονται. ἀλλὰ πρὸς σύγκρισιν τῶν λοιπῶν ἀνθρώπων. ἄκρως δὲ, καὶ τὸ παράπαν ἁμαρτίας ἄγευστος οὐδεὶς εἰ μὴ ὁ Χριστός. πᾶσα δὲ ἁμαρτία, καὶ ἡ τυχοῦσα, θάνατον ἐπιφέρεται. ὅσον οὖν κατὰ τὸν τοῦ δικαίου λόγον, ἀφ' οὗ ὑπήκουσεν ὁ Χριστὸς ἄκραν ὑπακοὴν, καὶ τὰς τοῦ διαβόλου προσβολὰς ἀπεκρούσατο πάσας κατὰ τὴν ἐν τῇ ἐρήμῳ πάλην, τὸν θάνατον ἔλυσεν, καὶ τὴν ζωὴν διὰ τῆς ἰδίας ὑπακοῆς ἀντεισήγαγεν. Β. τίς οὖν ἔτι ἦν χρεία τοῦ διὰ σταυροῦ θανάτου λελυμένης τῆς τοῦ θανάτου κατακρίσεως; Α. ἀλλ' ἔμενεν αὖ τοῦ διαβόλου τὸ ἔγκλημα καθ' ἡμῶν. ἢ, οὐκ οἶδα, ὅτι γεγόναμεν αὐτοῦ ὑποχείριοι, τοῦ μὲν θεοῦ παρακούσαντες, αὐτῷ δὲ ὑπακούσαντες; τί οὖν φέρε εἰπεῖν ἔμελλεν αὐτῷ, εἰ ὁ μὲν θάνατος ἀνετράπη, ἡ δὲ αὐτοῦ τυραννὶς, καὶ ἐξουσία διέμενεν; ἀλλὰ, καὶ μᾶλλον ἐγεγήθη ὡς ἀθανάτων βασιλεύων. Β. ἀξιῶ μαθεῖν ποίῳ τρόπῳ γεγόναμεν δοῦλοι τοῦ διαβόλου. Α. ὁ θεὸς ἀπ' ἀρχῆς πλάσας τὸν ἄνθρωπον, ἰσχυρὸν, καὶ ἀήττητον αὐτὸν ἀπέφηνεν. ὁ γοῦν διάβολος, μὴ δυνάμενος αὐτοῦ περιγενέσθαι δυνάμει, σοφὸς δὲ ὢν τοῦ κακοποιῆσαι, ἐμηχανήσατο, καὶ ἐσοφίσατο αὐτὸν, ἕως αὖ ἀπεγύμνωσεν τῆς ἐνισχυούσης χάριτος διὰ τῆς ἑκουσίου παρακοῆς δι' ἡδονῆς δελεάσας αὐτόν. καὶ οὕτως ἀσθενήσαντος αὐτοῦ ἐπεκράτησεν, καὶ εὐκόλως εἰς πᾶσαν ἡδονὴν, καὶ ἁμαρτίαν, καὶ παρακοὴν αὐτὸν, καὶ τοῦτο ἐξ αὐτοῦ ἐνῆγεν. καὶ λοιπὸν ὁ θεὸς, ὡς τὴν αὐτοῦ ἐντολὴν ἐκφαυλίσαντα, τῷ ἐχθρῷ δὲ προσδραμόντα, καὶ πειθαρχήσαντα, παρεχώρησεν αὐτὸν δικαίως τυραννεῖσθαι ὑπ' ἐκείνου. ᾧ γάρ τις ὑπακούει, τούτῳ καὶ δοῦλον ἑαυτὸν ἀποδείκνυσιν, ὡς φησὶν ὁ ἀπόστολος. δοῦλοι γάρ ἐστε, ᾧ ὑπακούετε. πέπρακεν οὖν ἑαυτὸν ἐλεύθερος ὢν ὁ ἄνθρωπος τῇ ἡδονῇ, καὶ τῷ ἐχθρῷ.

ti? B. Non obedire. A. Sicut igitur quia non obediuit vnus homo Adam, mors ingressa est in mundum, & ita in omnes homines peruasit, sic per obedientiam vnius hominis secundi Adam Christi, iustè mors destruetur; & vita introducetur. B. Ante Christum igitur Abraam, & Isaac, & Iacob, & Moyses, & Enoch, & Noë, nonne obedierunt Deo, & ei placuerunt? A. Etsi placuisse Deo dicuntur, sic tamen, si cum reliquis hominibus conferantur. perfectè verò, & omnino nemo non peccatum gustauit, præter quam Christum. omne autem peccatum, quodcunque sit, mortem inducit. Quod igitur ad rationem iustitiæ attinet, ex quo obediuit Christus summa illa obedientia, & tentationes diaboli cunctas illa in eremo luctatione repulit, mortem dissoluit; & vitam per propriam obedientiam induxit. B. Quid igitur opus fuit morte in cruce, post deletam damnationem mortis? A. At remanebat diaboli in nos criminatio. an ignoras factos nos fuisse illius seruos, cùm Deo non paruimus, & diabolo paruimus? Quid igitur, cedò, curaret ipse, quod mors euersa esset, si ipsius tyrannis, & potestas remanebat? immò magis fortasis lætitia exultasset, tanquam rex esset immortalium. B. Rogo, vt doceas, quomodo facti fuimus serui diaboli. A. Deus à principio cum hominem finxit, & fortem & inuictum fecit, quare diabolus cùm non posset suis illum viribus superare, essetque sapiens ad nocendum, fallaciam illi machinatus est, quousque per obedientiam voluntariam voluptate delinitum, nudauit eum gratia, quæ fortem illum reddebat, atque ita debilitatis viribus facilè eũ superauit, & in omnem voluptatem, & peccatum, & obedientiæ repulsam vnà cum posteris suis, induxit. deinde Deus eum, qui mandatum suum improbauerat, & reiecerat, & ad inimicum accurrerat, eique obedierat, iuste permisit tyrannide eius opprimi, *cui enim quis obedit, huius se seruum facit*, inquit Apostolus, *serui enim estis eius, cui obeditis*. vendidit ergo se homo, qui liber erat, voluptati, & inimico.

Rom.5. Rom.6. 2.Pet.2.

B. καὶ πῶς μετὰ τὴν ἁμαρτίαν μετανοήσας ὁ ἄνθρωπος οὐκ ἠδυνήθη ἑαυτὸν ἀνακαλέσασθαι καὶ τὸν ζυγὸν τοῦ διαβόλου ἀποσείσασθαι; A. ὅτι τὸ μὲν πιπράσαι ἑαυτὸν ἐν ἡμῖν ἐστιν. τὸ δὲ μετὰ τὴν πρᾶσιν, καὶ τὴν δουλείαν ἑαυτὸν ἐλευθερῶσαι, οὐκ ἔστιν ἐν ἡμῖν. καὶ οὐχ οὕτως λέγομεν κύριον ἡμῶν γεγονέναι τὸν διάβολον, ὡς βίᾳ κρατοῦντα παντελῶς ἡμῶν, ἀλλ' ὅτι ἀσθενήσαντες διὰ τῆς ἁμαρτίας, λοιπὸν, ὡς νοσεροὶ, καὶ εὐχείρωτοι τῷ διαβόλῳ γεγόναμεν ῥᾳδίως, καὶ εὐχερῶς εἰς τὰς ἁμαρτίας αὐτοῦ, καὶ ἡδονὰς ἐναγόμενοι. ὥσπερ γὰρ εἴ τις ἐχθρὸς προπώσηται ποτίσαι δηλητήριον νοσοποιὸν τὸν ἑαυτοῦ δυσμενῆ, ἵν' ὡς ἀσθενοῦς αὐτοῦ γεγονότος λοιπὸν ῥᾳδίως περιγένηται, οὕτως ἐδελέασεν ὁ διάβολος τὸν ἄνθρωπον διὰ τῆς ἀπηγορευμένης βρώσεως, καὶ ἀσθενοῦς γεγονότος ἀπεδράξατο. εἶχεν οὖν ἡμᾶς ὑποχειρίους. καὶ εἰ μὴ ὅτι ἐδελέασεν τὸν ἀντίπαλον ἡμῶν ὁ Χριστὸς, ἕως αὐτὸν ἀνεῖλεν ἀδίκως, καὶ διὰ τῆς ἀδίκου ἀναιρέσεως αὐτόν τε τὸν διάβολον, καὶ πάντας τοὺς ὑποχειρίους αὐτοῦ δούλους ἔλαβεν. καὶ οὕτως ἡμᾶς ἐρρύσατο ἡ αὐτοῦ τοῦ Χριστοῦ δικαιοπραγία ἐκ τῆς τοῦ διαβόλου δουλείας· καὶ φέρε εἰπεῖν, καὶ τὸν θάνατον ἀφ' ἡμῶν ἀπεσείσατο. κατεῖχεν γὰρ ἡμᾶς, ὡς ὑπακούσαντας ὁ σατανᾶς. B. θέλω δι' ὑποδείγματος τοῦτο μαθεῖν τηλαυγέστερον. A. ἔστω βασιλεὺς ἐν χώρᾳ τινὶ ἔχων δούλους, περικυκλούτω δὲ τὴν χώραν ταύτην ποταμός. ἐπέκεινα δὲ τοῦ ποταμοῦ ὑποκείσθω πεφυτευμένος κῆπος καρποὺς ὡραίους, καὶ εὐηδόνους κεκτημένος. ἀπαγορευέτω δὲ ὁ βασιλεὺς πᾶσιν τοῖς δούλοις αὐτοῦ τὴν ἐπὶ τὸν κῆπον ἐκεῖνον τοῦ ποταμοῦ παραδιάβασιν, τὶς δὲ τῶν δούλων ἐκείνων θελχθεὶς τῇ θεωρίᾳ, καὶ ἐπιθυμίᾳ τῶν καρπῶν ἐκείνων, καὶ τῇ ἰδίᾳ χαυνωθεὶς ὀρέξει, καὶ ἡττηθεὶς ἀλογίστως τὴν δεσποτικὴν ἐντολὴν, καὶ τὸν ποταμὸν διαβάτω ἐπὶ τὸ ἐμφορεῖσθαι τῆς ἐπιθυμίας· καὶ μὴ μόνον τοῦτο ποιείτω. ἀλλὰ καὶ τοὺς λοιποὺς συνδούλους ἐξαπατάτω δελεάζων διὰ τῆς τῶν ὑποδεικνυμένων καρπῶν ἡδονῆς τοῦ μὲν κοινοῦ δεσπότου παρακοῦσαι, καὶ τὸν ποταμὸν διαπεράσαι, καὶ ὑπὸ χεῖρα αὐτοῦ γίνεσθαι· εἶτα τούτους τοὺς συνδούλους ὁ ἀρχέκακος ἐκεῖνος τυραννείτω, καὶ καταπονείτω. βοάτωσαν δὲ πρὸς οἰκεῖον δεσπότην οἱ τυραννούμενοι, καὶ ἐπικαλείτωσαν τὴν ἐκείνου ἐκ τῶν συνεχουσῶν κακώσεων λύτρωσιν.

B. Et quomodo post peccatum non potuit homo per pœnitentiam reuocare seipsum, & iugum diaboli excutere? A. Quoniam vendere nos ipsos, penes nos est; post venditionem verò, & seruitutem, vt nos ipsi liberemus, non est in nostra potestate. & non dicimus sic factum, esse diabolum nostrum Dominum, vt nos penitus per vim teneat; sed quod per peccatum debilitati, deinceps tanquam valetudinarij faciles facti sumus diabolo ad capiendum nos, nullo negotio, & facile in peccata eius & voluptates adducti, & illecti. Sicut enim si quis inimicus maleuolo suo potionem veneni adhibeat, vt potione debilitatum facile vincat, sic cibo illo vetito hominem decepit; & factum imbecillum arripuit. tenebat itaque nos seruituti subiectos, nisi quod Christus aduersarium nostrum decepit, quousque ipse aduersarius Christum iniquè occidit; & per iniquum interitum illum ipsum diabolum, & omnes eius seruos cepit: & sic nos à diaboli seruitute liberauit ipsa iustitia Christi; & mortem, vt ita dicã, à nobis excussit. tenebat enim nos satanas tanquam, qui ei obedissemus. B. Cupio intelligere hoc dilucidius per exemplũ. A. Sit rex, qui in regione quapiam habeat seruos. Circumfluat regionem istam amnis. vltra amnem verò sit hortus consitus, qui pulchros, & iucundos fructus ferat; interdicat rex seruis suis omnibus amnis ad illum hortum traiectionem. aliquis verò ex illis seruis delinitus, & illectus aspectu, & cupiditate illorum fructuum, & sua appetitione mollitus, ac victus, nulla ratione mandati domini habita, amnem traiiciat, vt cupiditatem suam expleat: ac non solùm hoc faciat, sed etiam reliquos conseruos fallat, voluptate fructuum, quos ostendit, eos decipiens, vt communis domini obedientiam abiiciant, & fluuium transmittant, & serui eius efficiantur. Deinde ille princeps malorum, exerceat in eos tyrannidem, & opprimat. illi verò tyrannide oppressi inclament dominum suum; & implorent illius opem, & è tantis malis liberationẽ. Postea horum misericordia

 commo-

οὐκ ἠβούλετο δὲ ἀπαιτῆσαι αὐτὸν ὁ τοῦ χρέους κύριος τὴν τοῦ χρυσίου πο-
σότητα. ἔγραψεν δὲ τὴν ἄλλως κατ' αὐτοῦ χειρόγραφον, καὶ λαβὼν ἐν
φυλακῇ ἔθετο, καὶ ἐλύπησεν, καὶ ἐστένωσεν παντοίως, μὴ βουλόμενος,
ὡς προέφην, παρ' αὐτοῦ τὸ ποσὸν λαβεῖν, ἀλλ' ὕστερον ἀπαιτῶν αὐτὸν
ἀπολῦσαι, οὐχὶ μάταιον τὸν τοιοῦτον ὑπολαμβάνομεν; Β. πῶς γὰρ οὔ;
Α. εἰ οὖν ὁ θεὸς οὐκ ἠβούλετο παρ' ἡμῶν ἀπαιτῆσαι τὰ τοῦ νόμου δικαιώ-
ματα, τίνος χάριν τοῦτον καθ' ἡμῶν ἔγραψεν; ἀλλ' οὐχ οὕτως τοῦτο,
μὴ γένοιτο. οὐ γὰρ περίεργος, καὶ οἷα παίζων ὁ θεὸς, ἀλλὰ τῇ αὐτοῦ δικαιο-
κρισίᾳ πάντα παρ' ἡμῶν τὰ ἐν τῷ νόμῳ γεγραμμένα ἀπῄτει. καὶ ἐπει-
δὴ οὐκ ἰσχύομεν ἀποτῖσαι, τούτου χάριν ὑπὲρ ἡμῶν ὁ δεσπότης ἡμῶν
χριστὸς ἀπέδωκεν, καὶ τὴν κατάραν, καὶ καταδίκην τὴν καθ' ἡμῶν
χρεωστουμένην ἀνέλαβεν, καὶ ἑκουσίως ἀνεδέξατο. καὶ ἅπερ ἡμᾶς ἐχρῆν
παθεῖν, αὐτὸς πέπονθεν. καὶ ἐμαστίχθη, καὶ ἐνεπτύσθη, καὶ ἐρραπίσθη, καὶ
ἐκολαφίσθη, καὶ ἐσταυρώθη, καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν. καί περ, ὡς ἔφα-
μεν καὶ πρῴην, διὰ τῆς ὑπακοῆς λῦσαι τὸν θάνατον δυνάμενος,
ἀλλ' ἐκ περιουσίας, ἵνα καὶ ἐκ τοῦ διαβόλου ἡμᾶς ἐξέληται, καὶ ἐκ τῆς
κατάρας τοῦ νόμου, καὶ τοῦ θεοῦ δικαιοκρισίας, ἀπέθανεν ὑπὲρ ἡμῶν,
ἵνα ἐξῇ τῷ θεῷ ἐλεῆσαι ἡμᾶς, καὶ μήτε τὴν ἰδίαν δικαιοσύνην ἀκυρῶ-
σαι, καὶ καταργῆσαι. ἀλλὰ ταύτην περιγράψαι ἀπολαβοῦσαν τὰ ἴδια
δικαιώματα. μήτε τὸ ἔλεος αὐτοῦ ἄπρακτον παρεᾶσαι.

Β. Καὶ περὶ τούτου ἀρκούντως λέλεκται, φράσον δὴ πῶς ἡμᾶς ἐκ
τῆς ἁμαρτίας ἐρρύσατο. Α. τί ἐστιν ἁμαρτία; οὐχὶ ἀποτυχία τις, καὶ ἀστο-
χία τοῦ σκοποῦ; ὥσπερ γὰρ εἴ τις ὑγιὴς ὢν ἐν τῷ βαδίζειν, ὅπου θέλει, τὸν
πόδα τίθησιν, ἡνίκα δὲ ἐξ ἀσθενείας τινὸς ἀρρωστήσας τρομικὸς γένηται.
μὴ δυνηθείη τὸν πόδα θῆναι, ὅπου βούλεται. ἀλλὰ σκοπήσας εἰς τόπον τι-
νὰ πῆξαι τὸ ἴχνος, ὑπὸ τῆς ἐνοικούσης ἀρρωστίας ὠθούμενος, ἀλλοῦ
τὸ βῆμα περιστρέψαιεν. οὕτω καὶ τῆς ἁμαρτίας ἐνοικησάσης τῇ ἡμετέ-
ρᾳ ψυχῇ, ἀσθενῆ αὐτὴν, καὶ ἄρρωστον πεποίηκεν ἀστοχοῦσαν, καὶ ἁμαρ-
τάνουσαν τῶν οἰκείων σκοπῶν, καὶ προθέσεων. ὁ δὲ χριστὸς βαπτίζει ἡμᾶς
ἐν ὕδατι, καὶ πνεύματι, καὶ ἡ χάρις τοῦ ἁγίου πνεύματος ῥώννυσιν
ἡμᾶς, πᾶσαν τὴν ἁμαρτίαν, καὶ τὴν ἀρρωστίαν, καὶ νόσον ἀποξύει, καὶ
ἀνανεοῖ, καὶ ἀνακαινίζει, καὶ εἰς τὸ ἀρχαῖον σθένος, καὶ κάλλος, τὸ, πρὸ

τῆς

ſoluere poſſet, nollet autem exigere Dominus, cui debetur, ſummam auri, ſcripſiſſet autem aliâs contra illum debitorem chirographum, & in carcerem coniiceret, & malè omnibus modis afficeret, affligeret, & premeret, qui nollet, vt antè dixi, ſummam repetere, ſed potius poſtularet, vt dimitteretur liber & ſolutus, nonne ſtultum hunc eſſe exiſtimaremus? B. Quomodo non? A. Si igitur Deus nolebat exigere à nobis iuſtificationes legis, quare hanc contra nos ſcripſit? at non ſic eſt, abſit. non enim otioſè, & tanquam ludens, quin potius iuſto iudicio ſuo, omnia quæ in lege ſcripta erant, à nobis exigebat, & quia non poteramus ſoluere debitum, pro nobis Dominus noſter Chriſtus perſoluit, maledictum & condemnationem nobis debitam volens aſſumpſit, atque in ſe ſuſcepit: & quæ nos pati oportebat, ipſe paſſus eſt; verberatus, ſputis, pugnis, colaphis affectus, crucifixus, & pro nobis mortuus: quamuis, vt paulò antè diximus, per obedientiam mortem delere potuiſſet, ſed tamen ἐκ περισσείας, id eſt, vt abundaret, & ſuperflueret, quo nos ex diabolo eriperet, & ex maledicto legis, iuſtoq; Dei iudicio; pro nobis mortuus eſt, vt liceret Deo miſericordiam nobis tribuere; & non iuſtitiam propriam improbaret, & ſuperuacuam, atque irritam redderet; ſed potius hanc circumſcriberet, & terminaret receptis, & recuperatis propriis iuſtificationibus; neque miſericordia eius ἄπρακτος, id eſt, ſine opere iuſtitiæ tranſmitteretur.

B. Sed de his ſatis hactenus. explica modò, quo modo ex peccato nos liberauit. A. Quid eſt peccatum? nonne eſt aberratio ab ſcopo? vt enim ſiquis valet, cum ambulat, vbi vult, pedem ponit; cum verò ex quapiam imbecillitate laborat, effectus tremulus, non poteſt veſtigium figere, vbi vult, ſed potius animaduerſo loco, in quo veſtigium ponat, ab infirmitate ſua detruſus, alibi ponit. Sic cum in anima noſtra peccatũ habitare cœpit, infirmam, & imbecillem eam facit, & aberrantem à ſuo ſcopo ac propoſito, Chriſtus autem baptizat nos in aqua, & Spiritus ſancto, & gratia Spiritus ſancti roborat nos, & omne peccatum, atque infirmitatem detrahit; ac renouat, & robur priſtinum, & pulchritudinem, quę ante tranſgreſsio-

 nem

τῆς παραβάσεως ἀποκαθίστησιν. Β. πέμπτον ὑπολέλειπται τὸ τοῦ ᾅδου. Α. ἐπειδὴ ἀδύνατον μετὰ σαρκὸς ἐνδημῆσαι τοῖς ἐν ᾅδου, τῷ θανάτῳ διαιρεθείσης ἐκ τῆς σαρκὸς τῆς τοῦ κυρίου ψυχῆς, γυμνὴ τῶν ἐν σκότει ψυχαῖς ἐνδημήσασα, καὶ φῶς αὐτοῖς τὸ τῆς θεότητος ἀπαστράψασα, καὶ εἰς αὐτὸν πιστευσάσας εἰς τὸν παράδεισον μετατέθηκεν, καὶ τὸ τοῦ ᾅδου βασίλειον καταλέλυκεν. ὥσπερ γὰρ πύλη, καὶ εἴσοδος τῆς εἰς τὸν κόσμον ἐπιδημίας τοῦ θεοῦ λόγου ἡ παναγία παρθένος γέγονεν, οὕτως καὶ ὁ θάνατος πύλη καὶ εἴσοδος τῆς εἰς ᾅδην καταφοιτήσεως.

II. Διάκρισίς τε, καὶ διασάφησις τῶν περὶ ἃς οἱ φιλόσοφοι καταγίνονται φωνῶν, καὶ ἔλεγχος τῆς τῶν ἀκεφάλων σευηριανῶν, ἤτουν Ιακωβιτῶν ψυχοφθόρου αἱρέσεως, τοῦ αὐτοῦ ἀβουκαρᾶ.

Τοῖς τῶν ἀληθινῶν δογμάτων ἐρασταῖς τε, καὶ ὑπερασπισταῖς ἀναγκαῖα καθέστηκεν ἡ τῶν φωνῶν, περὶ ἃς οἱ φιλόσοφοι μάλιστα καταγίνονται, διάκρισίς τε, καὶ διασάφησις. τὴν γὰρ τούτων ἀκριβῆ γνῶσιν πολλοὶ τῶν δοκούντων εἶναι σοφῶν ἀγνοήσαντες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, καὶ εἰς ἀτοπίας, καὶ βλασφημίας ἐξώκειλαν, καὶ τῆς εἰς τὸ θεῖον ὀρθῆς πίστεως ἐξέπεσον ἠγνοηκότες μὲν, ἑκόντες δὲ τὰς τῆς διανοίας ὄψεις ἀποκλίναντες τοῦ τῆς σωτηρίας φωτὸς, καὶ πρὸς τὸ ὀλέθριον σκότος αὐτομολήσαντες, εἰς ἀπωλείας κατώλισθον βάραθρον. διὸ περὶ μὲν ἀσήμων φωνῶν ἐνάρθρων, ἢ ἀνάρθρων, ἢ περισημαντικῶν ἀνάρθρως, οὐδὲν εἰς ἀποδεικτικὴν συντελουσῶν μέθοδον λέγειν, τὰ νῦν ἐάσαντες, περὶ αὐτῶν, ὡς οἷοί τε τυγχάνομεν ὄντες, βραχέα διαληψόμεθα. σὺν τοὺς τῆς ἐκκλησίας τροφίμους κατὰ τῶν φρενοβλαβῶν τῆς ἐκκλησίας ἀντιπάλων ἀκεφάλων αἱρετικῶν καθοπλίζοντες. καὶ τὴν ἐκείνων ἄνοιάν τε, καὶ ἀδρανίαν ἐλέγχοντές τε, καὶ στηλιτεύοντες. *

* Sequebatur hic in Bauarico codice assumentum satis prolixum. Quod omisimus, quia Turrianus suo in exemplari non reperit, & clarum videtur, non ab auctore, sed ab alio quopiam prodiisse.

Τῶν φωνῶν, περὶ ἃς οἱ φιλόσοφοι καταγίνονται, αἱ μέν εἰσι φιλόσοφοι, οἷον οὐσία, ζῶον, ἄνθρωπος, Πέτρος. αἱ δὲ λογικαὶ, οἷον γενι-

κώτατον

nem Adæ erat, restituit. B. Quintus inimicus relinquitur, id est, infernus. A. Quia fieri non poterat, vt cum carne in inferis peregrinaretur; anima à carne Domini per mortem separata ad animas, quæ in tenebris erant, profecta & lumine diuinitatis illis illato, eas, quæ in eum crediderunt, in paradisum transtulit, & regiam inferni demolitus est. Sicut enim ianua & aditus peregrinationis verbi Dei in mundum facta est sanctissima virgo, sic mors facta est ianua, & introitus descensus Christi in infernum.

Eiusdem Theodori Abucaræ explanatio vocum, quibus Philosophi vtuntur, & confutatio hæresis Acephalorum Seuerianorum, id est, Iacobitarum. II.

Interprete Francisco Turriano Societatis IESV.

IIs, qui verorum dogmatum studiosi sunt, & defensores, necessaria est vocum, in quibus philosophi versantur, explanatio, & distinctio. Harum enim cognitionem perfectam quia multi ex iis, qui sapientes esse videbantur, ignorauerunt, à veritate aberrarunt, & in absurditates, ac blasphemias impegerunt; & à recta in Deum fide nescientes quidem exciderunt, sed quia oculos mentis à lumine salutis deflectere voluerunt, & ad pestiferas tenebras sponte declinare, in profundum interitus deciderunt. Quamobrem omissis nunc vocibus nihil significantibus tum articulatis, tum non articulatis; aut significantibus non articulatis, quæ ad conclusiones rationum nihil prodesse possunt, de illis, quas principio dixi, pauca pro viribus nostris tractabimus, quibus alumnos Ecclesiæ contra hæreticos, & Ecclesiæ aduersarios Acephalos dementes instruamus, & armemus.

Ex vocibus igitur quibus vtuntur philosophi, aliæ quidem sunt Philosophicæ, vt substantia animal, homo, Petrus.

κώτατον γένος, εἶδος, φύσις, οὐσία, ἄτομον, ὑπόστασις, πρόσωπον. διοριστέον καὶ τὴν τούτων ἀπ' ἀλλήλων διαφοράν. πᾶν κοινὸν ἐν μὲν ταῖς φιλοσόφοις φωναῖς μεταδίδωσι τοῖς ὑπ' αὐτὸ τοῦ τε ὀνόματος, καὶ τοῦ ὁρισμοῦ. οἷον, τὸ ζῶον μεταδίδωσι τοῖς ὑπ' αὐτὸ, ἀνθρώπῳ τε, καὶ ἵππῳ, καὶ βοΐ, καὶ λέοντι, τοῦ τε ὀνόματος, καὶ τοῦ ὁρισμοῦ. ὅτι γὰρ ἄνθρωπος, καὶ τῶν ἄλλων ἕκαστον, ζῶον ἂν λέγοιτο, καὶ οὐσία ἔμψυχος αἰσθητική, καὶ οἱ κατὰ μέρος ἄνθρωποι ὡσαύτως. ἐν ταῖς λογικαῖς φωναῖς τὸ κοινὸν οὐ μεταδίδωσι παντάπασιν, οὔτε τοῦ ὀνόματος, οὔτε τοῦ ὁρισμοῦ, οὔτε γὰρ ἂν τὸ λεγόμενον γένος, τὸ αὐτὸ καὶ εἶδος ὑπάλληλον καλοῖτό ποτε γενικώτατον γένος, οὔτε τὸν ὁρισμὸν τοῦ γενικωτάτου γένους παντελῶς ἐπιδέχοιτο, οὔτε τὸ εἰδικώτατον εἶδος ὀνομάζοιτο γένος, οὔτε τὸ ἄτομον εἶδος, οὔτε μίαν τι τὸ παράπαν ἐν ταῖς λογικαῖς φωναῖς τῶν ὑποκάτω δέχεσθαι δύναται, οὔτε τὴν προσηγορίαν, οὔτε τὸν ὅρον τῶν ἐπάνω. ἔτι πᾶν ὁριζόμενον ἐν φιλοσόφοις φωναῖς, αὐτίκα δείκνυσιν ἐν ἑαυτῷ τὸν αὐτὸν ὁρίσαντα ὁρισμὸν ἀληθεύοντα. ὁ γὰρ ἄνθρωπος ὁριζόμενος ζῶον λογικὸν, θνητὸν, νοῦ, καὶ ἐπιστήμης δεκτικόν. παρίστησιν εὐθέως ἐν ἑαυτῷ τοῦτον τὸν ὁρισμὸν ἀληθῆ τυγχάνοντα. ἐν δὲ ταῖς λογικαῖς οὐχ οὕτως. ἀλλὰ πᾶν ἐν ταύταις ὁριζόμενον ἐφ' ἑαυτοῦ μὲν ψεύδεται. ἐπὶ δὲ τοῦ φιλοσοφικοῦ ἀληθεύει. οἷον τὸ εἶδος ὄνομα ἤγουν ἡ δισύλλαβος αὕτη λέξις, ὁριζόμενόν τι, κατὰ πλειόνων, καὶ διαφορόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστιν κατηγορούμενον. ἐφ' ἑαυτοῦ μὲν ψεύδεται. ἐπὶ δὲ τοῦ φιλοσοφικοῦ, καθ' οὗ τάττεται, σαφῶς ἀληθεύει, καθὼς ἔφημεν. τὸ γὰρ εἶδος τοῦτ' ἔστιν, ἡ δισύλλαβος αὕτη λέξις, οὐκ ἂν ἐν τῷ τί ἐστι κατηγοροῖτο κατὰ πλειόνων, καὶ διαφερόντων τῷ ἀριθμῷ, ὡς ὁ ὁρισμὸς διαγορεύει. ἀλλ' ἐν τῷ ἀνθρώπῳ δειχθήσεται οὕτως ἀληθεύων. ὁ γὰρ ἄνθρωπος κατὰ Σωκράτους, καὶ Πλάτωνος, καὶ Ἀριστάρχου, καὶ Φαίδωνος, καὶ τῶν κατὰ μέρος ἀνθρώπων, οἵτινες ἄπειροί τε καθεστήκασιν, καὶ ἀριθμῷ διαφέρουσιν, κατηγορεῖται, καὶ τὸν ὅρον ὅλον ἐν ἑαυτῷ σώζει ἀληθεύοντα.

Πᾶν πρᾶγμα καθ' οὗ τάττεται τὸ εἰδικώτατον εἶδος, μετὰ τὸ λέγεσθαι εἶδος, φύσις τε ὀνομάζεται, καὶ οὐσία. διὸ καὶ πάντα ὅσα ἐπίσης αὐτοῦ μετέχουσι, ὁμοφυῆ τε λέγεται, καὶ ὁμοούσια. οἷον ὁ ἄνθρωπος. τάττεται γὰρ κατ' αὐτοῦ τὸ εἰδικώτατον εἶδος. ὅθεν σὺν τῷ λέγεσθαι

Aliæ verò Logicæ, vt genus generalissimum, species, natura, substantia, indiuiduum, hypostasis, persona. notanda verò est horum ab aliis inter se differentia. Omne commune in vocibus quidem philosophicis, communicat nomen, & definitionem, cum iis, quæ sunt infra ipsum commune, vt animal communicat homini, equo, boui & leoni, quæ sub ipso sunt, tum nomen, tum definitionem. homo enim, eademque est ratio aliorum, animal & substantia animata, & sentiens dicitur, & vnusquisque singularis homo similiter. in logicis verò quod commune est, omnino non communicat nomen, neque definitionem. nec enim quod dicitur genus, idemque species subalterna, dicitur vnquam genus generalissimum. neque definitionem generis generalissimi penitus recipiet, neque species specialissima genus appellabitur, nec indiuiduum species, neque aliquid prorsus in vocibus logicis eorum, quæ inferiora sunt nomen, vel definitionem superiorum potest suscipere. Præterea, omne quod in vocibus philosophicis definitur, statim ostendit in seipso definitionem, qua definitur, veram esse. homo enim, quem definiunt esse animal particeps rationis mortale, & mentis, ac scientiæ capax, statim in seipso demonstrat esse hanc veram definitionem hominis, in vocibus verò logicis non sic. Sed contra potius, omne quod in his definitur, in se quidem falsum est, in voce verò philosophica verum est, verbi gratia, hoc nomen species, id est, hæc dictio trium syllabarum, sic definita, quod de pluribus differentibus numero in eo, quod quid est, prædicatur, in se quidem falsum esse hoc demonstrat, in philosophica verò voce, de qua prædicatur, planè verum, vt diximus. Species enim, id est, hæc dictio trium syllabarum non prædicatur de pluribus differentibus in eo, quod quid est, quod definitio dicit, sed in homine ostenditur, verum esse. homo enim de Socrate, Platone, Aristarcho, Phædone, & de singulis hominibus, qui sunt infiniti, & numero differentes, prædicatur, & definitionem totam in se veram seruat.

Præterea, omnis res, de qua dicitur species specialissima, postquam dicitur species, natura etiam, & substantia nominatur. ex quo fit, vt quæcunque æqualiter eam speciem partici-

εἶδος, καὶ φύσις λέγεται, καὶ οὐσία πᾶσι τοῖς καθ' ὧν κατηγορεῖται.
κατηγορεῖται γὰρ Πέτρου, καὶ Παύλου, καὶ Ἰωάννου, καὶ τῶν καθ' ἕκαστα
ἀνθρώπων. οἳ καὶ ἐπίσης αὐτοῦ μετέχουσιν· ὅθεν * ἅπε κατ' αὐτοῦ ὄντες

* οἵπε.
* εἰσὶν.
* αὐτό.
* καθ' ὃ
sed ferri potest etiam altera lectio.
* τῶν.

* ἴσοι ὁμοφυεῖς τε, καὶ ὁμοούσιοι· πάντα ὅσα κατὰ πρᾶγμά ἐστιν ἴσα καθ'
ἃ ταττεται τὸ γένος, οὐ πάντως καὶ ὁμοφυῆ ὑπάρχει, οὐ δὲ ὁμοούσια.
τὰ δὲ ὄντα ἐκ τῶν καθ' ὧν κατηγορεῖται, ὁμοφυῆ καὶ ὁμοούσια, οὐ διὰ
τὸ εἶναι κατ' * αὐτῶν ἴσα ὁμοφυῆ ἐστι, καὶ ὁμοούσια. ἀλλὰ ἐπειδὴ κατὰ τὸ
ὑπ' αὐτῶν εἰδικώτατον εἶδος ἴσα, διὸ πᾶν πρᾶγμα, * καθ' ὧν ταττ-
εται τὸ γένος, οὐκ ἔστιν φύσις, οὐ δὲ οὐσία * τοῖς ὑπ' αὐτῷ, οἷον, κατὰ τὸ ζῶ-
ον εἰσὶν ἴσοι, ἄνθρωπος, ἵππος, βοῦς, λέων. εἴπερ ὄντες ὁμογενεῖς, οὐκ εἰ-
σὶν ὁμοφυεῖς, οὐ δὲ ὁμοούσιοι. ὅθεν τὸ ζῶον ἐστὶ μὲν γένος, οὐκ ἔστι δὲ

* Accipit Theodorus nomen naturæ & substãtiæ strictius pro gradu nimirum specifico infimo; quo pacto duo homines sunt eiusdem naturæ & cõsubstãtiales, non autem homo & canis.

* φύσις, οὐδὲ οὐσία. ἡ οὐσία ἡ μετὰ τῶν φιλοσόφων φωνῶν ταττομένη.
ἧς ὁ ὅρος πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, ἐστὶ
μὲν γένος πᾶσι τοῖς ὑπ' αὐτήν, ἐπειδήπερ ὅσα κατ' αὐτῆς ἐστιν ἴσα, ὁ-
μογενῆ πάντως ἐστὶ, καὶ λέγεται. οὐ μὴν αὐτή ἐστιν οὐσία, οὔτε φύσις. οὐ
πάντα γὰρ τὰ κατ' αὐτὴν ἴσα καὶ ὁμοούσιά ἐστι, καὶ ὁμοφυῆ, ὡς πᾶσιν
εὔδηλον. ἴσου γὰρ ἄνθρωπος, καὶ ἡ ῥυά, καὶ ὁ λίθος, κατ' αὐτὴν τὴν οὐσί-
αν, εἰσὶν ἴσα. δέχεται γὰρ ἕκαστον τούτων τότε ὄνομα, καὶ τὸν ὅρον τῆς οὐ-
σίας. οὐκ εἰσὶ δὲ ταῦτα ὁμοούσια, οὐδὲ ὁμοφυῆ. διὸ ἡ προειρημένη οὐ-
σία γένος μέν ἐστι τούτων, μᾶλλον δὲ γενικώτατον γένος. οὐκ ἔστι δὲ
φύσις αὐτῶν, οὐδὲ οὐσία.

Ὡμολόγηται τοίνυν διχῶς λέγεσθαι τὸ ὄνομα τῆς οὐσίας. λογι-
κῶς ἅμα, καὶ φιλοσοφικῶς. ἁπλῶς δὲ φασὶ πᾶν ὄνομα φιλοσο-
φικὸν ἅμα τὸ λέγεσθαι, παρέχει τῷ ἀκούοντι τῶν ὄντων τι νοεῖν ὁρισ-
μένως, ἀφαιρουμένης ἀπ' αὐτοῦ, δῆλον ὅτι τῆς ὁμωνυμίας, ὥστε
μηδὲν ἕτερον ἐξ αὐτοῦ νοεῖσθαι δύνασθαι παρὰ τὸ πρᾶγμα, τὸ
ὁριζόμενον· οἷον, εἴτις τὸ ἄνθρωπος ὄνομα φαίη, θᾶττον ὁ ἀκροώ-
μενος ὁριστὸν πρᾶγμα νοεῖ, τουτέστι ζῶον λογικὸν θνητὸν, νοῦ, καὶ
ἐπιστήμης δεκτικόν. οὐδὲν ἄλλο δυνάμενος, ἐκ τοῦ ἄνθρωπος ὀνό-
ματος καταλαβέσθαι, πλὴν τοῦ ὁρισθέντος πράγματος. ἅπαν
δὲ λογικὸν ὄνομα λεγόμενον, οὐ δίδωσι τῷ ἀκούοντι νοεῖν τι τῶν ὄν-
των ἀορίστως, ἅτε δὴ ἐπὶ πολλῶν, καὶ διαφόρων πραγμάτων τιθέμε-
νον.

pant,eiusdem naturæ, & eiusdem substantiæ esse dicantur, vt homo,prędicatur enim de illo species infima. Quocirca simul atq; species vocatur, vocatur & natura & substantia respectu omnium,de quibus prædicatur;prędicatur aũt de Petro,Paulo,Ioanne,& de singulis hominibus,qui speciẽ æqualiter participant. Vnde qui speciei subiiciuntur,eiusdẽ naturæ sunt ac substantiæ. quæ verò secundũ rem sunt æqualia,de quibus genus dicitur,non necesse est esse eiusdem naturæ,& substantiæ. quæ autem sunt eiusdem naturæ,& substantiæ,de quibus prædicatur genus,non quia sunt æqualia secundum genus, idcircò sunt eiusdẽ naturæ, & substantiæ,sed quia secũdum speciẽ, quæ infra genus ipsum est, sunt æqualia. Quocirca de quibus dicitur genus,non est genus eorum natura, & substantia, verbi gratia,secundum animal, quod est,genus, æquales sunt homo, equus, bos, leo, quæ quidem sunt eiusdẽ generis, sed non eiusdem naturæ,neq; substantiæ.vnde animal est quidem genus,non autem natura,neq; substantia. substantia illa quæ ad voces philosophicas pertinet, quam definiunt, rem per se existentem, non indigentem alio, vt existat, est quidem genus eorum omnium,quæ infra eam sunt, siquidem quæcunq; secundũ ipsam æqualia sunt,omnino eiusdem generis dicuntur,& sunt; non tamen est eorũ natura,& substantia, quia non omnia, quæ secundum ipsam æqualia sunt, eiusdem naturæ, & substantiæ sunt,vt omnibus est manifestum, homo enim,& malus punicá,& lapis secundum ipsam substantiam æqualia sunt; quia vtrunq; recipit nomen,& definitionem substantiæ; non sunt tamen eiusdẽ naturæ & substantiæ.Quare substantia proposita genus quidem horum est,immò genus generalissimum,non tamen est natura eorum,neque substantia.

Quare omnes cõcedunt,dupliciter dici nomẽ substantiæ, logicè,& philosophicè.& vt simpliciter dicam, omne nomen philosophicũ,statim vt dicitur,facit,vt qui audit,aliquid certi & definiti intelligat,remota scilicet ab eo homonymia,quę æquiuocatio dici solet; ita vt nihil aliud intelligi ex eo possit præter rem definitã,vt si quis dicat hoc nomen *homo*, cõtinuo qui audit,rem certã intelligit, animal scilicet rationis particeps,

νον. οἷον, τὸ εἶδος ὄνομα λογικὸν ὑπάρχον, πολλαχοῦ περιφερόμενον, καὶ ἐπιπίπτον ἐπὶ ἀνθρώπου, καὶ ἵππου, καὶ βοός, καὶ χρυσοῦ, καὶ κύκλου, καὶ γραμματικῆς, καὶ ἐπὶ πλείστων, καὶ διαφερόντων οὐ συγχωρεῖ τὸν ἀκροατὴν ὡρισμένον τι κατανοεῖν. ὡσαύτως εἰ μὲν λέγοι τις τὸ Παῦλος ὄνομα, τῆς ὁμωνυμίας ἐκκεκαθαρμένον παραχρῆμα νοεῖσθαι δίδωσιν, ὡς φέρε εἰπεῖν, τὸν μέγαν ἀπόστολον, τόν ποτε τῆς ἐκκλησίας διώκτην, καὶ τὰς ἄλλας ἰδιότητας, αἷς χαρακτηρίζεται περὶ οὗ ὁ σκοπός. αἵτινες οὐκ ἄν ποτε ἐπί τινος ἄλλου γένοιντο. εἰ δέ τις ἄτομον εἴποι ὄνομα περιθέον, καὶ περιφερόμενον, ἀορίστως παραδείκνυται ἐπὶ Παύλου, καὶ Πέτρου, καὶ τοῦδε τοῦ ἵππου, καὶ τοῦδε τοῦ λευκοῦ, καὶ τοῦδε τοῦ κύκλου, καὶ τῶν λοιπῶν ὁμοίως, τῶν μὴ τεμνομένων παντάπασιν, ἤγουν τῶν ἄλλων κατηγορουμένων· ἐντεῦθεν τοίνυν τὸ φύσις ὄνομα, καὶ τὸ οὐσία λογικῶς λαμβανόμενον. καὶ τὸ ὑπόστασις ἐκ τῶν περιφερομένων, καὶ ἐπὶ πολλῶν ἀορίστως τιθεμένων ἤτουν τῶν λογικῶν ἐναργῶς εἶναι φαίνεται. καθὼς καὶ τὸ εἶδος ὄνομα, καὶ τὸ ἄτομον, ὡς ἀπεδείξαμεν. τὸ γὰρ φύσις ὄνομα, καὶ ἐπὶ ἀνθρώπου, καὶ ἵππου, καὶ χρυσοῦ, καὶ τῶν λοιπῶν τάττεται, πολλαχοῦ περιφερόμενον παραπλησίως τὸ εἶδος ὀνόματι. τὸν αὐτὸν δὲ τρόπον, καὶ τὸ ὑπόστασις ὄνομα ἐπὶ Πέτρου, καὶ Παύλου, καὶ τοῦδε τοῦ ἵππου, καὶ τοῦδε τοῦ βοὸς τάττεται, ὡς καὶ τὸ ἄτομον.

Ἐντεῦθεν τοιγαροῦν ἡ ἄγνοια τοῦ παράφρονος αἱρετικοῦ Σευήρου διαρρήδην ἐλέγχεται. ἐκεῖνος γὰρ ἐπειδή φησιν, Παῦλος μὲν ἐστιν ὑπόστασις, ἄνθρωπος δὲ φύσις, ὥσπερ Παῦλος ἄνθρωπος εἶναι λέγεται, οὕτω λεγέσθω, καὶ ὑπόστασις φύσις. ἡμεῖς δὲ τὴν τοῦ ἀνοήτου κακόνοιαν ἀνατρέποντες ἀντεροῦμεν. κατὰ τοῦτον τὸν τρόπον, ὃν παρήνεγκας ὦ χαλίφρον, ἐπειδὴ Παῦλος μέν ἐστιν ἄτομον, ἄνθρωπος δὲ εἶδος, καθὼς τὸν Παῦλον ἄνθρωπον εἶναι φῄς, λέγε, καὶ τὸ ἄτομον εἶδος, καὶ τηνικαῦτα καθὼς τῷ Παύλῳ δίδως τὸν τοῦ ἀνθρώπου ὁρισμόν, καὶ τοὔνομα, δώσεις καὶ τῷ ἀτόμῳ, τὸν τοῦ εἴδους ὁρισμὸν ὁμοίως, καὶ τοὔνομα, καὶ οὕτω φήσεις τὸ ἄτομον εἶναι τὸ κατὰ πλειόνων, καὶ διαφερόντων τῷ ἀριθμῷ, ἐν τῷ τί ἐστι κατηγορούμενον,
* σοι. ὅπερ ἀκρότατον καθέστηκεν ἀφροσύνης,* οἱ παρὰ σοῦ ἄλλους αἱρετικοὺς

κοὺς

ceps,& mortale;neq; poteſt aliud quippiā ex ipſo nomine hominis comprehēdere præter rem definitā. omne verò nomen logicū habet hoc proprium, vt cū dicitur, non ſubiiciat menti audiẽtis aliquid rei certæ, & definitæ, quia in multis, & diuerſis rebus ponitur. vt nomen logicum ſpecies, quod multipliciter circumfertur, & in hominem, equum, bouem, aurū, circulum, grammaticā, plurimaq; alia cadit, nō finit, vt auditor aliquid definitum intelligat. Similiter, ſi quis dicat nomen Paulus homonymia nudatū, ſtatim intelligimus, verbi gratia, magnum Paulum Eccleſiæ quondam perſecutorem, cum aliis proprietatibus, quibus ſignatur, de quo propoſitū eſt loqui, quæ quidem proprietates nunquam in alio inſint. Si quis verò dicat nomen hoc indiuiduum, infinitè fertur in multis, vt in Paulo, Petro, hoc equo, hoc albo, hoc circulo, & in reliquis ſimiliter indiuiduis de quibus dicitur. Hinc igitur nomen naturæ, & ſubſtātiæ logicè ſumpta, & nomen hypoſtaſis ex vocibus, quæ in multis infinitè ponuntur, id eſt, ex vocibus logicis perſpicuè ſunt, ſicut nomen ſpecies, & indiuiduum, vt demōſtratum eſt. nomen enim naturæ in homine, & in equo, & in auro, & in reliquis ponitur, & multipliciter fertur, ſicut nomē ſpecies. eodem modo nomen hypoſtaſis in Petro, & Paulo, & in hoc equo, & in hoc boue ponitur, ſicut & indiuiduum.

Hinc apertè ignorantia inſani Seueri redarguitur, ille enim, quia, inquit, Paulus eſt hypoſtaſis, homo verò natura; ſicut Paulus dicitur homo, ſic etiam dicatur hypoſtaſis eſſe natura. nos verò vt prauam intelligentiam ſtulti euertamus, ſic occurremus. Si hoc, quod prauè intuliſti, valet, ô delire, quando Paulus quidem eſt indiuiduū, homo verò eſt ſpecies, ſicut ais Paulum eſſe hominem, dic indiuiduum eſſe ſpeciem, & tūc vt Paulo tribuis hominis definitionem, & nomen, tribues etiā indiuiduo definitionem & nomē ſimiliter ſpeciei, atq; ita dices, indiuiduum eſſe, quod de pluribus differẽtibus numero in eo, quod quid eſt, prædicatur, quæ eſt ſumma inſipientia tibi, præter alios hæreticos, congruens. Et ſicut Paulum ais eſſe ſubſtātiam, quæ eſt genus generaliſsimū, & tribuis Paulo ſubſtantiæ definitionem, id eſt, eſſe rem per ſe exiſtentem, non in-

κοὺς ἐξαιρέτως ἁρμόζουσι. εἶτα καθὼς τὸν Παῦλον εἶναι φῂς οὐσίαν, ἥτις ἐστὶ γενικώτατον γένος, καὶ δίδως τῷ Παύλῳ τὸν τῆς οὐσίας ὁρισμὸν, τοῦτ' ἔστι τὸ εἶναι πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, λέγεται καὶ τὸ ἄτομον εἶναι γενικώτατον γένος καὶ δὸς τῷ ἀτόμῳ τὸν τοῦ γενικωτάτου γένους ὅρον, καὶ τοὔνομα, τοῦτ' ἔστιν, ὅπερ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος, καὶ τὸ ἀεὶ γένος ὄν. τοῦτο δὲ τίνι φίλον ἂν εἴη, εἰ μὴ πάντη τῷ τῆς θείας ἀπηλλοτριωμένῳ χάριτος; ἐκ τούτων οὖν ἁπάντων ἀναγκαστικώτατα συνάγεται τῷ νοῦν ἔχοντι, μὴ εἶναι τὴν ὑπόστασιν, φύσιν, μήτε μὴν οὐσίαν τὴν κατὰ πάντα τρόπον φερομένην τε, καὶ περιθέουσαν, ὡς ἡ φύσις, τοῦτ' ἔστι, τὴν λογικήν. πάντα γὰρ ὅσα ἐστὶν ὁμοφυῆ, πάντως ἐστὶ καὶ ὁμοούσια, καὶ τοὔμπαλιν πάντα τὰ τῇ οὐσίᾳ διενηνοχότα, καὶ τῇ φύσει διενήνοχεν, ὥστε ταυτόν ἐστι φύσις, καὶ οὐσία.

Δέον δὲ εἰδέναι ὡς τὰ πράγματα τοῖς ἑαυτῶν φιλοσοφικοῖς ὀνόμασιν οὐκ ἀριθμοῦνται κατὰ συνήθειαν, ἀλλά τινες ἐφαρμόζουσιν αὐτοῖς λογικοῖς, οἱονεὶ βουλοίμεθα Πέτρον ἀριθμῆσαι, καὶ Παῦλον, καὶ Ἰωάννην, οὐ φαμὲν γὰρ ἀνθρώπους. ἐπειδὴ ἕκαστος μὲν αὐτῶν ἐστιν ἄνθρωπος. ἄνθρωπος δὲ οὐκ ἔστιν οὐδεὶς τούτων. τὰ γὰρ ἐλάττω τῶν μειζόνων οὐ κατηγορεῖται, ἀλλὰ τὰ μείζω τῶν ἐλαττόνων. οὐκ ἔστι γὰρ ἂν εἴποις τὸν ἄνθρωπον εἶναι Πέτρον. ἀλλὰ τὸν Πέτρον εἴποις ἂν εἶναι ἄνθρωπον. εἰ τοίνυν Πέτρον, καὶ Παῦλον, καὶ Ἰωάννην εἴποις εἶναι τρεῖς ἀνθρώπους, ἠριθμηκὼς ἔσῃ ὃ μὴ προέθου καθυποβάλλειν ἀριθμῷ. προέφημεν γὰρ * τὸν ἄνθρωπον μὴ εἶναι μηδένα τούτων. εἰ δὲ καὶ αὐτοὺς τούτους εἶναι τρεῖς λέγοις, ἕκαστον αὐτῶν τρεῖς ἀριθμήσεις, ὥστε τοὺς τρεῖς εἰς ἐννέα πολυπλασιασθῆναι, ὅπερ ἀδύνατον. ἐντεῦθεν ἀναγκαίως εἰσφέρεται τὸ ἐφαρμόζον αὐτῶν ἑκάστῳ λογικὸν ὄνομα, ὅ ἐστιν, ὑπόστασις, ἄτομόν τε, καὶ πρόσωπον. καθ' ὃ οἱ προτεθέντες ἀριθμηθῆναι ἀριθμῷ καθυποβληθήσονται, τρεῖς ὑποστάσεις, ἢ ἄτομα, ἢ πρόσωπα λεγόμενοι κατὰ τοῦτον δὴ τὸν τρόπον ἀποδείκνυται μὴ εἶναι τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα τρεῖς θεοὺς, εἰ καὶ τούτων ἕκαστον θεός ἐστι τέλειος, ὥσπερ ἕκαστος ἐκείνων ἄνθρωπος τέλειος, ἀλλ' οὐ λέγονται τρεῖς ἄνθρωποι. ὁ πατὴρ τοίνυν, καὶ ὁ υἱὸς,

* In suppositione simplici, ut vocant Logici.

καὶ

digentem alio, ad existendum, dic etiam indiuiduum esse generalissimum genus; & tribue indiuiduo definitionem, & nomen generis generalissimi, id est, quo non est aliud genus superius; & quod semper est genus; hoc autem cuinam placeat, & probetur nisi ei, qui omnibus modis à diuina gratia alienatus est? Ex his omnibus necessariò apud eum, qui mente præditus est, infertur, non esse hypostasim naturam, neq; substantiam quæ omnimodis circumfertur, & circumfert, sicut natura logicè sumpta, omnia enim, quæ sunt eiusdem naturæ, omnino sunt eiusdem substantiæ & contra, omnia, quæ substantia differunt, & natura differunt. quare idem est natura, & substantia.

Sciendum autem est, quod res non numerantur cum nominibus suis philosophicis secundum compositionem, sed cum logicis congruentibus, vt si velimus numerare Petrum, & Paulum, & Ioannem, non dicimus tres homines (propriè scilicet) quia vnusquisque quidem ipsorum est homo; homo verò nullus horum est, superiora enim dicuntur de inferioribus; non inferiora de superioribus, non enim dices hominem esse Petrum; sed potius Petrum esse hominem. Si igitur dicas Petrum, & Paulum, & Ioannem esse tres homines, numerabis, quos non erat propositum subiicere numero. diximus enim antea hominem nullum horum esse. Si autem hos ipsos dicas tres esse, vnumquemque horum numerabis tres; vt tres in nouem multiplicentur, quod fieri non potest. hinc necessariò infertur nomen, quod cuiq; horum congruit, logicum esse, quod est hypostasis, indiuiduum, persona, quatenus propositi erant, vt numerarentur, ita vt dicantur tres hypostases, vel indiuidua, vel personæ. in hunc modum demonstratum est, non esse Patrem, & Filium, & Spiritum sanctum tres deos. & si vnusquisque horum est Deus perfectus, sicut vnusquisque illorum est homo perfectus, non tamen dicuntur tres homines. Pater igitur, & Filius, & Spiritus sanctus tres hypostases sunt, sicut illi * ex his cognoscemus manifestè confitendum esse Christum esse vnã hypostasim in duabus naturis. est enim Christus æternus Dei Filius, qui incarnatus

*Est dispar ratio, quæ in diuinis est vna numero natura in tribus personis. In proposito autem sunt tres numero distincta natura humana in tribus personis.

καὶ τὸ πνεῦμα τὸ ἅγιον τρεῖς εἰσιν ὑποστάσεις, ὥσπερ κἀκεῖνοι. ἐκ δὴ τούτου γνωσόμεθα σαφῶς, δεῖν ὁμολογεῖσθαι τὸν χριστὸν εἶναι μίαν ὑπόστασιν ἐν δυσὶ φύσεσιν. ἔστι γὰρ ὁ χριστὸς ὁ τοῦ θεοῦ ἀΐδιος υἱὸς ὁ σαρκωθεὶς, τοῦτ' ἔστιν, ἡ μία τῆς ἁγίας τριάδος ὑπόστασις σεσαρκωμένη. καὶ αὕτη ἡ ὑπόστασις, ἤγουν ἀΐδιος υἱός ἐστιν ὁ αὐτὸς θεὸς ὁμοῦ, καὶ ἄνθρωπος. βουλόμενος τοίνυν ἀριθμῆσαι θεὸν, καὶ ἄνθρωπον, ἅ ἐστιν ἀΐδιος θεὸς, τοῦτ' ἔστιν ἡ μία ὑπόστασις, οὐ δυνάσαι τούτων εἰπεῖν ὑποστάσεις εἶναι δύο. οὔτε γὰρ ὁ θεὸς ὄνομα, οὔτε τὸ ἄνθρωπος ὑπόστασιν σημαίνει. ἡ μὲν ὑπόστασις οὐδενὸς ὅλως κατηγορεῖται, ὥστε οὐκ ἔστιν οὐδὲν τούτων ὑπόστασις. οὔτε μὴν ἔοικεν εἰπεῖν τὸν θεὸν, καὶ
*κατ' εἴδους. τὸν ἄνθρωπον δύο γένη. ἐπειδήπερ ἕκαστον γένος * ἴδιον κατηγορεῖται· τούτων δὲ οὐδὲν κατηγορεῖται ἴδιον. ἀλλ' οὐδὲ δύο εἴδη ἁρμόζει αὐτῶν λέγεσθαι. ἕκαστον γὰρ αὐτῶν ὑπὸ γένος τάττεται. θεὸς δὲ οὐχ εἰς γένος ὑποταχθήσεται, ὡς ἔχει ἄνθρωπος, διὸ κυριώτερόν ἐστιν ἀριθμῆσαι ταῦτα δύο φύσεις, καὶ δύο οὐσίας. ἑκάτερον γὰρ αὐτῶν, καὶ φύσις ἐστὶν, καὶ οὐσία τοῖς ὧν κατηγορεῖται. οὐκ ἔχει γὰρ οὐδὲν τῶν ὑφ' ἑκατέρων τούτων συστατικὰς διαφορὰς, ἤγουν οὐσιώδεις, καὶ φυ-
* τό. σικὰς, ὥστε φύσις, καὶ οὐσία * τῶν καθ' ὧν κατηγορεῖται, ἑκάτερον εἶναι.

Διὰ πολλῶν οὖν ἀποδέδεικται, μὴ εἶναι τὴν ὑπόστασιν φύσιν, μήτε μὴν οὐσίαν τὴν λογικὴν, τὴν κατὰ πάντα τρόπον περιθέουσαν, ὡς ἡ φύσις. ἐπειδὴ δὲ ἡ ὀρθοδοξία φησὶν, μὴ εἶναι τὴν φύσιν ὑπόστασιν μίαν τῶν καθ' ὧν κατηγορεῖται. μήτε ὅλας τὰς ὑποστάσεις, ὅσαι ἂν ὑπ' αὐτὴν εἶεν, οἷον ἡ θεότης, ἤγουν ὁ θεὸς, οὐκ ἔστι πατήρ. εἰ γάρ ἐστι πατὴρ, πάντως οὐκ ἦν ὁ υἱὸς θεός. οὐ γὰρ ἀντιστρέφει ἡ κατηγορία, ὡς πᾶσιν εὔδηλον. ὅτι ὁ πατὴρ μέν ἐστι θεός. θεὸς δὲ οὐ πάντως ἐστὶ πατήρ. καὶ ὁ υἱὸς, θεός ἐστιν. ὡσαύτως καὶ τὸ πνεῦμα τὸ ἅγιον. ὥστε θεὸς οὐκ ἔστιν οὐδὲν τῶν τριῶν τούτων. ἀλλ' οὐδὲ ὅλα τὰ τρία ἐστὶ θεός. εἰ γὰρ θεὸς πατήρ ἐστιν, υἱός τε, καὶ ἅγιον πνεῦμα, πάντως πᾶν ὃν θεός, ἐστι πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. ἀλλ' ἕκαστος τούτων θεὸς ὑπάρχων τέλειος, οὐκ ἔστιν ἄλλα τὰ τρία. καὶ τοῦτο σαφές τε, καὶ ἐναργὲς τοῖς γε νοῦν ἔχουσι.

Προ-

natus est, id est, vna hypostasis sanctæ Trinitatis incarnata, & hæc hypostasis, ęternus scilicet filius est idem Deus simul & homo. quare qui vult numerare Deum & hominem, quæ sunt æternus filius, id est, vna hypostasis, non potest dicere esse hos duas hypostases. nec enim nomen Deus, neque nomen homo hypostasin significat. hypostasis enim de nullo omnino prædicatur. quare nihil horum est hypostasis. neque videtur licere dicere Deum & hominem duo genera, siquidem vnumquodq; genus de speciebus prædicatur, quod hîc non fit. neque conuenit dicere eos duas species. vnaquæque enim species sub genere collocatur. Deus autem non habet genus, sub quo collocandus sit, sicut habet homo. quamobrem magis proprium est, numerare hęc duas naturas, & duas substantias. vtrumque enim eorum est & natura, & substantia iis, de quibus prædicatur. nihil enim sub vtroque horum habet constitutiuas differentias, vel substantiales & naturales, vt sit natura, & substantia vtrumque eorum, de quibus prædicatur.

Demonstratum igitur est pluribus non esse hypostasim naturam, neque substantiam logicam, quæ omnibus modis circuit, sicut natura. * Quia verò orthodoxa doctrina dicit non esse naturam hypostasim, vnam eorum, de quibus prædicatur, neque vniuersas hypostases, quæ sub ipsa sunt, vt deitas, id est. Deus, non est Pater, si enim Deus est Pater, profecto non erit Filius Deus. non enim reciprocatur prædicatio, vt omnibus patet. quia Pater quidem est Deus, Deus autem non est omnino Pater. & Filius similiter est Deus, & Spiritus sanctus similiter. quare Deus, nullus est horum trium. immo neque

** Quæ hoc loco Theodorus disputat, ἀρίστῃ γνώμῃ,* candido animo, *interpretari decet. nam Deitas tota est in Patre; & sic perfectus Deus est: sed quia in illo non est* totaliter, *hoc est, ita, vt in Filio & Spiritu sancto non sit; ideo dicit Theodor⁹, Patrē non esse Deum πάντως hoc est, ὁλικῶς,* totaliter, *siue* solùm, *cum exclusione Filij & Spiritus sancti. Et quod de Patre affirmat, idem de Filio & Spiritu sancto asserit. Nam sicut anima tota est in digito, sed nō ὁλικῶς, quia simul est in capite aliisque corporis membris, ita & natura diuina tota est in Patre; sed non ὁλικῶς, hoc est, non solùm; & huic fundamento inædificat Theodorus totum hunc suum discursum. Cui venia danda; quia boni sensus capax est, si in bonam mentem incidat. Nam liuidus non mirabitur Theodorus: cui persuasum fuit, nescio ex qua phantasia potius, quam Philosophia, naturam; quæ ab vno solo non participaretur, non posse dare nominationem subiecto. Hinc suprà Petrum, Paulum, Ioannem tanquam tres homines numerari posse negauit: quæ sensu quodā vera sunt; quia tres non sunt, spectando naturam specificè: Tres sunt spectando eandem naturam secundum indiuiduam rationem prout spectari debet. Sic quando Theodorus dicit, neq; tres personas esse Deum; ὁλικῶς nimirum, totaliter & adæquatè, non loquitur collectiuè, sed distributiuè: quia vt nec Pater, ita nec Filius, aut Spiritus sanctus est Deus ὁλικῶς, id est, solus, exclusis aliis. Et hoc emplastro arbitror satis hunc duriorem & obscuriorem Abucaræ loquendi modum mitigatum iri.*

Προβάλλονται δὲ καθ' ἡμῶν τῶν ὀρθοδόξων οἱ Σαβηλιανοὶ, οἱ λίαν ἄφρονες αἱρετικοὶ, αἱρετικά τινα προβλήματα, ἅτινα προσαγαγόντες εἰς μέσον, ἀνασκευάσωμεν σὺν θεῷ ὡς σαθρὰ, καὶ εὐδιάλυτα. ἐροῦσιν οὖν ἡμῖν οἱ ματαιόφρονες, εἰ τὸν θεὸν φατὲ μὴ εἶναι τὰ τρία ταῦτα, εἴπατε λοιπὸν, θεὸς πρᾶγμά ἐστιν, ἢ οὐκ ἔστιν; ἀποκρινομένων δὲ ἡμῶν, τὸν θεὸν εἶναι πρᾶγμα, πάλιν ἐρωτῶσιν. αἱ τρεῖς ὑποστάσεις δὲ οὐ τρία πράγματα; συγκατατιθεμένων οὖν ἡμῶν, καὶ αὐτὰ εἶναι πράγματα. συνάγουσι καθ' ἡμῶν λέγοντες. ἄρα καθ' ὑμᾶς θεὸς πατήρ τε, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα. τέσσαρα ἀριθμοῦνται πράγματα, καὶ οὕτως ἐλέγχεσθε, τὴν μὲν τριάδα ἀρνούμενοι, τετράδα δὲ εἰσφέροντες. ἡμεῖς δὲ τούτοις ἀποκρινόμεθα. μὴ εἰδότες, ὦ οὗτοι, τὴν ἀληθινὴν τῆς ἀποδείξεως ὁδὸν ἐμπίπτετε εἰς τοὺς παραλογισμοὺς τούτους, ἀγνοοῦντες, ὡς πᾶν πρᾶγμα τελειωτικὸν ἑτέρου πράγματος οὐ συναριθμεῖται τῷ τελειοῖ πράγματι. οἷον ὁ χρυσὸς τοῦ νομίσματος, οὐκ αὐτὸ τὸ νόμισμά ἐστιν. ὁ γὰρ χρυσὸς, καθ' ὃ χρυσός ἐστιν, οὐκ ἔχει τὸν τοῦ νομίσματος χαρακτῆρα. καὶ ἰδοὺ πρᾶγμα καθέστηκεν ὁ χρυσὸς, καὶ τὸ νόμισμα πρᾶγμα πάλιν ἐστὶν ἕτερον. ὁ χρυσὸς τοίνυν πρᾶγμα πεφυκὼς παρὰ τὸ νόμισμα, οὐ συναριθμεῖται τῷ νομίσματι, ὅθεν οὐ λέγονται ταῦτα δύο πράγματα, ἀλλ' οὐδὲ χρὴ ταῦτα σὺν τῷ συμπλεκτικῷ συνδέσμῳ προφέρεσθαι. σκαιότης γὰρ, καὶ ἀμαθία πολλὴ τὸ λέγειν, νόμισμα, καὶ χρυσός. ταυτὸ δὲ νοεῖν ἔστι περὶ Παύλου, καὶ τοῦ ἰδίου σώματος. οὔτε γὰρ Παῦλός ἐστι τὸ σῶμα αὐτοῦ. οὔτε τὸ σῶμα Παύλου, ἐστὶν Παῦλος. Παῦλος μέν τοι πρᾶγμά ἐστι. καὶ τὸ σῶμα Παύλου πρᾶγμά ἐστιν ἀλλ' οὐ συναριθμεῖται Παῦλος τῷ ἰδίῳ σώματι, ὥστε εἶναι τὰ δύο, δύο πράγματα. τίνος ἕνεκεν; ἐπειδὴ τὸν Παῦλον τὸ ἴδιον σῶμα τελειοῖ. * τῶν ὑποστάσεων, καθ' ὧν κατηγορεῖται, οὐ συναριθμεῖται ταῖς τρισὶν ὑποστάσεσιν, ὥστε εἶναι αὐτὴν κἀκείνας τέσσαρα πράγματα, ὡς ὀνειρώττοντες φασὶν οἱ αἱρετίζοντες.

*Bauaricus codex hic est mutilus. Itaq; ex versione Turriani, & ex codice quo vsus, cuius Graeca verba ad marginē suorum aduersariorū annotauit, lege. τοιγαροῦν, ὅτι ἡ θεότης ἑκάστην τελειοῖ.

Καὶ ἄλλο δὲ προσφέρουσι κατὰ τῆς ὀρθοδοξίας οἱ αἱρετικοὶ πρόβλημα τοιοῦτο λέγοντες. τὸν ἀΐδιον υἱὸν φατὲ πρᾶγμα εἶναι, ἢ οὔ; εἶτα λεγόντων ἡμῶν, αὐτὸν εἶναι πρᾶγμα, ἐπερωτῶσιν αὖθις, καὶ τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα τὸ ἔμψυχόν τε, καὶ νοερὸν, οὐ πρᾶγμα εἶναι λέγετε;

Συνκα-

Deus vniuersa tria est. si enim Deus est Pater, Filius, & Spiritus sanctus, omnino omne quod est Deus, erit Pater, & Filius, & Spiritus sanctus, immo vnusquisque horum Deus perfectus cùm sit, non est vniuersa tria, idq; manifestum est, & apertum omnibus, qui mentem habent.

Obiiciunt ante nobis orthodoxis Seueriani hæretici imprudentissimi quæstiones quasdam subuertentes, quas nos in medium producemus, & adiuuante Deo dissoluemus, & futiles esse demonstrabimus. dicunt ergo nobis illi, si Deum dicitis non esse hæc tria; dicite, Deus est res, an non? Si nos respondemus rem esse Deum, rursus dicunt, tres hypostases non sunt res? cum nos concedimus esse tres res, colligunt contra nos; igitur secundum vos, Deus, & Pater, & Filius, & Spiritus sanctus, quatuor res numerantur, atque ita conuicti estis negare trinitatem; & quaternitatem pro Trinitate introducere. Nos verò respondemus istis, ignorantes rectam viam demonstrationis, fallaces istas conclusiones vomitis. ignorant enim quod omnis res, quæ alteram perficit, non connumeratur cum ea, quam perficit, verbi gratia, aurum nummi, non est ipse nummus: aurum enim quatenus aurum est, non habet signum nummi, & res est aurum; & nummus, alia rursus res est. quare aurum, quod alioqui res est præter nummum, non numeratur cum nummo, ex quo fit, vt non dicantur hæc duæ res. nec oportet hæc cum coniunctione efferre. durum enim, & nimis inscitum est, dicere nummum & aurum. idem intelligendum est in Paulo, & corpore eius. nec enim Paulus corpus suum; neq; corpus Pauli est Paulus. tamen Paulus res est, & corpus Pauli res item est, sed non numeratur Paulus cum corpore suo, vt sint duæ res. Quare hoc? quia Paulum suum corpus perficit. igitur quia deitas vnamquamque hypostasim perficit, de qua prædicatur, non numeratur cum tribus hypostasibus, vt sit ipsa deitas & illæ hypostases quatuor res, vt hæretici somniant.

Aliam præterea quæstionem hæretici contra orthodoxã veritatem proferunt. sic enim aiunt, dicitis ne æternum Filium esse rem, an non? deinde cùm respondemus, rem esse, rursus interrogant. Corpus æterni Filij animatum, & intelligens, an non

συγκατατιθεμένων οὖν ἡμῶν εἶναι καὶ αὐτὸ πρᾶγμα, εὐθέως συμπεραίνουσιν καθ' ἡμῶν. ἄρα συναριθμεῖτε, τὸν ἀΐδιον υἱὸν τῷ ἰδίῳ σώματι λέγοντες ὅπως ἡμᾶς ἑκατέρωθεν, ὡς οἴονται, δήσαντες ἀραχνοις ἱμᾶσιν, ἤτοι βάλοιεν εἰς βλασφημίας ἀπότημα, ἢ εἰς τὸ ἴδιον ἐφελκύσονται φρόνημα. εἰ γὰρ δύο πράγματα, τὸν ἀΐδιον υἱὸν, καὶ τὸ ἔμψυχον αὐτοῦ, καὶ νοερὸν αὐτοῦ σῶμα φαμέν. αὐτίκα κατακρίνουσιν ἡμᾶς ὡς τεσσάρων πραγμάτων ἐφίδρυσιν ἐν τῷ τῆς θείας ὑψηλῷ θρόνῳ τιθέντας, ὅπερ ἐστὶ τῆς τριάδος ἄρνησις. εἰ δὲ τὸν υἱὸν, καὶ τὸ ἴδιον αὐτοῦ σῶμα μὴ εἶναι δύο πράγματα λέγοιμεν, αὐθυποφέρουσιν ὑμῖν φάσκοντες, μὴ ὄντων τούτων δύο πραγμάτων, πῶς ὑμεῖς τὸν χριστὸν λέγετε δύο φύσεις; οἷς ἐροῦμεν, ὡς ἡμεῖς τὸν ἀΐδιον υἱὸν οὐ συναριθμοῦμεν τῷ ἰδίῳ σώματι, ὥστε λέγειν ἐκεῖνα δύο πράγματα. ἐπειδὴ τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα ὑποστατικὸν αὐτοῦ, καθέστηκεν τρόπον τινὰ τελειοῦν αὐτὸν, καθὼς ἐστὶν ἄνθρωπος. ἅπαν δὲ πρᾶγμα τελειοῦν ἕτερον πρᾶγμα, ἢ ὡς γένος, ἢ ὡς διαφορὰ, ἢ ὡς φύσις, ἤγουν οὐσία, ἢ ὡς ὂν ὑποστατικὸν τελειοῦν, καὶ ὑφιστάνον ἐκείνου ἐστίν. ὑποστατικὸν οὖν ὑπάρχον τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα, εἰ καὶ μὴ τελειοῦν αὐτὸν ἁπλῶς ἤγουν κυρίως λέγεται), οὐδαμῶς αὐτῷ συναριθμεῖται παντάπασιν. ἀλλ' οὐκ ἐντεῦθεν ἀναιρετέον ἐν τῷ χριστῷ λέγεσθαι δύο φύσεις ἡμεῖς γὰρ οἱ ὀρθόδοξοι, οὐ τὸν ἀΐδιον υἱὸν τῷ ἑαυτοῦ συναριθμοῦντες ὑποστατικῷ σώματι, δύο φύσεις φαμὲν, ἀλλὰ τὴν θεότητά τε, καὶ ἀνθρωπότητα δύο φύσεις ἀριθμοῦμεν. τάχα δέ τις ἔνθεν ἐπισκέψας φήσειεν. ἄρα οὖν καὶ ἡ τοῦ δεσπότου ἀνθρωπότης οὐκ αὐτὸ πέφυκεν τὸ ἴδιον αὐτοῦ σῶμα τὸ ἔμψυχόν τε, καὶ νοερόν; πρὸς ὃν ἀντιφήσωμεν οὐκ εἶναι. ἐπειδὴ ἡ τοῦ χριστοῦ ἀνθρωπότης, πάντων ἡμῶν τῶν ἀνθρώπων καθέστηκεν. τὸ δὲ ἔμψυχον αὐτοῦ, καὶ νοερὸν σῶμα αὐτοῦ μόνου διαφερόντως ἐστίν.

Εἰδέ τις πρὸς ταῦτα διαμάχοιτο; εἰς τὸ δυοῖν θάτερα μέλλει ἀτοπίαν ὑποπεσεῖν. ἤτοι γὰρ εἰπεῖν ἀναγκασθήσεται, τὴν τοῦ χριστοῦ ἀνθρωπότητα, μὴ εἶναι τῶν πάντων ἡμῶν ἀνθρωπότητα. κἀντεῦθεν πολλὰς ἐπεισάγειν ἀνθρωπότητας, ἢ τὸ ἰδίου υἱοῦ σῶμα λέγειν ἑκάστου ἡμῶν τῶν ἀνθρώπων εἶναι σῶμα. καὶ τηνικαῦτα φάγεται ὁ τοιοῦτος ἐπίσης τὸ τοῦ χριστοῦ σῶμα, καὶ λῃστοῦ τινος, καὶ ἀθέου σῶμα. καὶ

πάλιν

non dicitis esse rem? cùm respondemus esse, statim contra nos concludunt, igitur numeratis æternum Filium cum proprio corpore. hoc dicunt, vt nos vtrinque, quoad fieri potest, hamis aranearum captos in absurdam blasphemiam compellant, aut in propriam sententiam trahant. Si enim dicamus, duas res esse Filium æternum, & corpus eius animatum, & mente præditum, continuo condemnabunt nos, tanquam qui quatuor res in alto throno diuinitatis fundemus, quod est negare Trinitatem. sin autem Filium, & corpus eius proprium non dicamus duas res esse, occurrunt nobis, si non sunt duæ res, quomodo, inquiunt, vos Christum duas naturas dicitis? quibus respondendum est. nos Filium æternum nō numerare cum proprio corpore, vt dicamus esse duas res quia * corpus hypostaticum æterni Filij quodammodo perficit ipsum, quatenus est homo. omnis autem res, quæ alterum perficit, aut tanquam genus, aut tanquam differentia, aut tanquam natura, substantia scilicet, aut tanquam hypostaticum, illud perficit cuius est. corpus igitur æterni Filij cum sit hypostaticum quamuis non simpliciter, id est, propriè perficere illum dicitur, non tamen cum eo corpus numeratur. sed non propterea non est dicendum duas naturas esse in Christo. nos enim orthodoxi, non æternum Filium numerantes cum corpore eius hypostatico, duas naturas esse dicimus; sed diuinitatem & humanitatem duas naturas numeramus. fortassis aliquis hinc occasione occurrendi arrepta, dicit, an Christi humanitas nō est ipsius naturale corpus animatum, & intelligentia præditum? cui respondebimus non esse. siquidem humanitas Christi omnium nostrum, qui homines sumus, est; corpus verò eius animatum, & intelligens, ipsius solius præcipuè est.

** corpus hypostaticum dicit, id est, corpus in hypostasi filij æterni.*

Si quis verò contra hæc pugnet, in alteram ex duobus absurdis incidet, aut cogetur dicere humanitatem Christi scilicet non esse nostram, & hinc multas humanitates introducere (id est, naturas;) aut corpus æterni Filij, vniuscuiusque nostrum, qui sumus homines, corpus esse. & tunc qui sic sentit, comedat corpus Christi ęque, atque corpus alicuius latronis,

πάλιν εἰ τὴν τοῦ χριστοῦ φασὶν ἀνθρωπότητα, μὴ εἶναι τὴν ἡμετέραν ἀνθρωπότητα, βιασθήσονται φάναι, μὴ εἶναι τὴν χριστοῦ θεότητα τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. καὶ ἐκ τούτου τρεῖς εἰσάγειν θεότητας, ὃ δὴ τοῦ χριστιανισμοῦ παντελῶς ἐστι ἔκπτωσις. εἰ δὲ αὐτὸ ἕτερον φαίη, ἀρκεῖται τῷ ἀποφαινομένῳ τὸ παναίσχιστον παρακολούθημα, ὅπερ φθάσαντες εἰρήκαμεν. ἰστέον ὡς οἱ ἅγιοι πατέρες, πῇ μὲν τὸν ἀΐδιον υἱὸν ἐκ τοῦ πατρὸς, πῇ δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας γεγεννῆσθαι φασίν. ἡμῶν οὖν τῶν ὀρθοδόξων, μὴ τὴν τοῦ πατρὸς οὐσίαν αὐτὸν εἶναι τὸν πατέρα λεγόντων, ἀλλά, παρὰ τὸν πατέρα, παραχρῆμα καθ' ἡμῶν, ἅλλονται διαθρυλλοῦντες ἡμᾶς περιφωρᾶσθαι τὸν υἱὸν λέγοντες ἐκ δύο γεννηθῆναι πραγμάτων. εἶτα τὸν πατέρα συναριθμεῖσθαι τῇ ἑαυτοῦ οὐσίᾳ, καθὼς ἐν τοῖς προειρημένοις ἤδη προαποδέδεικται. πρὸς αὐτοὺς ἡμῶν ἀποκρινομένων, ἐροῦσιν οἱ φρενοβλαβεῖς, κἂν τοῦτο δῶμεν εἶναι, καθ' ἃ προέφητε, πῶς γοῦν ἀναγκάζεσθε τὸν υἱὸν εἰπεῖν οὐκ ἐκ τοῦ αὐτοῦ φῦναι πράγματος. πρὸς οὓς ἀποκρινόμεθα σὺν τοῦ ἀνοήτους ἐντρέποντες. οὕτως πλανᾶσθε μὴ εἰδότες ὦ τάλανες, τὰ τῶν λεγομένων αἰνίγματα. οὐ γάρ, ὅπερ ὑποτοπάζετε, λέγειν βιαζόμεθα. εἰ γὰρ καὶ ὁ πατὴρ ἄλλο τί ἐστι, καὶ ἡ τοῦ πατρὸς οὐσία ἄλλο. ἀλλ' οὖν ἡμεῖς τὸν υἱὸν ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ἢ ἐκ τοῦ πατρὸς γεγεννῆσθαι λέγοντες, ἐκ τοῦ αὐτοῦ φῦναι πράγματος σημαίνομεν, οὐκ ἐξ ἄλλου, καὶ ἄλλου, μὴ γένοιτο. ὥσπερ γὰρ σὺ λέγων, * ἔστησα τὸν τοῦ νομίσματος χρυσὸν, αὐτὸν ὑπαινίττῃ τὸν χρυσὸν ἐστάναι σταθμῷ, καὶ πάλιν λέγων, ἐστάθμισα τὸ νόμισμα, τὸν χρυσὸν σταθμίζεσθαι φῄς. ὁ γὰρ τοῦ νομίσματος χαρακτὴρ οὐ σταθμίζεται, ὡς πᾶσιν εὔδηλον. οὕτω καὶ ἡμεῖς κἂν εἴποιμεν ἐκ τοῦ πατρὸς οὐσίας γεγεννῆσθαι τὸν υἱὸν, οὐκ ἀναγκαζόμεθα λέγειν αὐτὸν ἐκ δύο φῦναι πραγμάτων, ἀλλ' ἐξ ἑνὸς, καὶ τοῦ αὐτοῦ πράγματος. ὥστε τὴν ὀρθοδοξίαν ἀεὶ τροπαιοῦχον φαίνεσθαι. καὶ τὰ τῆς νίκης βραβεῖα καθ' ἡμῶν τῶν αἱρετιζόντων κομίζεσθαι.

* fort. ἱσαθμισα

Πάλιν ἐπιφύεται παρ' αὐτῶν ἡμῖν ἐρώτημα λεγόντων. ὁ ἀΐδιος υἱὸς σαρκωθεὶς κοινὸν πρᾶγμα προσείληφεν, * εἰ εἴπομεν, αὐτὸν πρᾶγμα προσειληφέναι μερικὸν, ἐναχθείημεν ἐν χριστῷ δύο λέγειν ὑποστάσεις, ὃν τρόπον λέγομεν δύο φύσεις. κἂν τοῦθεν τῷ βδελυρωτάτῳ

* οὐ μερικόν;

& impij. & rursus si quis dicet humanitatem Christi non esse nostram humanitatem, cogetur dicere non esse diuinitatem Christi, diuinitatem Patris, & Spiritus sancti, atq; ita tres diuinitates, siue deitates introducere. quod est excidere penitus à Christianismo. sin autem illud alterũ dicat, sufficiat ei, qui id dicit, turpissima consecutio, quam diximus prius. Quamobrem scire oportet, sanctos Patres alias quidem æternum Filium ex Patre, alias verò ex substantia patris genitũ esse dicere. nos igitur orthodoxi, cùm non dicimus substantiam Patris esse ipsum Patrem, sed aliam rem * præter Patrem, continuo in nos prosiliunt iactantes nos esse deprehensos in eo, vt dicamus, ex duabus rebus genitum esse Filium; deinde Patrem numerari cũ sua substantia, sicut in superioribus iam demonstratum est. Hæc nobis respondentibus occurrunt insani illi dicentes; etiamsi demus rem ita se habere, vt prius asseruistis, interim necesse habetis affirmare Filium non nasci ex eadem re. Quibus respondemus pudore stultos afficientes; erratis profectò miseri, non intelligentes quæ significent ea quæ dicuntur. non enim sicut coniicitis, cogimur dicere. etsi enim * aliud quid est Pater; & aliud quid substãtia Patris. nos tamen Filium ex substantia Patris, vel ex Patre genitum esse cum dicimus, ex eadem re genitum esse significamus, non ex alia, & alia, absit. Sicut enim tu cum dicis, ponderaui aurum nummi; ipsum aurum ponderasse significas; & rursus, cum dicis, ponderaui nummum; aurum ponderasse dicis; character enim siue signum nummi non ponderatur, vt omnibus patet: sic & nos, etsi dicamus ex Patre, vel ex substantia Patris genitum esse Filium, non cogimur dicere, genitum esse ex duabus rebus, sed ex vna & eadem re. vt semper orthodoxa doctrina victrix appareat; & præmia victoriæ contra hæreticos reportentur.

Rursus exoritur nobis alia istorum percunctatio. æternus Filius assumpta carne, assumpsit communem rem, an particularem? vt si dicamus rem particularem assumpsisse, crimen nobis sit dicere in Christo duas hypostases, quomodo dici-

Schol. Turrian.

** id est, differre substantiam Patris ab actu notionali, qui est generare, qui vocatur à Dionysio res Patris, sicut res Filij est generari. Nec aliud vult quã essentiam Patris, & paternitatem, per quam Pater est Pater, ratione distingui.*

** non concedit aliud esse Patrem, & aliud substantiã Patris, in Trinitate enim non est aliud, & aliud, sed alius, & alius, immo negat potius, quia si non est alia, & alia res, non est aliud, & aliud. summa est: Patrẽ & substantiam Patris esse vnam eandemq; simplicissimam rem, sed propter infinitatẽ suam duabus realiter distinctis æquiualentem. Quæ æquiualentia fundans virtualem distinctionem, facit, vt aliquid de paternitate seu actu notionali Patris affirmari queat, quod non potest affirmari de substantia seu essentia Patris, & vice versa. Et huc respexit Theodorus, quamuis obscurius.*

ρωτάτῳ τῶν νεστοριανῶν συνεμπεσεῖν φρονήματι. παρ' ἐκείνοις γὰρ ὑπόστασίς ἐστι τὸ μερικὸν πρᾶγμα. ἢ μηδαμῶς ἐν χριστῷ δύο φύσεις ὁμολογεῖν, ὡς οὐδὲ δύο ὑποστάσεις. κἂν τούτῳ * σευηροὶ χρηματίσαι συνωσθείημεν, μίαν εἶναι φύσιν τὸν χριστὸν λέγοντες, ὃν τρόπον μίαν αὐτὸν φαμὲν ὑπόστασιν, ὅπερ ἐστὶ ψυχολεθρίας ἀνάμεστον. εἰ δὲ κοινὸν πρᾶγμα προσειληφέναι τὸν υἱὸν φαμέν, ἐπεμβαίνουσιν ἡμῖν αὐτίκα φάσκοντες. πῶς ὁ υἱὸς σαρκοῦται τοῦτο προσειληφώς; τῶν ἀδυνάτων γάρ ἐστιν ἀσώματόν τι σωματωθῆναι ἑνωθὲν ἀσωμάτῳ. πρὸς οὓς ἀπαντήσωμεν, οὐ νενοήκατε λέγοντες, ὦ οὗτοι, τὸν τῶν φιλοσόφων σκοπὸν εἰρηκότων, ἀσώματον εἶναι τὸ κοινόν. ἐκεῖνοι γὰρ λέγοντες ἀσώματον εἶναι πᾶν γένος, καὶ εἶδος, καὶ αὐτὸ τὸ σῶμα, τὸ ἐκ τῆς οὐσίας τοῦ ἀνωτάτω, ἥτις λέγεται γενικώτατον γένος διαιρούμενον, ἀσώματον εἶναι λέγουσι. διὸ δέον ἐπίστασθαι, ὡς τὸ ἀσώματον ὄνομα κατὰ τοὺς φιλοσόφους ὁμωνύμως τε, καὶ ἀορίστως λέγεται, μᾶλλον δὲ συλλήβδην φάναι, ἐκεῖνοι τὴν ὕλην, καὶ τὸ εἶδος ἐξ ὧν τὰ σώματα, καὶ χρῶμα, καὶ πᾶν σχῆμα, ἤγουν πᾶσαν ποιότητα καλοῦσιν ἀσώματον τήν τε ψυχήν, καὶ τοὺς ἀγγέλους, καὶ αὐτὸ τὸ θεῖον, ὧν οὐ μία, καὶ ἡ αὐτὴ τῶν ἁπάντων ἡ φύσις, ἀλλά, πολλαὶ καὶ διάφοροι, ὡς ἐντεῦθεν πιστοῦσθαι σαφῶς ὁμωνύμως, καὶ ἀορίστως λέγεσθαι τὸ ἀσώματον ὄνομα, κατὰ πολλῶν * σημαινόμενον, καὶ τῇ φύσει διαφερόντων φερόμενον.* τὸ σῶμα τοίνυν, καὶ ὅσα ὑπὸ τὸ σῶμά ἐστι κοινά, οἷον ἔμψυχον, ζῶον, ἄνθρωπος, ἀσώματα καλοῦνται. ἐπειδὴ τούτων ἕκαστον αἰσθήσει μὲν οὐχ ὑποπίπτει, ἀλλὰ νοῒ καταλαμβάνεται. οὐ γάρ εἰσιν αὐτοῖς ἰδιότητες ὁριστικαί, καθ' ἃς αἰσθήσει καθυποβληθήσονται. τὰ μέν τοι ἄτομα, καθ' ὧν ταῦτα κατηγοροῦνται, σώματά ἐστιν, ὡς ὑπὸ τὴν αἴσθησιν πίπτοντα. ὁριστικὰ γὰρ ἔχουσιν ἰδιώματα. πλὴν εἰ καὶ τὸ κοινὸν σῶμα, καὶ ὅσον ἐστὶν ὑπὸ τὸ κοινὸν διὰ τὸ μηδαμῶς αἰσθήσει, ἀλλὰ νῷ μόνον εἶναι ληπτόν, ἀσώματον λέγεται, ἀλλ' οὖν φύσει σῶμα καθέστηκεν. παραπλήσιον δ' ἂν εἴη τοῦτο τῷ ἁπλῶς λεγομένῳ κύκλῳ, τῷ γραμμὰς ὁριστικὰς οὐκ ἔχοντι. ὁ γὰρ τοιοῦτος κύκλος φύσει μὲν μετρητός, καθ' ὃ δὲ γραμμὰς ὁριστικὰς οὐκ ἔχει, οὐδαμῶς ὑποπίπτει μετρήσει. οὐκ ἔχει γὰρ ὁριστικὸν σταυρόν, δι' οὗ, ποσός ἐστι, γνωσθῆναι δυνήσεται. ἐπὰν δὲ κύκλος γένηται μερικῶς,

* σευηριανοὶ

* σημαινομένων

* In Bauarico codice se iungebatur hac à superioribus, interposito hoc titulo: τοῦ ἀβουκαρᾶ, quasi esset nouum opusculum. Sed hac distinctio non fuit in Turriani exemplari, vt patet ex eiusdem versione.

mûs duas naturas, atque ita incidamus in execrabilem opinionem Nestorianorum, apud illos enim hypostasis est res particularis; aut nullo modo in Christo duas naturas confiteamur, sicut neque duas hypostases, atque ita Seueriani dici compellamur, dicentes Christum esse vnam naturam, sicut dicimus esse eum vnam hypostasim, quod est plenum interitus animæ. Sin autem communem rem filium assumpsisse dixerimus, insultant statim nobis dicentes, quomodo filius incarnatur communi re assumpta? impossibile enim est, aliquid incorporeum corporatum fieri copulatum incorporeo. quibus occurrendum est, non intellexistis, ô boni, propositum philosophorum, cùm dixerunt, Incorporeum esse cõmune. Nam cum dicunt, incorporeũ esse omne genus, & speciem, etiam ipsum corpus ex substantia generalissima, quæ dicitur genus generalissimum, diuisum, incorporeum esse dicunt. quamobrem scire oportet nomen incorporeum secundum philosophos homonymè, & infinitè dici, immò vt paucis rem complectar, illi materiam, & speciem, ex quibus corpora, & omnem colorem, atque figuram, id est, omnem qualitatem vocant incorporeum, & animam, atque angelos, & ipsum Deum, quorum omnium non est vna & eadem natura, sed multæ, & variæ, vt hinc planè probetur homonymè, & infinitè dici nomen incorporeum de multis significatis, & natura differentibus. quare corpus, & quæcunque sunt sub corpore communia vt animatum, animal, homo incorporea vocantur, quia vnumquodque horum non est subiectum sensui, sed mente comprehenditur: non enim sunt eis proprietates ὁριστικαὶ, (id est, indiuiduantes) quibus sensui subiicientur. indiuidua tamen, de quibus hæc prædicantur, corpora sunt, vtpote sub sensu cadentia, proprietates enim habent definientes, siue terminantes. verùm etsi commune Corpus, & quodcunque est sub ipso commune incorporeum dicitur, quia non potest sensu, sed mente percipi, tamen natura corpus consistit; simile est hoc circulo simpliciter dicto, non habenti lineas * ὁριστικὰς. huiusmodi * *definientes.*
enim circulus natura quidem mẽsuratus, quatenus verò non

 habet

* f. μερικὸς, εἰδικός τε καὶ ὁριστικός.

* μερικῶς, εἰδικῶς τε, καὶ ὁριστικῶς, εὐθέως ὁπόσον ἔχει μέγεθος μετρηθήσεται καὶ περιορισθήσεται. οὐκοῦν ὁ λεγόμενος ἁπλῶς κύκλος φύσει μὲν ἀορίστως μετρεῖται. ὁριστικῶς οὐχ ὑποπίπτει μετρήσει. οὕτω τὸ παρὰ τοῦ ἀιδίου υἱοῦ προσληφθὲν ἀνθρώπινον σῶμα, σῶμα μέν ἐστι φύσει. καθ' ὃ δὲ κοινὸν ὤν, οὐδαμῶς ὑπὸ τὴν αἴσθησιν πίπτει, ἀσώματον καλεῖται. ἐπεὶ αὖ δὲ χαρακτηρίζεται ὁριστικοῖς ἰδιώμασιν, ὁριστικῶς αὐτίκα τῇ αἰσθήσει ὑποπίπτει χρηματίσαν αἰσθητόν τι, καὶ ἁπτόν.

Οὐ δὲ μὴν ὁ χαρακτὴρ τῶν ἰδιωμάτων μερικὸν πρᾶγμά ἐστιν, ἤγουν ὑπόστασις. ὁ χαρακτὴρ γὰρ οὐκ ἄλλου τινός ἐστιν, ἤγουν οὐκ ἄλλης ὑποστάσεως ἐν Χριστῷ, εἰ μὴ τοῦ ἀιδίου υἱοῦ. ὃν τρόπον ἡμῶν ἑκάστου τῶν ἰδιωμάτων ὁ χαρακτὴρ, οὐκ ἄλλου τινός ἐστιν, ἢ ἐκείνου, οὗπέρ ἐστιν ὁ χαρακτήρ. ὅθεν ὁ ἀΐδιος υἱὸς, ὁ αὐτός ἐστι θεός τε, καὶ ἄνθρωπος, τουτέστιν, ὁ αὐτός ἐστιν ὁ πρὸ πάντων αἰώνων ἐκ πατρὸς γεγεννημένος. καὶ Ἰησοῦς ὁ ἐκ παρθένου Μαρίας ἐπὶ τέλει τῶν αἰώνων ἀπορρήτως τεχθεὶς, ὑπόστασις μία τῆς τριάδος ὑπάρχων. διὸ κυρίως, καὶ ἀληθῶς ἡ πάναγνος, καὶ παναμώμος Δαυϊδικὴ νεᾶνις θεοτόκος ὁμολογεῖται. αὐτὸν γὰρ τὸν ἀΐδιον τέτοκεν υἱὸν ἄνθρωπον γεγονότα καθ' ἡμᾶς, κατὰ πάντα, δίχα τῆς ἁμαρτίας, καὶ Ἰησοῦν προσαγορευθέντα καθὼς ἡμῶν προσαγορεύεται Πέτρος τυχὸν, ἢ Παῦλος, ἢ ὅ, τι οὖν κύριον ὄνομα. τηλαυγέστατα τοίνυν ἀποδέδεικται, ὅτι περ εἰ καὶ κοινὸν πρᾶγμα προσείληφεν ὁ ἀΐδιος υἱὸς, ὅπερ ἐστὶν ἀσώματον, ἤγουν τὴν ἀνθρωπίνην οὐσίαν, ἀλλ' οὖν οὐκ ἀπαγορεύεται σωματωθῆναι, ἤγουν σαρκωθῆναί τε, καὶ ἐνανθρωπῆσαι, καθώς φησιν ὁ παράφρων αἱρετικός. καὶ τοῦτο δὲ πάλιν εἰδέναι χρὴ, ὡς οἱ αἱρετίζοντες τούτου δὴ χάριν σπουδοῦσι συστῆσαι τὴν φύσιν εἶναι κοινήν τε, καὶ μερικήν. τὴν μὲν κοινὴν· πάσας εἶναι τὰς ὑποστάσεις· τὴν δὲ μερικὴν μίαν ὑπόστασιν λέγοντες, ὅπως ὁμολογηθὲν τοῦτο, καὶ ὀχυρωθὲν αὐτοῖς, ὅπλον γένηται πρὸς καθαίρεσιν τοῦ ἀληθινοῦ, καὶ ἀκαθαιρέτου δόγματος. εἰ γὰρ τοῦτο τὸ παρ' ἐκείνοις ὡμολογημένον ἀληθείας εἴχετο, ἔμελλεν αὖ τις πρὸς τὴν ἐν Χαλκηδόνι συγκροτηθεῖσαν ἁγιωτάτην φάναι σύνοδον. εἰπέ

μοι,

habet lineas definientes, nequaquam ſubiicitur menſurationi, non enim habet ὁριστικὸν σταυρὸν, id eſt, lineam partientem in modum crucis, qua poſsit cognoſci, quantus ſit; poſtquam autē factus fuerit circulus particularis, ſpecialis, & definitus; ſtatim menſura circumſcribetur, quātam habeat magnitudinem. igitur circulus, qui ſimpliciter dicitur, natura quidem indefinite menſuratur. definitè verò non ſubiicitur menſuræ. Sic humanum corpus ab æterno filio aſſumptum, corpus quidem eſt natura, quatenus verò commune, nequaquā ſub ſenſum cadens, incorporeum vocatur; poſtquam verò ſignatur proprietatibus definitis, continuò definitè ſub ſenſum cadit, vocaturque ſenſile, & tactile.

Neque character proprietatum res particularis eſt, id eſt, hypoſtaſis, character enim non eſt alterius, id eſt, alterius hypoſtaſis in Chriſto, niſi æterni filij, ſicut character proprietatū cuiuſque, non eſt alterius character, quàm eius, cuius eſt character. Vnde æternus filius idem eſt Deus & homo, id eſt, idem eſt ante omnia ſæcula ex Patre genitus, & Ieſus ex Virgine Maria in fine ſæculorum ſine virili ſemine natus, qui eſt vna hypoſtaſis Trinitatis. quocirca propriè & verè caſtiſsima, & omnis maculæ expers virgo ſtirpis Dauidicæ Deipara, id eſt, mater Dei prædicatur. hæc enim æternum peperit filium factum hominem, ſicut nos in omnibus excepto peccato, Ieſum appellatum, ſicut vnuſquiſque noſtrum appellatur Petrus, verbi gratia, aut Paulus, aut alio quocunque nomine proprio. Clariſsimè igitur demonſtratum eſt, quod etſi communem rem aſſumpſit æternus filius, quæ quidem incorporea eſt, ſcilicet ſubſtantiam humanam, non tamē negatur corporatum eſſe, id eſt, incarnatum, factumque eſſe hominem, vt aiunt hæretici amentes. atq; hoc rurſus ſcire oportet, quod hæretici ea de cauſa properant ad conſtituendum, eſſe naturam communē, & particularem, communem quidem omnes hypoſtaſes, particularem verò vnam hypoſtaſim, vt hoc conceſſum, & confirmatū, telum ipſis efficiatur ad labefactādum verum, & inuiolabile dogma. Si enim hoc, quod illi profitentur, verum eſſet, eſſet aliquid dicendum contra ſanctiſsimam Synodum Chalcedo-

cedo-

μοι, αἱ δύο φύσεις αὗται, αἱ ἐν Χριστῷ κηρύττεις κοιναί εἰσιν, ἢ μερικαί; εἰ μὲν οὖν ἀποκρίνοιτο, κοινὰς εἶναι, εὐθὺς συλλογίζεται κατ' αὐτῆς λέγων, ὁ Χριστὸς ἄρα κατά σε, πᾶσαι αἱ τῆς θεότητος ὑποστάσεις ἐστίν, ὅπερ ἄτοπον. εἰ δὲ μερικὰς εἶναι φήσειεν, ἐμπεσεῖται τῷ τοῦ Νεστορίου βλασφημήματι, ὡς δύο ἐν Χριστῷ ὑποστάσεις * ὁμολογοῦσι. διὸ τοῖς τῆς ἁγίας συνόδου προμάχοις, καὶ ὑπερασπισταῖς, ἀναγκαῖον ἀποδεῖξαι τὴν φύσιν, μήτε κοινὴν, μήτε μερικὴν λέγεσθαι, ὡς ἐκεῖνοι φασίν. ἀλλὰ κοινὸν πρᾶγμα, φεῦγον τὴν ἀτοπίαν ἑκατέρων, ὅπερ οὐκ ἔστιν, οὔτε πᾶσαι αἱ ὑποστάσεις, οὔτε μία ὑπόστασις, ἀλλὰ τὸ θεωρούμενόν τι, καὶ εὑρισκόμενον ὁλικῶς ἐν ἑκάστῃ τῶν ἑαυτοῦ ὑποστάσεων.

* f. ὁμολογήσεις.

Ἀποδείκνυται δὲ σὺν θεῷ τῷ φωτολογοῦντι τοιαύταις ἀποδείξεσιν. πᾶν πρᾶγμα κοινὸν πολλῶν ἐστι κατηγορούμενον. εἰ μὲν οὖν ἡ φύσις κοινῶς λεγομένη πᾶσαι αἱ ὑποστάσεις, ἄρα πᾶσαι πασῶν ἑαυτῶν κατηγορηθήσονται. τὸ δὲ πολλῶν κατηγορούμενον, ὅλον ἐν ἑκάστῳ τῶν πολλῶν εὑρίσκεται, ὧν κατηγορεῖται· κἀντεῦθεν συναχθήσεται πάσας τὰς ὑποστάσεις, καθ' ἑκάστην ἑαυτῶν ὑπόστασιν εὑρίσκεσθαι, ὅπερ ἀδύνατον. ὥστε μὴ εἶναι τὴν φύσιν πάσας τὰς ὑποστάσεις. τὴν γὰρ φύσιν κατ' ἐκείνους κοινῶς νοουμένην, δεῖ κατηγορεῖσθαι τῶν ὑποστάσεων, μὴ λέγεσθαι μερικὴν τὴν φύσιν, ὡς ἐκεῖνοι φασίν, ὡς ἐντεῦθεν ἀποδειχθήσεται. εἰ γὰρ ἡ φύσις μερική, κατ' ἐκείνους νοουμένη, ὑπόστασίς ἐστιν, ἀνάγκη πᾶσα κατ' αὐτοὺς τόν τε πατέρα, καὶ τὸν υἱόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον τρεῖς μερικὰς ἀριθμεῖσθαι φύσεις, καὶ τρεῖς ὁμολογεῖσθαι θεούς, καὶ τρεῖς θεότητας, ὃ δὴ βλασφημιῶν ἐστιν ἁπασῶν ἀκροτάτη, μᾶλλον δὲ τοῦ χριστιανισμοῦ παντελὴς ἄρνησις. ὥστε δῆλοι πεφήνασιν ἀνοήτως λέγοντες, μερικὴν εἶναι φύσιν, οἱ παράφρονες αἱρετικοί. καὶ παντόθεν στεφανοῦνται κατ' αὐτῶν βασιλικῷ διαδήματι τῶν ὀρθοδόξων ἡ πίστις, ἡ τὸν χριστὸν ἤγουν τὸν ἀΐδιον υἱὸν ἐνανθρωπηκότα μίαν ὑπόστασιν εἶναι, καὶ δύο φύσεις ὁμολογοῦσα τὸν αὐτὸν ὁμοῦ θεόν τε, καὶ ἄνθρωπον, ὑποκείμενον τὸν αὐτὸν ταῖς δύο φύσεσιν πρὸς κατηγορίαν.

cedonensem. Dic mihi, hæ duæ naturæ, quas in Christo prædicas, communes sunt, an particulares? Si igitur respondeat, communes esse, statim ratiocinatur, qui secundum eos loquitur, Christus igitur secundum te est omnes hypostases diuinitatis, quod quidem absurdum est; Sin verò dicat particulares esse, incidet in blasphemiam Nestorij, tanquam qui confiteatur duas in Christo hypostases. Quamobrem patronis, & defensoribus Synodi Chalcedonensis necesse est demonstrare, naturam neque communem, neque particularem dici, sicut illi dicunt; sed communem rem, quæ absurditatem vtrorumque fugit; quæ quidem communis res, nec est omnes hypostases; nec vna hypostasis; sed quæ spectatur, & reperitur ὁλικῶς, id est, tota, in vnaquaque hypostase.

Demonstratur autem (adiuuante Deo, qui illuminat) huiusmodi ratiocinationibus. Omnis res communis de multis prædicatur, quare si natura communiter dicta, est omnes hypostases, igitur omnes hypostases de se ipsis omnibus prædicabuntur. quod autem de multis prædicatur, totum in vnoquoque multorum, de quibus prædicatur, reperitur. ex quo inferendum erit. vnamquamque hypostasim esse sui hypostasim, quod est impossibile. vt natura non sit omnes hypostases. naturam enim secundum illos communiter cogitatam oportet prædicari de multis hypostasibus, non autem dici naturam particularem, vt illi dicunt, quemadmodum, ex his demonstrabitur. Si enim natura particularis, vt illi intelligunt, hypostasis est, necesse omnino est secundum eos Patrem, & Filium, & Spiritum sanctum; tres particulares naturas numerari, & tres deos dici, & tres deitates, quæ est summa omnium blasphemia; quin potius Christianismum penitus negare, quamobrem manifestum est amentium hæreticorum esse, quod aiunt esse naturam particularem; & ex omni parte contra eos regia corona redimitur fides orthodoxa, quæ Christum, æternum scilicet filium factum hominem vnam hypostasim esse, & duas naturas confitetur eundem Deum simul & hominem, eundem subiectum duabus naturis vt de

γορίαν. καὶ γὰρ ἑκατέρα τῶν δύο φύσεων κατηγορεῖται αὐτοῦ, καὶ μεταδίδωσιν αὐτῷ τοῦ τε ὀνόματος αὐτῆς, καὶ τοῦ ὁρισμοῦ. ὅθεν ὁ ἀΐδιος υἱός ἐστι θεός, ὡς ὁ πατὴρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὸν τοῦ θεοῦ ὁρισμὸν ἐπιδέχεται, ὃν τρόπον ἐκείνων ἕκαστος, καί ἐστιν ὁ αὐτὸς ἀΐδιος υἱὸς ἄνθρωπος, ὡς καί ἐστιν ἡμῶν ἕκαστος. καὶ τὸν τοῦ ἀνθρώπου ὁρισμὸν ἐπιδέχεται τοῦτ' ἔστι τὸ εἶναι ζῶον λογικὸν, θνητὸν, καὶ ἐπιστήμης δεκτικόν. καθ' ὃν τρόπον ἡμῶν ἕκαστος.

Ὁ δὲ λέγων τὸν χριστὸν μίαν εἶναι σύνθετον φύσιν, ὥς ἐστι μία σύνθετος ὑπόστασις, ὀνόματι φιλοσοφικῷ, τήν τε φύσιν ταύτην ὀνομάσαι, καὶ τὴν ὑπόστασιν, ὡσαύτως βιασθήσεται. τὴν μέν τοι ὑπόστασιν πάντως καλέσειεν ἀΐδιον υἱὸν σεσαρκωμένον. τῇ δὲ φύσει τίνα κλῆσιν ἄρα ἐφαρμόσειν δυνήσεται; εἰ γὰρ θεὸν ταύτην ὀνομάσειεν, ἀρνήσεται τὴν ἀνθρωπότητα. εἰ δὲ ταύτην ἄνθρωπον προσαγορεύσειεν, ἀνελεῖ τὴν τριάδα. εἰ δὲ μήτε θεὸν, μήτε ἄνθρωπον ταύτην ὀνομάσειεν, τὸν χριστὸν ἄρα παραστήσεται, μήτε θεὸν εἶναι, μήτε ἄνθρωπον. καὶ πρὸς τῇ αἰσχύνῃ, καὶ μεγίστῳ περιπεσεῖται βλασφημήματι, καὶ ἀπωλείας χάσματι. ποῖον γὰρ ἐφεύροι ὁ δύστηνος, τῇ δε τῇ κενῇ, καὶ νοθεῖ φύσει ἁρμόδιον ὄνομα, ὅτι μὴ σκινδαψὸς, ἢ τραγέλαφος, ἢ ἄλλό τι τῶν τοιούτων.

Τοῦτο δὲ μάλιστα δεῖ γινώσκειν ὑμᾶς, ὦ φιλομαθέστατοι, ὡς ἡμεῖς οἱ ὀρθόδοξοι τὸν χριστὸν εἶναι μίαν σύνθετον ὑπόστασιν λέγοντες, οὐχ ἑτέραν παρὰ τὴν τοῦ ἀϊδίου υἱοῦ νοοῦμεν, ὑπόστασιν τὴν μίαν οὖσαν τῆς τριάδος. οὐ γὰρ καινήν τινα συνεισφέρειν ἀνεχόμεθα, μὴ γένοιτο. ἀλλ' οὖν ὁ τρόπος σαφηνιζέσθω τῆς ὑποστατικῆς συνθέσεως. σύνθετον δὴ διχῶς εἶναι τὴν τοῦ ἀϊδίου υἱοῦ λέγομεν ὑπόστασιν. λέγεται γὰρ σύνθετος ἐκ θεότητος, καὶ ἀνθρωπότητος. λέγεται πάλιν σύνθετος, ὡς ἐκ ψυχῆς, καὶ σώματος τῶν ἀνθρώπων ἕκαστος. ἀλλ' ἐκ θεότητος, καὶ ἀνθρωπότητος οὐ λέγεται κύριος σύνθετος, μεταφορικῶς δέ. πᾶν γὰρ κυρίως σύνθετον ὂν, οὐκ ἦν παντάπασιν πρὶν ἢ συναφθῆναι τὰ ἐξ ὧν συντέθηται. τὸν δὲ χριστὸν οὐ φαμὲν ἁπλῶς μὴ εἶναι παντελῶς πρὸ τῆς συνόδου τῆς θεότητός τε, καὶ ἀνθρωπότητος ἐξ ὧν συνετέθη. ἀλλὰ τὸν χριστὸν λέγομεν

μὴ

eo prædicentur. vtraque enim natura de eo prædicatur, & communicat cum eo & nomen, & definitionem. vnde æternus Filius est Deus, sicut Pater, & Spiritus sanctus, & definitionem Dei recipit, sicut vnusquisque illorum, estque idem æternus filius homo, sicut est vnusquisque nostrum; & definitionem hominis recipit, id est, animal rationale mortale, mentis & disciplinæ capax, sicut vnusquisque nostrum.

Qui autem dicit, Christum vnam naturam compositam esse, sicut est vna composita hypostasis, cogetur nominare nomine philosophico hanc, naturam, & similiter hypostasim. atq; hypostasim quidem omnino vocauerit æternum filium incarnatum. naturæ verò quam appellationem accommodare poterit? Si enim hanc appellet DEVM, negabit humanitatem: sin autem hanc appellet hominem, tollet Trinitatem. Sin verò hanc neque Deum, neque hominem nominet, Christum igitur statuet neque Deum esse, neque hominem. incidetque in dedecus, & maximum crimen, & interitum. Quod enim nomen miser inuenire poterit inani, & tardæ naturæ accommodatum? non enim nomen scindapsus, aut tragelaphus, aut aliud huiusmodi.

Hoc autem maximè aduertendum est, vobis qui studio discendi tenemini, quod nos orthodoxi cùm Christum vnam hypostasim compositam esse dicimus, non aliam hypostasim, quàm hypostasim æterni filij intelligimus, quæ vna est Trinitatis, non enim patimur aliquam communem induci, absit. Sed declaremus modum hypostaticæ compositionis. Compositam quidem dupliciter esse æterni filij Dei hypostasim dicimus. dicitur enim composita ex diuinitate, & humanitate: & dicitur rursus composita ex anima & corpore, sicut vnusquisque homo. Sed ex deitate & humanitate non dicitur propriè composita, sed metaphoricè, siue translatè. omne enim quod propriè compositum est, non erat prius quàm copulata essent ea, ex quibus compositum est. Christum verò non dicimus simpliciter, & absolutè non esse Christum ante diuinitatis cum humanitate à quibus componitur,

 con-

μὴ εἶναι χριστὸν μετὰ προδιορισμοῦ πρὶν ἢ συνελθεῖν ἐν αὐτῷ τὴν θεότητά τε, καὶ ἀνθρωπότητα. ὧν καθ' ὑπόστασιν συνδραμουσῶν εἰς ἀσύγχυτόν τε, καὶ ἄτρεπτον ἕνωσιν, μετενήνεκται ἐπ' αὐτὸν ἡ σύνθεσις ἀπὸ τῆς ἀληθῶς οὔσης συνθέσεως, καὶ μεταφορικῷ τρόπῳ κέκληται σύνθετος ἐκ θεότητός τε, καὶ ἀνθρωπότητος. τὸ γὰρ κυρίως ἐκ πράγματος συντιθέμενον, ἄλλῳ τινὶ κατονομάζεται παρὰ τῶν πραγμάτων ὀνόματι, ἀφ' ὧν συνετέθη, ἅτε τρίτον ἀποτέλεσμα γεγονώς, παρὰ τά, ἀφ' ὧν συντέθειται. τοῦ γὰρ ἀνθρώπου συντεθέντος ἐκ ψυχῆς, καὶ σώματος, οὐ κατονομάζεται τὸ ἄνθρωπος ὀνόματι, οὔτε ἡ ψυχή, οὔτε τὸ σῶμα. ὁ μέντοι χριστὸς τρόπῳ τινὶ συντεθειμένος ἐξ ἀϊδίου τε υἱοῦ, καὶ τῆς ἀνθρωπότητος, αὐτὸς ὁ ἀΐδιος υἱός ἐστι ὁ χριστός, εἰ καὶ μὴ χριστὸς κέκληται πρὸ τῆς αὐτοῦ σαρκώσεως. ἐντεῦθεν αἱ ἅγιαι γραφαὶ πᾶσαι, καὶ ἡ κατὰ νικαίαν τῶν ἁγίων τριακοσίων δεκαοκτὼ πατέρων θεόκλητος σύνοδος, τὸν κύριον Ἰησοῦν χριστὸν κηρύττουσιν ἐκ τοῦ πατρὸς γεγεννῆσθαι πρὸ πάντων τῶν αἰώνων, καὶ τοὺς αἰῶνας πεποιηκέναι· καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα προσενηνοχέναι· σοφίαν τε τοῦ πατρὸς εἶναι, καὶ λόγον, καὶ δύναμιν. εἰ δὲ ἦν τὸ συντεθὲν ἐκ θεότητός τε, καὶ ἀνθρωπότητος, τοῦτ' ἔστι ὁ χριστὸς ὑπόστασις, καινὴ παρὰ τὴν ἀΐδιον, οὐκ ἂν εἴη ὁ χριστὸς ἐκ πατρὸς πρὸ πάντων τῶν αἰώνων γεγεννημένος, οὐδὲ ποιητὴς τῶν αἰώνων, οὔτε μὴν σοφία τοῦ πατρός, καὶ λόγος, καὶ δύναμις. οὕτω τοίνυν λέγεται ὁ κύριος Ἰησοῦς Χριστός, ἤγουν, ἡ μία σύνθετος ὑπόστασις, ἐκ θεότητός τε, καὶ ἀνθρωπότητος συντεθεῖσθαι, οὐχ, ὡς φαμὲν πᾶν σύνθετον συγκεῖσθαι, ἐξ ὧν συνέστηκεν.

Κατὰ δεύτερον δὲ τρόπον ὁ κύριος Ἰησοῦς Χριστός, τοῦτ' ἔστι, ὁ σεσαρκωμένος ἀΐδιος μονογενὴς υἱὸς τοῦ θεοῦ λέγεται συντεθεῖσθαι ἐκ ψυχῆς τε, καὶ σώματος, ὡς ἔφθημεν εἰπόντες. ἐπειδὴ γὰρ ὁ ἀΐδιος υἱὸς θεὸς ὢν φύσει γέγονεν ἄνθρωπος, ὡς εἷς ἐξ ἡμῶν, μεμενηκὼς θεὸς οἷος καὶ πρώην, λέγεται κατ' αὐτοῦ πάντως, ὅσα καθ' ἡμῶν ἑκάστου. ὡς οὖν ἕκαστος ἡμῶν σύνθετός ἐστι ἐκ ψυχῆς, καὶ σώματος, καὶ αὐτὸς παραπλησίως ἡμῖν κεχρημάτικεν ἐκ ψυχῆς τε,

καὶ

coniunctionem: sed dicimus non esse Christum, cùm determinatione, prius scilicet quàm in eo congressum haberent diuinitas, & humanitas, quibus congressis in vnionem confusionis, & mutationis expertem, translata est in eum compositio à vera compositione, & modo metaphorico vocata est composita ex deitate, & humanitate. Quod enim propriè ex re compositum est, alio quodam nomine, quàm nomine earum rerum, ex quibus compositum est, nominatur. homine enim composito ex anima & corpore, non nominatur nomine hominis anima, neque corpus. Christus tamen quodammodo compositus ex æterno Filio, & humanitate, ipse æternus Filius est Christus; tametsi non est appellatus Christus ante incarnationem suam. Hinc Scripturæ sanctæ, & sancta Nicæna CCC. XVIII. Patrum à Deo congregata Synodus Dominum IESVM CHRISTVM prædicat ex Patre genitum ante omnia sæcula, & sæcula fecisse; & omnia ex nihilo fecisse, vt essent; esseque sapientiam Patris, & verbum, & virtutem. Si autem esset compositum ex diuinitate, & humanitate, id est, Christus noua hypostasis præter æternam, non esset Christus ex Patre ante omnia sæcula genitus, nec auctor sæculorum, neque sapientia Patris, & verbum, & virtus. Sic igitur dicitur Dominus IESVS CHRISTVS vna scilicet composita hypostasis, ex diuinitate, & humanitate composita esse, non sicut dicimus compositum conflari ex quibus consistit.

Secundo modo IESVS CHRISTVS, id est, incarnatus, æternus, vnigenitus Filius Dei dicitur compositus esse ex anima, & corpore, sicut antea diximus, quia enim æternus Filius natura Deus factus est homo tanquam vnus nostrum, manens alioqui Deus, qualis antea, de eo dicuntur, quæcunque de vnoquoque nostrum. vt ergo quisque nostrum compositus est ex anima & corpore, similiter & ipse compositus

καὶ σώματος. διχῶς ἄρα σαφῶς ἀποδέδεικται τὸν Χριστὸν σύνθετον λέγεσθαι, καθ' ἃ προειρήκαμεν, ἔκ τε θεότητός τε, καὶ ἀνθρωπότητος, καὶ ἐκ ψυχῆς, καὶ σώματος, τὸν ἀΐδιον υἱὸν ὄντα. τοῦτ' ἔστι τὴν μίαν τῆς τριάδος ὑπόστασιν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ, καὶ τῷ παναγίῳ αὐτοῦ πνεύματι εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ἀμήν.

III.

Διάλογος Θεοδώρου τοῦ γεγονότος Ἐπισκόπου Καρῶν, τὸ ἐπίκλην Ἀβουκαρᾶ. γενόμενος πρὸς * τὸν τοῦ δρόμου Ἐμέσης, αἰτησάμενον ἀπόδειξιν ἀποδοθῆναι αὐτῷ ἀπολογισμοῦ, ὅτι ἔστι θεός.

* Genebr. vertit: cum Emeseno cursore. Malim cũ praefecto cursorum, seu veredariorum, quẽ Germani vocant, den Postmeister: Graeci λογοθέτην τοῦ δρόμου.

Πρόσκειται οὖν τῷ μὲν προσώπῳ τοῦ ὀρθοδόξου Α. τῷ δὲ τοῦ ἀπίστου Β.

Β. Ἀπόδος, ὦ οὗτος, ἀπόδειξιν, ὅτι ἔστι θεός. Α. ἅπας ἀριθμὸς προσδεχόμενος προσθήκην, καὶ πέρας ἐπιδέχεται. ὁ οὖν τῶν ἀνθρώπων ἀριθμὸς ἐπιδεχόμενος προσθήκην, πεπερασμένος ἐστὶν, εἰ καὶ ἡμεῖς ἀγνοοῦμεν τὴν ποσότητα, ἀλλ' ὑποθώμεθα συντομίας καὶ σαφηνείας ἕνεκεν, εἶναι τοὺς πάντας ἀνθρώπους ἑκατόν. ἀδύνατον δὲ τούτους ἅπαντας γεννητοὺς ὑπάρχειν, ἐξ ἀλλήλων μὲν γὰρ γενεαλογοῦνται, ἀλλὰ ἀναποδίζων ὁ νοῦς τὴν γενεαλογίαν ἐπὶ τὰ ἄνω εἰς ἕνα καταντᾷ πάντως ἀγέννητον. οὐ γὰρ ἐνδέχεται ἐπὶ τὸν πρῶτον ἐλθόντας εἰπεῖν αὐτὸν ἐξ ἄλλου γεγεννῆσθαι· ἐπεὶ κἀκεῖνος ἐξ ἑτέρου γεγεννημένος ἂν εἴη. μέχρις ἂν ἐπὶ τὸν πρῶτον ἀγέννητον τὸν νοῦν ἐπερείσωμεν. ἀνάγκη τοίνυν τοῦτον, ἢ ἐκ τῆς γῆς φῦναι, καθάπερ τὰ βλαστήματα, ἢ ἀΐδιον εἶναι, ἢ ὑπό τινος δημιουργοῦ πεποιῆσθαι. ἀλλ' εἰ μὲν ἐκ τῆς γῆς ἐβεβλαστήκει, καὶ εἰς ἔτι ἂν ἄχρι τοῦ παρόντος ἑτέρους ἐβλάστανεν, ὥσπερ καὶ τὰ τῶν δένδρων, καὶ βοτανῶν εἴδη. ἐπειδὴ δὲ οὐχ ὁρῶμεν τοῦτο γινόμενον, δῆλον, ὅτι οὐδὲ τὸν πρῶτον ἐβλάστησε. οὐδὲ μὴν ἀΐδιος ἦν. εἰ γὰρ ἄναρχος, καὶ ἀΐδιος ὑπῆρχεν, οὐκ ἂν ἐτεθνήκει, οὐδ' ἂν ἀπώλετο. τὸ γὰρ ἄναρχον, καὶ ἀτελεύτητον. λείπεται τοιγαροῦν * αὐτὸν πεποιῆσθαι, τὸ δὲ πεποιημένον ἔχει ποιητήν. ἄρα τῶν ἀνθρώπων ἐστὶ κτίστης τε, καὶ ποιητής.

*αὐτὸ πεποίηται.

Δέχου

ex anima & corpore vocatus eſt. Demonſtratum igitur eſt, dupliciter Chriſtum compoſitum dici, ſicut prius diximus, ex diuinitate, & humanitate; & ex anima & corpore, æternum Filium, id eſt, vnam hypoſtaſim Trinitatis. cui gloria & imperium cum Patre ſine principio, & ſancto Spiritu in ſæcula ſæculorum, Amen.

Beati Theodori Epiſcopi *Charran cognomento Abucara dialogos πρὸς τὸν τῶ δρόμου ἐμίσης, qui petierat, vt ratiocinatione demonſtraret, Deum eſſe. III.

*Lege Carum. Fuit enim Caria Epiſcopus, nō Charrarum in Meſopotamia.

Franciſco Turriano interprete.

A. Orthodoxus. B. Infidelis.

B. Demonſtra eſſe Deum. A. Omnis numerus, qui recipit acceſsionem, finem quoq; recipit. numerus igitur hominum acceſsionem recipiens, finitus eſt, quamuis nos quantus ſit, ignoremus, ſed ponamus breuitatis, & declarationis gratia, omnes homines eſſe centum. fieri non poteſt, vt hi omnes fuerint geniti. alij quidem ex aliis ortum ducunt, ſed mens rationem ortus, & originis ſurſum reuocans, omnino ad vnum non genitum euadit, cùm enim ad primum deuenerit, non poteſt dicere, ex alio ortum eſſe, quia & ille alius ex alio item generatus eſſet, donec in primo mens conſiſtat fixa. neceſſe igitur eſt ex terra natum eſſe hunc inſtar arborum, aut æternum eſſe, aut ab aliquo creatore factum eſſe. Sed ſi è terra ortus fuiſſet, adhuc vſque in hodiernum diem alios terra procrearet, ſicut fit in genere arborum, & herbarum. at quia hoc fieri non videmus, manifeſtum eſt, neque primùm procreaſſe: ſed nec æternus erat. Si enim principio caruiſſet, eſſetque æternus, nunquam mortuus fuiſſet, neq; interiſſet. Quod enim principium non habet, neque finem habet. relinquitur igitur, vt factus fuerit. quod autem factum eſt, auctorem habet. eſt igitur creator, & auctor hominum Deus.

Δέχου δέ, καὶ ἄλλην ἀπόδειξιν εἰς θεογνωσίαν καθοδηγοῦσαν. εἰπέ μοι εἰ βῶλον ἐκ τῆς γῆς λαβὼν ἐφ' ὑψηλὸν ἀναβαίην δωμάτιον, κἀκεῖθεν τοῦτον ἀφείην, οὐχὶ φύσει κατωφερὴς ὢν ἐπὶ τὰ κάτω διηνεκῶς φέρεται μέχρις ἂν ἐπὶ στερεώτερον, καὶ ἀκίνητον ἐρεισθῇ; Β. ναί. Α. οὕτως καὶ ἡ γῆ. ἐκ γὰρ τοῦ μέρους τὸ πᾶν καταλαμβάνεται. καὶ μὴ γὰρ κάτωθεν εἶχέν τι στερεώτερον ὑπερεῖδον αὐτήν, οὐκ ἂν ἔληξεν κάτω φερομένη. νῦν δὲ ταύτην ὁρῶμεν ἀσάλευτον. ἔστιν ἄρα δύναμίς τις ἰσχυροτέρα ἡ ταύτην ὑπερείδουσα, καὶ βαστάζουσα, ἥτις ἐστὶν ὁ τοῦ θεοῦ λόγος. εἰ γὰρ ἕτερον ὑπεῖναι σῶμα φαίη τις ὑπερεῖδον αὐτήν, τί τὸ κἀκεῖνο βαστάζον; καὶ οὕτω διατείνων τὴν ἔρευναν ὁ λογισμός, οὐ παύεται ἄχρις ἂν ἐπί τι πέρας στῇ βασταζομένων. οὐ γὰρ ἂν ἄπειρος κάτωθεν εἴη, ἄνωθεν πεπερασμένη. τὸ γὰρ ἐξ ἑνὸς μέρους πεπερασμένον, καὶ ἐκ τοῦ ἄλλου δῆλον, ὅτι πέρας ἕξει. εἰ γὰρ σπαρτίον καθ' ὑπόθεσιν ἦν ἐκ τοῦδε τοῦ μέρους τῆς γῆς, ἕως τοῦ ἑτέρου διῆκον μέρους. ἐπιλαβόμενος δὲ τοῦ ἐπιφαινομένου ἄκρου τοῦ σπαρτίου, ἐξείλκυσα δύο, ἢ τρεῖς πήχεις, οὐχὶ καὶ ἐκ τοῦ ἑτέρου ἀφανοῦς μέρους, ἀνάγκη ἀποσπασθῆναι τὸ ἄκρον τοῦ σπαρτίου, ἐξελκόμενον ἐπὶ τὰ ἄνω τοσοῦτον, καθόσον ἐξείλκυσα μέτρον; ἐντεῦθέν ἐστι σαφῶς εἰδέναι τὴν γῆν τὸ πέρας ἔχειν κάτωθεν. ὥστε ἐκ τούτων ἀποδέδεικται, ὅτι τῶν ὄντων ἐστὶ ποιητής.

Β. Καλῶς πάνυ ἀπέδειξας. καὶ χάριν ἔχω σοι τῆς ὠφελείας. πόθεν δὲ τοῦτον τὸν ποιητὴν ἀποδείξεις, υἱὸν ἔχειν; Α. οὐκ οἶσθα, ὅτι, ἄλλο ἐστὶ τὸ τύπτον, καὶ ἄλλο, τὸ τυπτόμενον, καὶ ἄλλο, τὸ βλέπον, καὶ ἄλλο, τὸ βλεπόμενον; καὶ ἄλλο, τὸ γινῶσκον, καὶ ἄλλο, τὸ γινωσκόμενον; Β. ναὶ τοῦτο πάντως οὕτως ἔχει. οὐ γὰρ δύναται τὸ αὐτὸ εἶναι τὸ ἐνεργοῦν, καὶ τὸ πάσχον. Α. ὁ δὲ θεὸς οὐχὶ ἁπλοῦν ἐστι, καὶ παντελῶς ἄκρατον, καὶ ἀμιγές, καὶ ἀσύνθετον; Β. οὕτως ὤφειλεν εἶναι. Α. τὸ οὖν πάντη ἁπλοῦν, καὶ ἓν κατὰ πάντα πῶς ἑαυτὸ γινώσκει; δέδοται γὰρ ἄλλο εἶναι τὸ γινῶσκον, καὶ ἄλλο, τὸ γινωσκόμενον. καὶ τοῦτο μάλιστα θεωρεῖται ἐπὶ τῶν μονομερῶν, καὶ ἁπλῶν. τῶν γὰρ ἐκ μερῶν συγκειμένων τάχα δυνήσεται μέρος μὲν ὁρᾶν, μέρος δέ τι ὁρᾶσθαι, καί τι μὲν γινώσκειν, τὶ δὲ γινώσκεσθαι. τὸ τοιοῦτον δὲ σύνθεσιν ἐξ ἀνάγκης εἰσάγει. ὁ δὲ θεός, συνθέσεως πάσης ἀνεπίδεκτος, ὁ πάσης ἀϋλίας, καὶ ἁπλότητος ἐπέκεινα. ἀνάγκη τοίνυν δυοῖν θάτερον εἰπεῖν,

Accipe aliam demonstrationem, quę ad cognitionem Dei deducit. Dic mihi, si glebam è terra acciperem, & in altum tectum ascenderem, & inde hanc dimitterem, an non natura perpetuo deorsum ferretur, quousque in firmiore quopiam, & immobili firmaretur? B. Maxime. A. Sic etiam terra, ex parte enim intelligitur totum. nisi enim haberet aliquid firmius, quod ipsam fulciret, nunquam desineret ferri deorsum. nunc autem videmus hanc immotam, est igitur vis aliqua fortior, quæ hanc sustinet, & portat, quæ est verbum Dei. Si enim dicas aliud corpus subesse, quod eam sustineat, quid erit, quod illud ipsum corpus portat, & sustinet? atque ita cogitatio scrutari pergens, non cessabit quousque quiescat in aliquo termino, & extremo, quod sustinetur. non enim est inferne infinitum, quod est superne terminatum. quod enim est ex vna parte terminatum, etiam ex alia terminum habebit. nam si funis, vt ita ponamus, ex hac parte terræ vsque ad alteram partem pertingat, ipse vero summã partem funis, qui videtur, apprehendam, & duobus aut tribus cubitis eum protendam, annon necesse erit, ex altera parte, quæ non apparet, auelli summam partem funis tanto spatio sursum attractam, quanto ex altera parte attraxi? hinc licet perspicuè cognoscere habere terram finem inferne. Quare ex his demonstratum est, esse Deum omnium rerum auctorem.

B. Pulcherrimè demonstrasti. & gratiam habeo pro vtilitate mihi allata. Vnde autem demonstrabis hunc auctorem habere filium? A. Nonne scis aliud esse percussum, aliud percutiens? aliud videns, aliud quod videtur? aliud cognoscens, aliud, quod cognoscitur? B. Maximè. sic enim omnino habet. non enim potest idem esse agens, & patiens. A. Deus verò an non est quiddam simplex, & penitus purum, immixtum, & à compositione alienum? B. Sic oportet esse. A. Quod igitur est ex toto simplex, & per omnia vnum, quomodo seipsum cognoscit? concessum est enim aliud esse, quod cognoscit; & aliud quod cognoscitur. & hoc maximè spectatur, & cernitur, in simplicibus, & μονομερέσι, id est, vnius modi. Quod enim ex partib. compositũ est, poterit forte vna parte videre, & alia videri, quod autem eiusmodi est, necessario compositionem

εἰπεῖν, ἢ ὅτι ἑαυτὸν γινώσκει ὁ θεός, καὶ οὕτως ἐστὶ σύνθετος, καὶ πάλιν, ἡ πρώτη σύνθεσις, καὶ ὁμολογία ἀνατραπήσεται, ἄλλο μὲν τιθεμένη, τὸ γινῶσκον εἶναι, ἄλλο δὲ, τὸ γινωσκόμενον. ἢ ἐν ἀγνοίᾳ ἑαυτοῦ τὸν θεὸν καθεστάναι, ὅπερ καὶ αὐτὸ λίαν ἄτοπον. Β. ἀναντίρρητος ὁ λόγος. Α. ἐπεὶ οὖν ἄμφω πεφύκασιν ἄτοπα, πῶς ἑαυτὸν ὁ θεὸς εἴσεται μένων ἐν τῇ ἁπλότητι; Β. οὐ συνορῶ πῶς. Α. πᾶσα γνῶσις καθ' ἕνα τρόπον γίνεται. ἢ γὰρ ἐκ τῆς ἰδίας ὑπάρξεως γινώσκεται, ὡς ὅτ' ἂν ἴδω τινὰ, γινώσκω ἢ λευκός ἐστιν, ἢ μέλας, ἢ οὐλόθριξ, ἢ ἁπλόθριξ, ἢ εὐειδὴς, ἢ δυσειδὴς, μακρὸς ἢ κολοβὸς, ἢ ἐκ τοῦ ὁμοίου, ἤγουν ὁμοουσίου, καὶ ὁμοφυοῦς, οἷον πόθεν γινώσκεις, ὅτι καρδίαν ἔχεις, καὶ ἧπαρ, καὶ σπλῆνα, καὶ τὴν ἔνδον λοιπὴν διάπλασιν, καὶ οἰκονομίαν, ἣν οὐχ ἑώρακας πώποτε. εἰ μὴ ἐξ ἄλλου ὁμοφυοῦς ἐξ οὗ σε αὐτὸν τοιοῦτον ὑπάρχειν ἐπέγνωκας. ἐκ γὰρ τῶν ὁμοίων τὰ ὅμοια καταλαμβάνεται. τρίτον, ἐξ ἴχνους τινὸς πολλάκις γνωρίζεται τὸ πρᾶγμα. οἷον, εἰ παρέλθοιμι διά τινος ἀρούρας ἠροτριασμένης, καὶ εἰργασμένης ὑπό τινος εἰργάσθαι ταύτην γινώσκω ἐκ τοῦ ἴχνους, εἰ καὶ τοὺς ἀροῦντας οὐ τεθέαμαι. καὶ πάλιν, εἰ ἀπό τινος πύργου τετειχισμένου πάντοθεν ἴδω βέλος, ἢ λίθον εἰς ὕψος ἀκοντιζόμενον ὑπό τινος ἐξηκοντίσθαι καταλαμβάνομαι. τέταρτον ἐξ ἰνδάλματος πολλάκις γινώσκεταί τις. εἰ γὰρ κατέχων ἔσοπτρον μορφήν τινος ὄπισθέν μου ἱσταμένου, καὶ ἐνατενίζοντος εἰκονισθεῖσαν ἐν αὐτῷ κατοπτρίσομαι· γινώσκω εἰ φαλακρός ἐστιν, ἢ σιμὸς, ἢ γρύπος, ἢ μεγαλόφθαλμος, ἀπὸ τοῦ ἐντυπωθέντος τῷ ἐσόπτρῳ ὁμοιώματος. πέμπτον, ἐκ τῶν ἐναντίων τὰ ἐναντία γινώσκεται πολλάκις. ὡς, ὅτι τῷ Ἀδὰμ εἶπεν ὁ θεὸς, ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανῇ. πόθεν ᾔδει ὁ Ἀδὰμ τί ἐστι θάνατος, μὴ δέ ποτε αὐτὸν ἑωρακώς; οὐ γὰρ προεῖδεν ἀποθνήσκοντά τινα, εἰ μὴ ἐκ τοῦ ἐναντίου, ἤγουν ἐκ τῆς ζωῆς. ἡ γὰρ στέρησις τῆς ζωῆς δῆλον ὅτι θάνατος. οὕτως καὶ ὁ πλούσιος τὴν πενίαν, καὶ ὁ ὑγιὴς τὴν νόσον ἐπίσταται.

Κατὰ ποῖον οὖν τῶν πέντε τρόπων τούτων ἑαυτὸν ὁ θεὸς οἶδεν; ἐξ

αὐτοῦ

tionem secum infert;Deus autem non potest esse compositus, qui est supra omnem simplicitatem, & omnem vacationem * materiæ, quare necesse est alterum duorum dicere, aut quod se ipsum cognoscit Deus, & ita erit compositus, & rursus primũ,quod posuisti, & concessisti, euertetur. Posuisti enim aliud esse quod cognoscit; & aliud,quod cognoscitur.aut quod se ipsum ignorat,quod est valde absurdũ. B. Non potest contradici. A. Igitur quandoquidem vtrumque est absurdum, Quomodo seipsum cognoscit Deus manens in simplicitate? B. Non intelligo,quomodo. A. Omnis cognitio fit vno quopiam ex quinque modis,aut enim cognoscitur ἐκ τῆς ἰδίας ὑπάρξεως,id est,ex propria essentia, vt cum videns aliquem,cognosco esse album vel nigrum, capillo crispo, vel non crispo, formosum vel deformem, longum aut curtum, aut cognoscitur ex simili,id est,ex eadem substantia,& natura,verbi gratia,vnde cognoscis,quod habes cor, & hepar, & splenem, & reliquã interiorem formationem, & dispositionem, quam nunquam vidisti, nisi ex alio eiusdem naturæ, ex quo te cognouisti talem esse. ex similibus enim similia comprehenduntur. tertius modus, ex vestigio quodam sæpe res cognoscitur, vt si transeam per agrum aliquem aratum, & cultum,ab aliquo,'excultum esse ex vestigio cognosco, quamuis non viderim aratores. & rursus, si ex aliqua arce vndique muris cincta videam telum, aut lapidem in sublime emissum, intelligo ab aliquo emissum esse. quartus modus, cùm aliquis cognoscitur ex imagine.Si enim teneam speculum, & formam in eo apparentem alicuius retro stantis, & in speculum intuentis spectem, cognosco, vtrum ille caluitiem habeat, aut sit simus, aut naso adunco, vel magnis oculis, à similitudine in speculo expressa. Quintus modus,sæpenumero contraria ex contrariis cognoscuntur, vt cum dixit Deus Adæ, quocunque die ex ligno comederis, morte morieris. vnde cognouit Adam, quid esset mors,cùm nunquam eam vidisset? non enim prius viderat aliquem mortuum.Cognouit scilicet ex contrario,id est,ex vita;priuatio enim vitæ mors est. sic diues paupertatem cognoscit; & sanus morbum.

ἀϋλίαν

cognitio ex propria essentia

ex simili

ex vestigio

ex imagine

ex contrariis

Quo igitur modo ex his quinq; cognoscit Deus se ipsum?

αὐτοῦ γινώσκειν, ἑαυτὸν οὐ δύναται. τοῦτο γὰρ δέδοται, ἄλλον εἶναι τὸν γινώσκοντα, καὶ ἄλλο, τὸ γινωσκόμενον, οὐδὲ μὴν ἐξ ἴχνους τινός. τὰ γὰρ ποιήματα πολλῷ διόπτρα, καὶ κατώπτρα. ἀλλ' οὔτι δι' ἐσόπτρου, οὔτι διά τινος τῶν τεσσάρων τρόπων. ἀνάγκη τοίνυν εἶναί τινα κατὰ πάντα ὅμοιον, ἤγουν ὁμοούσιον, καὶ συναΐδιον τῷ θεῷ ἐξ οὗ γνοίη ἑαυτόν. ἵνα μὴ ἀγνοῶν ἑαυτὸν καταλείποιτο. ὁρῶν γὰρ ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν, ὅμοιον ἑαυτῷ, κατὰ πάντα, ἑαυτὸν ἐν ἐκείνῳ ὁρᾷ· αὐτὸς γάρ ἐστιν ἡ εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. B. ἔστω δὴ, τὸν θεὸν ἔχειν τινὰ συναΐδιον, ὅμοιον, ὅπως ἑαυτὸν ἀπ' ἐκείνου γινώσκοι. πόθεν ἀποδείξεις, ὅτι υἱός ἐστιν; A. ἔοικεν τοῖς τῆς δικαιοσύνης ἐργάταις τῷ αὐτῷ μέτρῳ, καὶ ζυγῷ, ᾧ μετροῦνταί τι, καὶ σταθμῶνται ἀντιμετρεῖν τι, καὶ ἀντισταθμίζειν. εἰ γὰρ εἴην εἰληφὼς παρά σου χρυσίνους ἑκατὸν, ἐθέλοιμι δέ σοι τούτους ἀποδοῦναι τῷ ζυγῷ, ᾧ σταθμισάμενος εἴληφα ἐκείνῳ, καὶ σὺ παρ' ἐμοῦ οὐχ ἑτέρῳ ἀπολαβεῖν ὀφείλεις. στάθμιον γὰρ μικρὸν, καὶ μέγα ἐμίσησεν ἡ ψυχή μου, φησὶν ὁ θεός. πόθεν ἐπιστάμεθα, ὅτι ἐστὶν θεὸς, καὶ τὰ τοῦ θεοῦ ἰδιώματα; οὐχὶ ἐκ τῶν παρ' ἡμῖν; εἰ γὰρ αὐτὸν οὐχ ἑωράκαμεν πώποτε, οὐδ' ἐκ τῶν αὐτοῦ ποιημάτων αὐτὸν καταλαμβανόμεθα, ἀνάγκη πᾶσα ἐν παντελεῖ διαρκεῖν ἡμᾶς ἀγνωσίᾳ τοῦ θεοῦ. ἐκ τῶν οὖν παρ' ἡμῖν τιμιωτέρων τὸν θεὸν διαγράφομεν, τὰ ἡμῖν ἐπισυμβαίνοντα συμπτώματα παντελῶς ὑπεξαιροῦντες ἀπὸ τῶν ὑπὸ θεοῦ λεγομένων. οἷόν ἐστι παρ' ἡμῖν ζωὴ, καὶ θάνατος. τίνι πρέπει ἡμῖν τὸν θεὸν χαρακτηρίσαι, τῇ ζωῇ, ἢ τῷ θανάτῳ; B. δηλονότι τῇ ζωῇ. A. λέγομεν οὖν, ὅτι ὁ θεὸς ζωὴ, καὶ ζῶν ἐστιν. ἀλλ' ἐπειδὴ παρ' ἡμῖν ἡ ζωὴ, καὶ ἀρχὴν ἔχει, καὶ τέλος, καὶ ἐνδεής ἐστι. χρήζει γὰρ τῆς ἔξωθεν ἐπιρῥοῆς. βρώσεώς τε, καὶ πόσεως, καὶ τῆς τοῦ ἀέρος ἀναπνοῆς, καὶ τῶν τοιούτων, ἐξ ὧν ἡ σύστασις τῆς ἡμετέρας ζωῆς. ταῦτα πάντα τὰ συμπτώματα, καὶ ἐλαττώματα κάτω θέντες, καὶ ἀφελόντες, λέγομεν τὸν θεὸν ζῆν ζωὴν, καὶ τοιαύτην ζωὴν, τὴν μήτε ἀρχὴν, μήτε τέλος ἔχουσαν, μήτε τινὸς παντελῶς τῶν ἔξωθεν χρήζουσαν. ἢ οὐχ οὕτως ἔχειν σοι δοκεῖ; B. καὶ πάνυ θαυμασίως, καὶ εὐστοχώτατα ἐκ τῶν παρ' ἡμῖν τὸν θεὸν διαγράφεις, καὶ οὐκ ἔστιν αὐτὸν ἄλλοθεν εἰδέναι ἢ ἄλλως εἰπεῖν. A. οὕτως * ὦ φίλος, ἐπὶ τῶν λοιπῶν μοι νόει· ἐστι παρ' ἡμῖν ὅρασις, καὶ

τύφλω-

* Turrian. legit, ὀφείλεις ἐπὶ τῶν λοιπῶν μοι νοεῖν.

cognoſcere ſeipſum è ſe ſcilicet non poteſt, hoc enim datū eſt, alium eſſe qui cognoſcit; & alium, qui cognoſcitur. nec ex veſtigio aliquo, quæ enim facta ſunt, multò ſunt inferiora. neq; per ſpeculū; nec alio ex quatuor modis. neceſſe igitur eſt eſſe aliquem per omnia ſimilem, id eſt, homouſion, & coæternum Deo, ex quo cognoſcat ſeipſum, ne reliquum ſit ignorare ſeipſum. videns enim Deus filium ſuum ſibi per omnia ſimilem, ſeipſe in illo videt, ipſe enim filius eſt imago Dei inuiſibilis, & figura ſubſtantiæ eius. B. Eſto, habeat Deus aliquem coæternū ſimilem, vt ex illo ſe ipſe cognoſcat, Vnde demōſtrabis filium eſſe? A. Decet iuſtitiæ amatores eadem menſura, & lance, qua metiuntur, & ponderant, remetiri, & rependere. Si enim à te accepiſſem centum aureos nummos, vellemq; hos tibi reddere ea lance, qua appenſos accepi, & non alia à me recipere debes, pondus enim paruum, & magnum odiuit anima mea, ait Deus. vnde ſcimus ſi Deus eſt, eiuſq; proprietates? an non ex iis, quæ apud nos ſunt? Etenim ſi nunquam eum vidimus, nec ex creaturis eius eum cognoſcimus, neceſſe omnino eſt nos Deum ignorare. igitur ex iis, quæ apud nos ſunt, nobiliora, Deū deſcribimus, eas penitus, quæ nobis accidunt aberrationes eximentes è numero eorum, quæ de Deo dicuntur. verbi gratia, apud nos eſt vita & mors, quo decet nos ſignare Deum, vita? an morte? B. Vita ſcilicet. A. Dicimus igitur Deū viuere, & viuentē eſſe. Sed quia apud nos vita & principium habet, & finem, & indiget, indiget enim iis, quę extrinſecus influunt, vt cibo, & potu, & reſpiratione aëris, & aliis huiuſmodi, ex quibus vita noſtra conſtat. his omnibus, quæ accidunt, ſepoſitis, ac remotis, dicimus Deum viuere vitam, quæ neque principium habet, neque finem, nec vlla prorſus re extrinſecus indiget. an non videtur tibi ſic eſſe? B. Admirabiliter, & quàm optimè coniici poteſt, Deum deſcribis, neque poteſt aliunde cognoſci, nec aliter poſſumus de eo loqui. A. Ad eundem modum debes intelligere de reliquis. eſt apud nos aſpectus & cæcitas, relicta cæcitate, Deum dicimus videntem ἀπαθῶς, id eſt,

τύφλωσις. τὴν τύφλωσιν ἀφέντες, τὸν θεὸν λέγομεν ὁρατικὸν ἀπαθῶς, ἤτοι, τὰ τῆς ὁράσεως ἐξορίζοντες πάθη ἀπ' αὐτοῦ. ἐν πᾶσι γάρ ἐστιν ὁ θεὸς ἀπαθής. ὡς αὔτως ἀκοὴ, καὶ κώφωσις παρ' ἡμῖν. ἀκουστικὸν, οὐ κωφὸν ἐροῦμεν τὸν θεόν. ὡς αὔτως δὲ, καὶ τὰ λοιπά. * εἰ γὰρ μή ποτε γραφὴν ἐδεξάμεθα τοῖς τοιούτοις ἴχνεσί τι, καὶ τρόποις τὸν θεὸν ἰχνηλατοῦμεν. B. πάνυγε καλῶς, καὶ ἀποδέκτως εἴρηκας. τῷ αὐτῷ οὖν ζυγῷ, ὦ δικαιότατε, τὴν τοῦ λόγου ἀκολουθίαν ἀνταπόδος μοι. A. τί παρ' ἡμῖν τιμαλφέστερον, τὸ γόνιμον, ἢ τὸ ἄγονον; γέννεσις, ἢ στέρωσις; εἰ γὰρ ἐν τούτῳ φιλονεικοίης, καὶ ἀδικοίης, φιλονεικήσω κἀγὼ, ὅτι καὶ ὁ θάνατος τῆς ζωῆς κρείσσων, καὶ ἡ τύφλωσις, καὶ ἡ κώφωσις τῆς ὁράσεως καὶ ἀκοῆς τιμιωτέρα. καὶ τί αὖ τῆσδε τῆς φιλονεικίας ἐκτοπώτερόν τι, ἢ καταγελαστότερον; B. ὄντως ἀπέδειξας, ὅτι γόνιμος ὁ θεὸς, καὶ γεννητικός. πάσης γὰρ ἀντιλογίας ἀργούσης τιμιώτερον, τὸ γεννᾶν, τῆς στερώσεως, καὶ ἀκαρπίας. ἀλλὰ τῇ γεννήσει παρέπεται πάθη. A. ἀλλ' ἀγαθὲ, καὶ σοφὲ, προδιεστειλάμεθα τὸ θεῖον κεκτῆσθαι τὰ παρ' ἡμῖν τιμιώτατα, ἄνευ τῆς ἐπακολουθούσης αὐτοῖς τῶν παθημάτων, καὶ συμπτωμάτων συμβάσεως. B. ἀρκούντως περὶ τούτου, καὶ σαφῶς, καὶ ἀληθῶς διεξῆλθες, ὅτι θεός ἐστι, καὶ υἱὸν ἔχει. ἀλλὰ διὰ τί μὴ πλείους ὁ θεὸς ἐγέννησεν, ἵνα πλειόνων ἄρχῃ, καὶ βασιλεύῃ; A. ἐπειδὴ ἀνάγκη ἓν τῶν τριῶν τούτων γενέσθαι· ἢ ἀπείρους γεννῆσαι, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἀτελευτήτως, ἢ ὡρισμένον ἀριθμὸν, ἤτοι ἑκατὸν, ἢ ἕνα φέρε εἰπεῖν. εἰ μὲν οὖν ἀπείρους, καὶ ἀναριθμήτους ἐγέννησεν, καὶ εἰς τὸ διηνεκὲς ἐγέννα, οὐκ αὖ αὐτοῦ ἡ ἔφεσίς ἐστι, οὔτε ἡ εὐδοκία αὐτοῦ ποτὲ ἐπληροῦτο. εἰ δὲ ὡρισμένους τινὰς, οἷον ἑκατὸν ἐγέννησεν. ὅτου χάριν ἐποίει τοῦτο; πάντως ὡς μὴ οὐχὶ τοῦ ἑνὸς ἐπαρκοῦντος πᾶσαν αὐτοῦ πληρῶσαι τὴν εὐδοκίαν, καὶ ἔφεσιν. διὰ τοῦτο γὰρ τῶν πλειόνων ἡ χρεία. εἰ γὰρ τοῦτο δοίημεν, ἀτελὴς αὖ, καὶ ἐνδεὴς, καὶ οὐκ αὐτάρκης ὁ υἱός. εἰ δὲ ὁ υἱὸς ἐνδεὴς, ἴσος δὲ, καὶ ὅμοιος τῷ πατρὶ πέφυκεν εἶναι ἀποδέδεικται, ἔσται ἄρα καὶ ὁ θεὸς, καὶ πατὴρ ἀτελής τε καὶ ἐνδεής, (ἵλεως γένοιο κύριε,) καὶ οὐκ αὐτάρκης, ὅπερ ἄτοπον. εἰ δὲ τέλειός ἐστιν ὁ υἱὸς, ὡς καὶ ὁ πατὴρ, οὐκ ἔστιν ἑτέρων χρεία. εἰπέ μοι, οὐχὶ φῄς; B. ναί. A. τὰ δὲ λοιπὰ ζῶα, λόγου τε, καὶ αὐτεξουσιότητος ἄμοιρα; B. οὕτως ἔχει. A. εἰ οὖν ὁ θεὸς ἠβουλήθη πρὸς ἡμᾶς, ἤγουν εἰς τὸν κόσμον ἀποσ-

λέν τι-

* *Desideratur in versione Turriani.*

non patiendo, id eſt, remouentes ab eo paſsiones viſionis. eſt enim Deus in omnibus ἀπαθὴς, id eſt, alienus à paſsione. Similiter auditus, & ſurditas eſt apud nos, Deum dicemus audientem, & non ſurdum. Similiter in reliquis. B. Pulchrè, & demonſtranter dixiſti. eadem lance iuſtiſsimè, quæ conſectaria ſunt in hoc ſermone, redde mihi. A. Quid apud nos eſt illuſtrius, ac maioris dignitatis, fœcunditas, an infœcunditas? generatio, an ſterilitas? Si enim in hoc contendis, & iniuſtus ſis, ego etiam contendam mortem eſſe vita meliorem, & cæcitatem ac ſurditatem aſpectu, & auditu honoratiora. ecquid iſta contentione abſurdius, & magis ridendum eſſe poſsit? B. Sanè demonſtraſti Deum eſſe fœcundum, & generantem; idque eſſe citra vllam controuerſiam nobilius. gignere enim præſtantius eſt, quàm ſterilem & infrugiferum eſſe. at generationem ſequuntur paſsiones. A. Bone & ſapiens vir, iam prius conſtituimus, habere Deum nobiliſsima eorum quæ apud nos ſunt abſque iis, quæ conſequuntur, quæ παθήματα & συμπτώματα dicuntur. B. Et ſatis, & planè, ac verè de hoc tractaſti, quod Deus ſit, & filium habeat. Sed quare nõ multos genuit, vt per plures princeps, & regnator eſſet? A. Quia oporteret vt vnũ ex tribus fieret, aut genuiſſe infinitos, & in ſæculũ ſæculi, & perpetuò; aut certo numero, verbi gratia, centum aut vnum. Si infinitos genuiſſet, & perpetuò; nunquam quieſceret eius deſiderium. neq; eius voluntas vnquam impleta eſſet. Sin verò certos, & finitos vt centum generaſſet, qua de cauſſa hoc faceret? profectò quia vnus non ſatis eſſet ad implendum omne deſiderium eius, omnemque voluntatem. idcirco enim opus eſſet pluribus. quod quidem ſi dederimus, ſequitur imperfectum, & indigentẽ eſſe filium, neq; ſibi ſufficere. quod ſi filius ſit indigens, eſt autem æqualis, & ſimilis Patri, vt demonſtratũ eſt, erit igitur etiam Deus Pater imperfectus, & indigens, (ſed propitius ſis mihi Domine) & non per ſe ſufficiens, quod quidem abſurdum eſt. Sin verò perfectus eſt Filius ſicut Pater, nõ opus eſt aliis, dic mihi, nónne tibi ita videtur? B. Sane quidẽ. A. Age. reliqua animalia ſunt ne rationis, & liberi arbitrij expertia? B. Sic eſt. A. Si igitur voluiſſet Deus mittere ad nos,

ad

λὸν ἵνα πέμψαι, ποίου τάγματος ἀποστέλλειν ἔμελλε, ἐξ ἀγγέλων πάντως, ἢ ἀνθρώπων; οὐ γὰρ ἐκ τῶν ἀλόγων ζώων. B. οὕτως ἔχει. A. Αὐτεξουσίων οὖν ὄντων, ἐν τῷ ἀποστελλομένῳ ἦν ὑπακοῦσαι τοῦ θεοῦ, ἢ μὴ ὑπακοῦσαι εἰς τὴν ἀποστολήν, καὶ εἰπεῖν, ὡς ἐκελεύσθη, ἢ παραιτήσασθαι ἵνα, * ἢ οὐκ; οἶδα ὅτι καὶ Μωσῆς, καὶ Ἱερεμίας, καὶ ἕτεροι ἀποστελλόμενοι παρὰ τοῦ θεοῦ, τὰ πρῶτα παρῃτοῦντο, καὶ ἀνένδυον. καὶ δέει τῆς λειτουργίας, ἢ ἑτέρῳ πάθει κρατούμενοι προεφασίζοντο, μέχρις ἂν αὐτὸς ὁ θεὸς πλείοσι λόγοις, καὶ παραινέσεσιν ἀνέπειθεν· εἰ δὲ καὶ ἕως τέλους εἵλοντο διαρκέσαι ἐπ᾽ αὐτοῖς, ὡς μὴν αὐτεξουσίοις ἔκειτο τοῦτο. B. οὕτως ἔχει. A. Ὁ δὲ Ἰωνᾶς, καὶ φυγῇ ἐχρήσατο ἀπὸ προσώπου κυρίου εἰς Θαρσεῖς, ἀποσταλεὶς παρ᾽ αὐτοῦ εἰς Νινευΐ; B. οὕτως ἀναγινώσκομεν. A. εἰ τοίνυν ἀποστελλόμενοι, ἢ παρῃτοῦντο τὴν ἀποστολήν, ἢ ἀνθ᾽ ἑτέρων ἀπήγγελον ἕτερα, ἀνάγκη πᾶσα τῶν δύο, τὸ ἕτερον ἦν γλυφθῆναι, ἢ τὴν τοῦ θεοῦ βουλὴν ἀργῆσαι τὸ μὴ εὑρίσκειν ἀπόστολον, ἢ αὐτὸν ἀπὸ αὐτοῦ τοῦ βασιλικοῦ θρόνου ἀπόστολον ἑαυτοῦ, καὶ αὐτάγγελον χρηματίσαι, καὶ διάκονον τῆς ἑαυτοῦ βουλῆς, καὶ αὐτουργόν, καὶ ὑπηρέτην· ὅπερ, ὡς ἀπέδειξεν ὁ λόγος, ἀλλότριον πάντη, καὶ ἀπεξενωμένον τοῦ βασιλικοῦ ἀξιώματος, τὸ δι᾽ ἑαυτοῦ αὐτουργικῶς περαιοῦν τι τῶν οἰκείων βουλημάτων τε, καὶ προσταγμάτων, ἀποστεῖλαι δὲ πρὸς ἡμᾶς τι τῶν ἀλόγων ζώων, καὶ τὸ λέγειν ἠλίθιον. οὐκοῦν ἀνάγκη πᾶσα τὸν θεὸν ἔχειν ἵνα ὁμοούσιον ἑαυτοῦ τὸ αὐτεξούσιον ἔχοντα, καὶ τὸ θέλημα, οὐ παρηλλαγμένον, καὶ ἀπᾶδον παντελῶς τῆς ἰδίας βουλήσεως εἰς ἐκπλήρωσιν τῶν θείων αὐτοῦ ἐφέσεων, ὅς ἐστιν ὁ υἱὸς συναΐδιος, καὶ πωτοτελής, καὶ ὁμόβουλος ὁ καὶ ἐν ταῖς

* Hæc desunt in versione Turriani.

γραφαῖς τῆς μεγάλης βουλῆς καλούμενος ἄγγελος· * καὶ τοῖς πρώτοις χρηματίσας πατράσιν Ἀβραάμ τε, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ Μωυσῇ, καὶ τοῖς λοιποῖς, ὡς καὶ ἐκ τῶν ἁγίων γραφῶν ἀκριβέστερον ἐντυγχάνων μαθήσῃ.

B. Τί δὲ εἰπεῖν ἔχεις περὶ τοῦ πνεύματος, τίς τούτου χρεία ἦν, αὐτάρκους ὄντος τοῦ υἱοῦ, ὡς εἴρηκας, εἰς τελείωσιν τῆς ἀρχῆς, καὶ τῆς βασιλείας τοῦ πατρός; A. ἰδίωμά ἐστιν τῆς ἐννομωτάτης βασιλείας, τὸ μηδὲν δήποτε ἑαυτοῦ τὸν βασιλέα ποιεῖν. ἀλλά, τὰ δοκοῦντα αὐτῷ διὰ κελεύσεως πληροῦν. εἰ γάρ τι δι᾽ ἑαυτοῦ ποιήσει, ἐλάττωμα, καὶ ὕφεσις, καὶ

κατὰ

ad mundum, inquam, nuncium, ex quo ordine missurus erat? ex angelis, aut ex hominibus? non enim ex animantibus ratione carentibus. B. Ita est. A. Cùm igitur hi essent suæ voluntatis compotes, in potestate eius, qui mitteretur, erat obedire, aut non obedire mittenti; item dicere, vt ei iussum esset; aut aliqua inuertere. an ignoras Moysem, & Hieremiam, & alios à Deo missos recusasse, & detrectasse, ac metu ministerij obeundi, aut alia affectione captos excusasse, quousque Deus multis verbis, & hortationibus eis suasit? quid si vsque ad finem voluissent perseuerare? penes eos tanquam libero arbitrio præditos erat hoc. B. Sic est. A. Ionas autem fugit à facie Domini in Tharsis, cùm ab eo missus est Niniuem. B. Sic legimus. A. Si igitur qui mitterentur, aut recusarent missionem; aut alia pro aliis nunciarent, alterum duorum omnino fieri necesse erat, aut vacare; ac frustra esse consilium Dei; quia non inueniretur nuncius, aut ipsum à regali solio discedentem, fieri sibi nuncium, & ἀυτάγγελον vocari, & sui consilij administrum, & per se confectorem, & famulum, quod quidem, vt ratio demonstrauit, alienum omnino, & extrarium à regali dignitate erat, per seipsum ministrantem sermones facere apud nos de nostris voluntatibus & rebus. mittere autem ad nos aliquid animalium ratione carentium, vel hoc ipsum dicere, mortiferum est. quare necesse omnino erat, vt Deus haberet aliquem homousion, id est, suæ essentiæ, qui liberum arbitrium haberet, & voluntatem penitus à sua voluntate non dissidentem, neque discordantem ad explendum omnia sua desideria, qui est filius eius, coæternus, & per se perfectus, & * eiusdem consilij, qui in sanctis Scripturis vocatur magni consilij angelus. * ὁμόβουλος.

B. Quid habes ad dicendum de Spiritu sancto? quid hoc opus est? Cum satis sit filius, vt dixisti, ad perfectionem principatus, & regni Patris? A. Proprietas regni optimè legibus instituti est, vt nihil qualecunque sit, per se faciat rex, sed quæ ei videantur, iubendo perficiat. Si quid enim per se faciat, imminutio est & deiectio, & regni depressio; & non dignitatis regiæ. quamobrem filius est * medius. rursus valde necessa- * μεσιτικός.

κατάπλωσις ἐστὶ τῆς βασιλείας, καὶ οὐ βασιλικόν. διὸ μεσιτεύει ὁ υἱός. πάλιν τῶν ἀναγκαιοτάτων, καὶ συμπληρωτικῶν τῆς βασιλείας ἐστὶ τὸ ἔχειν πλοῦτον ἀπέραντον, καὶ ἀδαπάνητον, καὶ θησαυροὺς, καὶ ταμιεῖα. ὁ γὰρ μὴ φιλοτιμούμενος, καὶ πλουτίζων, καὶ δωρεὰς διανέμων, πένης, καὶ πτωχὸς βασιλεύς· μᾶλλον δὲ οὐδὲ βασιλεύς. ὁ πλοῦτος τοίνυν ὁ βασιλικὸς τοῦ πατρός ἐστι τὸ πνεῦμα τὸ ἅγιον, τὸ τὰ χαρίσματα βρύον. ὁ πατὴρ οὖν δι᾽ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἤγουν, τὰς ἐνεργείας, καὶ χάριτας τοῦ πνεύματος δίδωσι. Β. καὶ διατί μὴ ὁ υἱὸς εἴη ὁ διδοὺς ἑαυτὸν, ἵνα γένηται αὐτὸς ὁ πλοῦτος; Α. οὐκοῦν ὁ υἱὸς ἐγένετο αὐτὸς ὢν ὁ διδοὺς, καὶ τὸ διδόμενον, ὅπερ ἐξ ἀρχῆς ἀσύστατον, καὶ παρ᾽ ὑμῶν ὡμολόγηται, ἡνίκα ἐλέγετο, ἄλλος τὸ γινώσκον, καὶ ἄλλο, τὸ γινωσκόμενον. τὸ ἐνεργοῦν καὶ τὸ ἐνεργούμενον. οὐκοῦν ὁ πατὴρ κελεύει βασιλικῶς. ὁ υἱὸς περαίνει τὴν πατρικὴν εὐδοκίαν, καὶ δίδωσι τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ ἐστὶν ὁ πλοῦτος, καὶ τὸ ταμιεῖον τῶν ἀγαθῶν ἁπάντων δωρημάτων. καὶ οὕτως ἀνελλειπὴς, καὶ πλεία ἡ βασιλεία, καὶ εὔτακτος εὑρεθήσεται. Β. ἀλλὰ πρὸ τῶν κτισμάτων οὐκ ἦσαν οἱ πλουτιζόμενοι, καὶ φιλοτιμούμενοι· οὐκ ἔδει οὖν εἶναι τὸ πνεῦμα. τίς γὰρ αὐτοῦ ἦν χρεία; Α. ἀλλ᾽, ὦ βέλτιστε, τὴν βασιλείαν τοῦ θεοῦ τελείαν ἐξ ἀϊδίου εἶναι χρὴ, ἵνα μὴ χρόνῳ καὶ ὕστερον τελειοῦται. κἂν μηδεὶς ὁ μετέχων ταύτης εἴη, ὥσπερ ὁ φιλόσοφος, καὶ ἰατρὸς ἔχειν θέλει τὴν τέχνην, καὶ τὴν γνῶσιν τελείαν, κἂν μὴ ὦσιν οἱ μανθάνοντες, ἢ οἱ ἰατρευόμενοι. καὶ σὺ γὰρ ὁρατικὸς εἶ, καὶ καθεύδων, καὶ ἐν νυκτὶ ἀνακείμενος, κἂν μὴ ὦσιν, οὓς ὁρᾷς. ἐπειδὴ καὶ τέλειος ἄνθρωπος εἶ. ἵν᾽ ὅταν θελήσῃς ὁρᾷν, πάρεστί σοι ἡ ὅρασις. καὶ οὐχὶ τότε ἐπίκτητος προσέρχοιτο. ἐρῶ γάρ σοι περὶ τοῦ πνεύματος, ὅπερ καὶ περὶ τοῦ υἱοῦ ἔλεγον. ὅτι ὁ πλοῦτος τοῦ θεοῦ, ἢ μείζων, ἢ ἴσος, ἢ ἐλάττων. καὶ μείζων αὐτοῦ οὐκ ἔστιν. οὐδὲν γὰρ τοῦ θεοῦ μεῖζον. ἔλαττον δὲ οὐκ αὐτοῦ. ἐπιθήσεις * αὐτὸν μετὰ τῶν κτισμάτων, τὸ γὰρ ἔλαττον τοῦ θεοῦ, κτίσμα, καὶ ἔσται ποτὲ οὕτως ὁ θεὸς πένης, καὶ ἐνδεὴς, καὶ ἐλλειπὴς, ὅπερ ἐστὶν ἀνεπίδεκτον, καὶ ἄτοπον. ἀνάγκη τοίνυν ἴσον εἶναι, καὶ συναΐδιον. ἵνα τέλειος εἶ, ὁ θεὸς καὶ βασιλεὺς αἰώνιος, ᾧ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ τὸ κράτος εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων, ἀμήν.

* videtur addendum γοῦν.

rium est, & quod regnum complet, habere infinitas diuitias, & quæ consumi nequeant, & thesauros, ac multa recondita. qui enim non est splendidus, & copiosus, & munificus, inops, & pauper, imò rex non est. diuitiæ igitur regales Patris, sunt ipse Spiritus sanctus, qui charismatibus scatet. Pater igitur per Filium dat Spiritum sanctum, id est, operationes, & gratias Spiritus sancti. B. & quare Filius non tribuit seipsum, vt fiat ipse diuitiæ? A. Quia sic Filius esset dator, & datum, quod non posse fieri, à principio cõstitutum est, cùm diximus aliud esse cognoscens, & aliud, quod cognoscitur; aliud efficiens, & aliud, quod efficitur. Pater igitur iubet regaliter; Filius perficit, quod Patri placet, & dat Spiritum sanctum, qui est diuitiæ, & penus bonorum donorum. atque ita reperietur regnum perfectum, benè compositum, & nulla re defectum. B. At antequã creaturæ essent, non fiebant diuites, nec erant, qui honores cuperent, ac proinde non opus erat, vt adesset Spiritus sanctus. quid enim eo opus erat? A. Verum ô bone vir, oportebat, vt regnum Dei esset ex æternitate, ne in tempore, & postea perficeretur, quamuis nullus participaret. Sicut Philosophus, & medicus cognitionem, & artem perfectam habere vult, quamuis non sint, qui discant, & quibus medicina fiat. etenim & tu visum habes etiam cum nocte dormis, & in lecto cubas, quamuis non sint, quos videas, quia perfectus homo es, vt cùm videre volueris, præsto sit tibi aspectus, & non tunc foris accedat. dicam autem tibi de Spiritu sancto quod de filio dicebam, opulentia Dei aut est maior, aut æqualis, aut minor. maior eo non est, quia nihil potest esse Deo maius, minor non est, alioqui pones eam inter creaturas. quod enim minus Deo est, creatura est, atque ita fiet, vt Deus aliquando sit pauper, & indigens, & cui aliquid desit. quod non est concedendum, & est absurdum. necesse ergo est æqualem esse opulentiam, & ex eadem æternitate, vt perfectus sit Deus, & rex æternus, cui gloria, & honor, & imperium in sæcula sæculorum,

Amen.

παραδοξολογία.

Ἐπιστολὴ περιέχουσα τὴν ὀρθὴν, καὶ ἀμώμητον πίστιν, πεμφθεῖσα παρὰ τοῦ μακαρίου πάπα Θωμᾶ πατριάρχου Ἱεροσολύμων, πρὸς τοὺς κατὰ τὴν Ἀρμενίαν αἱρετίζοντας, Ἀραβιστὶ μὲν ὑπὸ Θεοδώρου τοῦ τὸ ἐπίκλην Ἀβουκαρᾶ τοῦ Καρῶν ἐπισκόπου γεγονότος, ἀπαγορευθεῖσα, διὰ δὲ Μιχαὴλ πρεσβυτέρου, καὶ συγγέλου ἀποστολικοῦ θρόνου μεταφρασθεῖσα, μεθ᾽ οὗ, καὶ ἀπέσταλται, μόνην, ἀληθινὴν, καὶ κατὰ τὸν ὅρον ἐν χαλκηδόνι οὔσαν συγκεκροτημένης συνόδου τὸν περὶ τῆς εἰς χριστὸν τὸν θεὸν ἡμῶν πίστεως ὁρισθέντα λόγον.

Χριστὸς ὁ κύριος, καὶ θεὸς ἡμῶν τῷ τῶν Ἀποστόλων ἔφη κορυφαίῳ Πέτρῳ· σὺ εἶ Πέτρος, ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. καὶ πύλαι ᾅδου οὐ κατισχύσουσί σε. Τοῦτον δὲ τὸν λόγον ὁ κύριος ἔφησε τῷ Πέτρῳ, ἡνίκα Πέτρος τὸν κύριον, ἑαυτὸν υἱὸν ἀνθρώπου κεκληκότα, εἴρηκεν. σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ συνήχθησαν, ἐπὶ τοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν ἀμφότεροι οἱ λόγοι, καὶ πεπίστωται ὅτι θεός ἐστι, καὶ ἄνθρωπος. Χρὴ τοίνυν ἀγαπητοὶ πάντα τὸν χριστιανισμὸν οἰκειούμενον τὴν ἑαυτοῦ δοκιμάζειν, καὶ διασκέπτεσθαι πίστιν. καὶ εἰ μὲν βεβαιοῦσαν αὐτὴν εὕροι χριστὸν εἶναι θεόν τε, καὶ ἄνθρωπον, ὀφείλει στέργειν, καὶ ἀντέχεσθαι, καὶ ὑπερμαχεῖν αὐτῆς, ἄχρις ἀποβιώσεως. εἰ δὲ καὶ ἐκβαίη τὸ πέρας εἰς ἄλλο, δεῖ μυσάττεσθαι, καὶ φεύγειν, καὶ ἀπεχθάνεσθαι, τήν τε τραχύτητα, καὶ τὴν πρὸς τοὺς προγόνους, ἀφ᾽ ὧν ἐκείνην τὴν πίστιν ἐκληρονόμησεν, ἐξορίζειν τῆς ἑαυτοῦ καρδίας, καὶ τὴν προσπάθειαν, οἵαν φησὶν ὁ Δαυίδ, ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου. καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· τηνικαῦτα γὰρ ὁ ἄνθρωπος τὸ ὄντως ἐφετὸν ἐπισπᾶται κάλλος πρὸς χριστοῦ ἀληθινοῦ νυμφίου τοῦ τῶν βασιλευόντων βασιλέως, ἡνίκα τὴν πρὸς τοὺς πατέρας προσπάθειαν ἀπορρίψειεν, καὶ τὴν εἰς τὸ διαρκεῖν ἐν τοῖς ἀπ᾽ ἐκείνων παραδεδομένοις πλησμονὴν ἀποτινάξειεν. ἐπεὶ οὖν

ὧν τοῦ πι

Epiſtola continens fidem orthodoxam, IV.

missa à B. Thoma Patriarcha Hieroſolymitano ad Hæreticos in Armenia, Arabice dictata à Theodoro, cognomento Abucara, Episcopo Carum, & à Michaële Presbytero, & Syncello Ecclesiæ Hieroſolymitanæ in græcum ſermonem tranſlata, per quem & miſſa eſt; continens inquam ſolam veramque fidem in Concilio Chalcedonenſi traditam de Christo Domino ac Deo noſtro.

CHRISTVS Dominus, & Deus noſter dixit Petro principi Apoſtolorum; *Tu es Petrus, & ſuper hanc petram ædificabo Eccleſiam meam, & portæ inferi non præualebunt aduerſus eam.* Hæc verba dixit Dominus Petro, cùm Petrus Domino, qui ſe appellauerat filium hominis, dixit; *tu es Chriſtus filius Dei viui*; & copulata ſunt in Chriſto Domino noſtro vtraque verba, & confirmatum, quod eſſet Deus & homo. oportet igitur chariſsimi, vt quicunque Chriſtianam religionem amplectitur, fidem ſuam probet, & conſideret, & ſi quidem eam reperiat affirmare Chriſtum eſſe Deum, & hominem, debet eam complecti, & retinere, ac pro ea vſque ad mortem pugnare. Sin autem ad aliud quid declinet, debet abominari, & fugere, & odio proſequi. & duritiam fidei, & maiores, à quibus illam, tanquam hæreditatem accepit, eiicere ex corde ſuo, & illam affectionem, quam Dauid ait, cùm dicit, *audi filia, & vide, & inclina aurem tuam, & obliuiſcere populi tui, & domus patris tui, & concupiſcet rex pulchritudinem tuam.* tunc enim homo pulchritudinem verè concupiſcendam haurit & elicit à Chriſto vero ſponſo, & rege regum, quando affectionem erga parentes abiecerit; & ſatietatem perſeuerandi in iis, quæ ab illis tradita fuerunt, excuſſerit. quandoquidem igitur ſic ſe res habet, agite, omnes ſimul ad fidem, quam

Matth. 16.

Pſal. 44.

ὦ οὗτοι οὕτως ἔχει ταῦτα, δεῦρο πάντες ἀμφότεροι προσδράμωμεν, τῇ προειρημένῃ πίστει τῆς ἀκλινοῦς ταύτης πέτρας τοῦ τῶν ἀποστόλων προηγήτορος, καὶ πιστεύσωμεν τὸν χριστὸν εἶναι θεόν τε, καὶ ἄνθρωπον.

Ιστέον δέ, ὅτι ἐπειδὴ ὁ αὐτὸς ὑπάρχει θεός τε, καὶ ἄνθρωπος, μία πάντως ἐστὶν ὑπόστασις. καὶ θεὸς ὤν, καὶ ἄνθρωπος, δύο φύσεις ἔχει, θείαν τε, καὶ ἀνθρωπίνην. διὰ γὰρ τὸ κυρίως εἶναι θεὸς, τὸ μὴ οὐχὶ θείαν ἐσχηκὼς φύσιν ἀδύνατον, καὶ ἀληθῶς ἄνθρωπος εἶναι, τὸ μὴ πεφυκὼς ἔχειν ἀνθρωπίνην φύσιν, ἀδύνατον. ἔστι δὲ αὕτη ἡ μία ὑπόστασις αὐτὸς ὁ προαιώνιος υἱὸς, ὁ πρὸ πάντων τῶν αἰώνων ἐκ πατρὸς ἀχρόνως, καὶ ἀπαθῶς γεγεννημένος. ὅς ἐστι θεὸς, ἴσος τῷ πατρὶ, κατὰ τὴν ἀϊδιότητα τὴν πατρικὴν οὐσίαν ἀϊδίως ἔχων. ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου, ἐσαρκώθη, καὶ ἐνηνθρώπησεν οὗτος ὁ ἀΐδιος υἱὸς ἀτρέπτως, καὶ ἀναλλοιώτως γεγονὼς, ὡς εἷς τῶν ἀνθρώπων κατὰ πάντα, δίχα τῆς ἁμαρτίας προσειληφὼς τὴν ἡμετέραν, ἣν οὐκ εἶχε, φύσιν μεμενηκὼς ἀπὸ τῆς θείας, ἣν ἀϊδίως προεῖχε, φύσεως. οὗτος ὁ ἀΐδιος υἱὸς μετὰ τὴν ἑαυτοῦ σάρκωσιν, θεὸς ὁ αὐτός ἐστι, καὶ ἄνθρωπος, μία ὑπάρχων τῆς τριάδος ὑπόστασις, τὴν τοῦ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος φύσιν ἔχων, καὶ τὴν ἡμετέραν ἀνθρωπείαν φύσιν, τῆς τριάδος προσθήκην οὐκ εἰσδεξαμένης. καὶ γὰρ, ὦ βέλτιστοι, σαφῶς ἐπ᾽ αὐτῆς τῆς ἀληθείας τῶνδε τῶν ἡμῖν εἰρημένων, ὅτι ἡ τριὰς οὐ προσείληφεν αὔξησιν. ἐπειδήπερ οὐδὲ φαμὲν μίαν ὑπόστασιν θεὸν εἶναι, ἑτέραν δὲ ἄνθρωπον, ἀλλὰ τὴν ὑπόστασιν, ἥτις ἐστὶ θεὸς, ταύτην ἐροῦμεν ὑπάρχειν ἄνθρωπον, οὐκ ἄλλην ὑπόστασιν. οὐκ ἀληθὲς δὲ φάναι τὸ, τὸν χριστὸν εἶναι μίαν ὑπόστασιν, διὰ τοῦτο δεῖν μὴ ἔχειν, εἰ μὴ μίαν φύσιν. ἐπεὶ πάντως ἕψεται ταύτην τὴν μίαν εἰπεῖν φύσιν, ἢ θείαν ἄκρατον, ἢ ἀνθρωπίνην ἄκρατον, ἢ θείαν, καὶ ἀνθρωπίνην ἅμα, ἢ μήτε θείαν, μήτε ἀνθρωπίνην.

Εἰ μὲν γάρ ἐστιν ἡ μία φύσις αὕτη θεία ἄκρατος, * ὁ χριστὸς ἄρα ἄνθρωπος, καὶ οὐ θεός. εἰ δέ ἐστιν ἡ μία φύσις αὕτη, θεία, καὶ ἀνθρωπίνη ἅμα. οὔτε τοῦ πατρὸς, οὔτε τοῦ ἁγίου πνεύματος, οὔτε μὴν τῶν ἀνθρώπων ἄρα φύσις ἐστίν. καὶ ἀμφοτέρωθεν βλασφημίας ἔγκλημα τῷ τοῦτο φρονοῦντι περιτριβήσεται, καὶ τῆς ἐρωμένης φύσεως ἐκστήσεται. εἰ δέ ἐστιν ἡ

* Alterū membrum hîc desideratur.

μία

dixi, petræ huius ἀκλινοῦς, id eſt, quæ diſtorqueri, & inflecti non poteſt, Petri ſcilicet ducis Apoſtolorum accurramus, credamusque Chriſtum eſſe Deum, & hominem.

Sciendum autem eſt, quod quia idem ipſe eſt Deus & homo, vna omnino hypoſtaſis eſt, & cùm Deus, & homo ſit, duas habet naturas, diuinam & humanam, & quia Deus eſt, non poteſt non habere diuinam naturam; & quia homo, non poteſt non habere humanam. eſt autem hæc vna hypoſtaſis ipſe ante ſæcula filius, qui eſt Deus æqualis patri, ſecundum æternitatem, qui ex æternitate paternam ſubſtantiam habet, nouiſsimis verò diebus ex Maria virgine carnem aſſumpſit, & homo factus eſt. Sic æternus filius ſine mutatione, & variatione, factus ſicut vnus ex hominibus per omnia excepto peccato, aſſumpta noſtra natura, quam non habebat, remanente diuina, quam ex æternitate habebat. Hic æternus filius poſt incarnationem ſuam idem eſt Deus & homo vna hypoſtaſis ex Trinitate, habens naturam Patris, & Spiritus ſancti, & noſtram naturam, nulla ad Trinitatem acceſsione facta. Siquidem veritas eorum, quæ à nobis dicta ſunt, planè habet Trinitatem non eſſe auctam, quia non dicimus vnam hypoſtaſim Deum eſſe, aliam verò hominem; ſed hypoſtaſim, quæ eſt Deus, hanc dicimus eſſe hominem, non aliam, & aliam hypoſtaſim. non eſt autem verum, dicere Chriſtum eſſe vnam hypoſtaſim, & propterea non debere niſi vnam naturam habere: quia omnino, ſi non habeat niſi vnam naturam, ſequetur, vt dicendum ſit, hanc vnam naturam vel eſſe diuinam puram; vel humanam puram, vel diuinam, & humanam ſimul; vel neque diuinam, nec humanam.

Si enim eſt hæc vna natura purè diuina, Chriſtus igitur Deus eſt, & non homo. ſin verò eſt purè humana, Chriſtus igitur eſt homo, & non Deus. Si autem eſt hæc vna natura diuina ſimul & humana; ergo neque Patris, neque Spiritus ſancti, nec hominum natura eſt, & ex vtraque parte crimen blaſphemiæ inuretur ſic ſentienti, & à ſana natura excedet: ſin autem eſt hæc vna natura neque diuina neque humana, igitur Chriſtus

μία φύσις αὕτη, οὔτε θεία, οὔτε ἀνθρωπίνη. ὁ χριστὸς ἄρα, οὔτε θεὸς, οὔτε ἄνθρωπος. ὅπου τοιγαροῦν τοὺς λόγους περιστρέφωμεν, εἰς τὸ λέγειν ἀπαγόμεθα, ὅτι ὁ χριστὸς, μία ὑπόστασις ἐκ τῆς τριάδος, δύο φύσεις ἔχων, φύσιν τε θείαν, καὶ φύσιν ἀνθρωπίνην, καὶ τούτου χάριν ἐπ' αὐτοῦ συνῆλθον ὁμοῦ ἀμφότεροι οἱ λόγοι αὐτοῦ τὰ περὶ ἑαυτοῦ εἰρηκότος, εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου. καὶ τοῦ Πέτρου περὶ αὐτοῦ, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, τοῦ ζῶντος. ὁ δὲ λέγων τὸν χριστὸν ὑποστάσεις εἶναι δύο, τὸν ἅγιον Πέτρον ἀποκρινόμενον τῷ χριστῷ καθίστησιν ἀσκόπως ἀποκρίνεσθαι, περὶ οὗ ὁ χριστὸς οὐκ ἠρώτησεν. ὁ μὲν γὰρ ἠρώτησε περὶ τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὁ δὲ τὸν αὐτὸν, δι' οὗ ἦν ἡ ἐρώτησις, τοῦ θεοῦ υἱὸν ὑπάρχειν, ἠμείψατο. εἰ τοίνυν ἡ ὑπόστασις, ἥτις ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου ἑτέρα καθέστηκε παρὰ τὴν ὑπόστασιν ἥτις ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ, ἀποπλανηθῆ τῆς κατανοήσεως ὁ Πέτρου νοῦς. καὶ γέγονεν αὐτοῦ ἡ ἀπόκρισις, ὑπὲρ οὗ οὐκ ἠρώτηται, ὡς ἔφημεν εἰπόντες. Εἰ δὲ τοῦτο οὕτως ἦν (ἵλεως ὁ θεὸς) οὐκ ἂν ὁ κύριος ἐπῄνεσεν αὐτοῦ τὸν λόγον. οὔτ' ἂν ἐμακάρισεν αὐτὸν τῆς ἀμοιβῆς, τῇ ἐκ τοῦ πατρὸς ἀποκαλύψει αὐτὴν ἐπιγραψάμενος.

Οὐκοῦν τὸ τῆς εἰς χριστὸν ὁμολογίας ἀληθινὸν δόγμα, ὃ τῆς ἐν χαλκηδόνι συγκεκροτημένης θείας συνόδου τῶν ἁγίων πατέρων ὅρος ὀρθοτομεῖ, τὸν χριστὸν ὁρίζων μίαν ὑπόστασιν ἐκ τῆς τριάδος εἶναι, δύο φύσεις ἔχοντα, φύσιν θείαν, καὶ φύσιν ἀνθρωπίνην, ὡς ἤδη προείρημεν. καὶ σαφὲς τούτου παράδειγμα προκείσθωσαν χρύσινοι τρεῖς, ὧν ὁ εἷς ἐμβληθεὶς πυρὶ, καὶ πυρωθεὶς, ἐγένετο πῦρ, μεμενηκὼς χρυσὸς, οἷος ἦν. σὺ οὖν εἰ θείης ἐν μέρει μὲν τοὺς ἄλλους δύο χρυσίνους, ἐν μέρει δὲ πολλοὺς ἄνθρακας πυρίνους, εἶτα τὸν χρύσινον τὸν πυρωθέντα, καὶ πῦρ γενόμενον, μεταξὺ τῶν ἄλλων δύο χρυσίνων καὶ τῶν ἀνθράκων τὸν μέσον ἂν θεάσαιο τὸν χρύσινον ἔχοντα τῶν ἄλλων δύο χρυσίνων τῶν τελείων φύσιν, τουτέστιν ὄντα χρυσὸν, ὡς τοῖν δυοῖν ἐκείνοιν χρυσίνοιν ἑκατέροιν, καὶ τὴν τῶν ἀνθράκων φύσιν, ἐπειδὴ πῦρ ἐστιν ὥσπερ τῶν ἄλλων ἀνθράκων ἕκαστος. ὁ δὲ μέσος χρύσινος, ὑπόστασίς ἐστι μία τῆς τῶν χρυσίνων τριάδος. διότι τὴν τῶν ἀνθράκων φύσιν, τὴν οὖσαν πῦρ, οὐχ ἕνα προσείληφεν ἀπ' ἐκείνων τῶν ἀνθράκων ἄνθρακα. ἀλλὰ γέγονεν αὐτὸς, ὡς εἷς τῶν ἀνθράκων. τὸν αὐτὸν δὴ τρόπον ὁ ἀΐδιος υἱὸς ἐξ οὐρανοῦ καταβεβηκὼς (ἐννοήτωσαν δὲ οἱ ἀκροαταὶ θεοπρεπῶς τὴν κατάβασιν)

οὐχ

Christus neque Deus, neque homo est. Quare quocunque sermonem circumuertamus, eo adducimur, vt dicamus Christum esse vnam hypostasim sanctæ Trinitatis naturas duas habentem diuinam scilicet & humanam. & ob hanc caussam in eo simul concurrerunt vtriq; sermones, & ipsius Christi, cùm dixit se esse Filium hominis; & Petri, cùm ipsum dixit esse Filium Dei viui. Qui verò dicit Christum esse duas hypostases, Petrum Christo respondentem facit respondere ἀσκόπως, id est, extra propositum de quo Christus non est percunctatus. Ille enim percunctatus est de Filio hominis; Petrus autem ipsum, per quem facta erat percunctatio, respondit esse filium Dei. Si igitur hypostasis, quæ est Filius hominis alia fuit præter hypostasim, quæ est Filius Dei, aberrauit ab intelligentia mens Petri; & respondit, de quo non fuit interrogatus, vt prius diximus. Si sic autem esset, (propitius sit mihi Deus) nunquam Dominus sermonem eius laudasset: neque beatum eum prædicasset propter responsionem, quam ad reuelationem à Patre profectam retulit.

Igitur confessionis fidei in Christum verum dogma est quod definitio diuinæ sanctorum Patrum Synodi Chalcedonensis rectè tractat, decernens Christum esse vnam hypostasim sanctæ Trinitatis duas naturas habentem, diuinam & humanam, vt iam ante diximus. sitque huius exemplum perspicuum: ponamus tres aureos, quorum vnus iniectus in ignem igne affectus factus est ignis, remanens aurum, vt erat: tu ergo si alios duos aureos seponas; & seponas multos carbones igneos; deinde aureum factum ignem inter alios duos aureos, & carbones, videas habere naturam aliorum duorum aureorũ perfectorum, id est, qui sit aurum, sicut vterq; illorũ duorum aureorum, & naturam carbonum igneorum, quia ignis est, sicut vnusquisq; aliorum carbonum, ille in medio aureus vna hypostasis est aureorum Trinitatis, quia naturam carbonum, quæ erat ignis, non vnum carbonem ex illis assumpsit, sed factus est sicut vnus ex illis carbonibus. ad eundem modum æternus Filius è cœlo descendens, (intelligunt auditores descensum, vt Deum decet) non hypostasim nostram, sed natu-

οὐχ ὑπόστασιν ἐξ ἡμῶν, ἀλλὰ τὴν ἡμετέραν φύσιν προσέλαβεν, καὶ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, δίχα τῆς ἁμαρτίας, ὡς αὐτὸς ὁ θεῖος ἀπόστολος, πεπείρασται, φησὶ, κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

Τοιγαροῦν ὁ ἀΐδιος υἱὸς ἔχει τήν τε τοῦ πατρὸς, καὶ τοῦ ἁγίου πνεύματος, ἣν ἀεὶ προεῖχε, φύσιν, καὶ τὴν ἡμετέραν ἀνθρωπίνην φύσιν μετὰ τὴν ἑαυτῆς σάρκωσιν, μία ὑπάρχων ἐκ τῆς τριάδος ὑπόστασις, προσθήκην οὐκ εἰσδεξάμενος, ὡς προείρηται. μὴ ποιητέον δὲ τὴν φύσιν ὑπόστασιν, ἢ τὴν ὑπόστασιν εἶναι φύσιν. εἰ δὲ μὴ, πᾶσιν ἡμῖν τοῖς χριστιανοῖς συμβήσεται λέγειν τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, τρεῖς φύσεις, ὥσπερ εἰσὶ τρεῖς ὑποστάσεις, ἢ μίαν αὐτοὺς ἔχειν ὑπόστασιν, ὃν τρόπον μίαν ἔχουσι φύσιν. ἀμφότερα δὲ τῆς τῶν χριστιανῶν ὁμολογίας ἀλλότρια. ἐπειδὴ τὸ μὲν Ἀρείου, τὸ δὲ Σαβελλίου πέφυκε φρόνημα. ὁ μέν τοι τῆς ἀληθείας λόγος, ὡς ὁ θεολόγος ἔφη Γρηγόριος, μονάς ἐστιν ἐν τριάδι, καὶ τριὰς ἐν μονάδι * προσκυνουμένη. ἔστιν μὲν οὖν μονὰς τῆς φύσεως μονὰς, οὐ μονὰς τῆς ὑποστάσεως. ἡ δὲ τριὰς τῶν ὑποστάσεων τριὰς, οὐ τριὰς τῶν φύσεων. ὁ λέγων δὲ τὴν φύσιν αὐτὸ τὸ τῶν ὑποστάσεων εἶναι σύστημα, τὸν ἅγιον φήσει Γρηγόριον, εἰρηκότα, μονάδα αἰνίττεσθαι τὴν τριάδα. καὶ ἴσον αὐτοῦ κριθήσεται φάναι, μονάδα ἐν τριάδι, κἀντεῦθεν συνωθήσεται, φάσκειν, ἑνάδα, ἐν ἑνάδι, οὗ τί ἂν ἐπείη διανοίᾳ τινὸς αἰσχρότερον; διόπερ ἐπιτιμήσειεν τῷ ταῦτα δογματίζοντι λέγων ὅτι ἀντιταττόμενον ἐστί μοι κράτος, οἷον καί σοι, καὶ τοῖς ῥήμασιν. καὶ καθάπερ ἀκηκοὼς πρὸς τοῦ θεολόγου μονάδα * νοεῖν αὐτὴν τριάδα, οὕτω κἀγὼ μονάδα νοῶ ἀκούων παρ' αὐτοῦ τὴν τριάδα, καὶ συμπεραίνεταί μοι τὸ δόγμα εἰς μονάδα ἐν μονάδι. καὶ καθάπερ ὡς ἐκεῖνον σεαυτῷ τὸν λόγον ἐκύρωσας, τοῦτον εἴ μοι κυρώσεις πεφυρμένος ὄντως ὁ νοῦς φυραθήσεται, καὶ τῶν ἀντιθέσεων, καὶ ἀνατροπῶν ὁ νόμος ἀχρειωθήσεται, ὅπερ οὐκ ἐνδέχεται γενέσθαι. εἰ δὲ μὴ κυρώσειας, ἐνδίκῳ κρίσει λεχθήσεταί σοι. ὅτι τῶν λόγων οὐ τυγχάνεις ὢν ἐξεταστὴς, ὥστε θρασύτητι διαστρέφειν πρὸς τὸ σοὶ δοκοῦν ἀρχέτως. ἐπεὶ οὖν ἀληθεῖς εἶναι οὗτοι οἱ λόγοι οὓς περὶ φύσεως καὶ ὑποστάσεως εἴπομεν ἠγνόληνται, τὸ ἡμέτερον πάντως ἐβεβαιώθη φρόνημα.

* προσκυνουμένη Turr.

* νοεῖς Turr.

ὅτι

ram assumpsit; factusque est sicut vnus nostrum, extra peccatum, sicut Apostolus ait tentatum esse per omnia secundum similitudinem absque peccato. *Hebr. 4.*

Habet itaque æternus Filius Patris, & Spiritus sancti naturam, quam semper ante habebat, & nostram humanam naturam post incarnationem vna hypostasis siue persona ex sancta Trinitate non capiente accessionem, vt antè dictum est. non est autē natura facienda hypostasis, vel hypostasis natura. alioqui continget nobis Christianis, vt dicamus Patrem, & Filium, & Spiritum sanctum esse tres naturas, sicut sunt tres hypostases; aut habere eos vnam hypostasim, sicut habent vnam naturam. vtrumque autem à confessione Christianorum alienum est, quia illud quidem est Arij dogma; hoc verò Sabellij. Sermo tamen veritatis est, vt Gregorius Theologus dixit, vnitas in Trinitate; & Trinitas in vnitate adorata. est igitur vnitas naturæ vnitas; non vnitas hypostasis: Trinitas verò hypostaseon siue personarum Trinitas; non Trinitas naturarum. Qui verò dicit naturam, ipsam congregationem hypostaseon, dicet dixisse Gregorium vnitatem significare Trinitatem: & tantundem iudicabitur, dicere, vt si diceret vnitatem in Trinitate; & Trinitatem in vnitate, ex quo cogetur dicere vnitatem esse in vnitate. Quo quid vllius mente turpius cogitari potest? quamobrem reprehendet eum, qui hoc dogma tradit, inquiens, tam contra me, & tanta vi sunt verba, quàm contra te, & sicut tu audiens ex Gregorio vnitatem, ipsam Trinitatem intelligis; sic ego audiens ab eo Trinitatem, vnitatem intelligo. & concludo dogma hoc, vnitatem in vnitate esse. & sicut tu illud tibi approbasti, hoc mihi si approbes, deprehendetur profecto mens confusa, & lex contradicendi, & refellendi inutilis erit, quod non potest fieri. Si autem non comprobes, iusto iudicio dicetur tibi, non te expendere verba, cùm arbitratu tuo omnia peruertere non erubescas. Quandoquidem igitur hæc, quæ de natura, & hypostasi diximus, vera esse ignoras, sententia nostra confirmata est, vnitatem naturalem aliam esse præter Trinitatem hypostaseon; & fidem

ὅτι ἡ φυσικὴ μονὰς ἄλλη παρὰ τὴν ὑποστατικὴν τριάδα, καὶ ἡ πίστις ἀεὶ διαμένει ἐπὶ τῆς ὁμολογίας τῆς φυσικῆς μονάδος, ὡς ὁ θεῖος ἔφη Γρηγόριος, καὶ πᾶς ὁ τῶν ἁγίων, καὶ θεολήπτων χορὸς πατέρων.

Εἰ δέ τις πάλιν εἴποι, τὴν φύσιν, κοινὴν, καὶ ἰδικὴν εἶναι, καὶ ὅτι εἰ μὲν ἡ κοινὴ φύσις ἐστὶν αἱ ὑποστάσεις πᾶσαι, ἡ δὲ ἰδικὴ ἐστὶ μία ὑπόστασις. ἀναγγελλάτω ἡμῖν ἐρωτῶσιν. ὁ πατὴρ, καὶ ὁ υἱὸς ἴσοι κατὰ τὴν φύσιν εἰσὶ, τουτέστιν αὐτοφυεῖς, καὶ ὁμοούσιοι, ἢ οὐκ εἰσίν; εἰ μὲν γὰρ μὴ συνθῆται ἴσους αὐτοὺς εἶναι κατὰ τὴν φύσιν, τοῦ χριστιανισμοῦ παντάπασιν ἀπεξένωται. εἰ δὲ συνθῆται, συνθῆται δ' οὖν πάντως τὸν πατέρα, καὶ τὸν υἱὸν ἴσους εἶναι κατὰ τὴν φύσιν. αὖθις ἡμῖν ἐρωτῶσιν ἀποκρινάσθω. ἡ φύσις αὕτη, καθ' ἣν ἴσοι πεφύκασιν ὁ πατὴρ, καὶ υἱὸς, κοινή ἐστιν, ἢ ἰδική; εἰ μὲν γὰρ αὐτὴν εἴποι, κοινὴν εἶναι, βιασθήσεται τὸν πατέρα, καὶ τὸν υἱὸν λέγειν ἴσον ἐν τρισὶν ὑποστάσεσιν. εἰ δὲ τὴν φύσιν, καθ' ἣν εἰσὶν ὁ πατὴρ, καὶ ὁ υἱὸς ἴσοι, ἰδικὴν εἴποι, ἀναγκασθήσεται τὸν πατέρα, καὶ τὸν υἱὸν λέγειν ἴσους εἶναι τῇ ὑποστάσει. καὶ ἔσται τῷ τοῦτο λέγοντι, ὁ πατὴρ, καὶ ὁ υἱὸς, μία ὑπόστασις. ἀμφότερα δὲ τὰ ἐπακολουθήματα λίαν ἐστενωμένα, καὶ βλάσφημα.

Ὁ τῆς ἀληθείας τοίνυν λόγος ὃν ἡ τῶν ὁμοφρόνων τῆς ἐν χαλκηδόνι συναθροισθείσης τῶν ἁγίων πατέρων ὁμηγύρεως ὁμολογία, καθέστηκεν, ὅτι οὐκ ἔστιν ἡ φύσις αἱ ὑποστάσεις ὁμοῦ πᾶσαι, οὐ δὲ μία ὑπόστασις. ἀλλ' ἡ φύσις ἕστηκεν ἀεὶ ἐπὶ τῆς αὐτῆς ἑνάδος. αἱ δὲ ὑποστάσεις ἐπὶ τῆς αὐτῆς τριάδος, ὡς εἴρηκεν ὁ θεῖος Γρηγόριος θεολογῶν. διδάσκει γὰρ τοσοῦτον εἰδέναι μόνον, μονάδα ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι προσκυνουμένην, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν, καὶ τὴν ἕνωσιν. οὐδέ τινι λέγειν ἔξεστιν, ὅτι εἴπερ ἄλλη πέφυκεν ἡ φυσικὴ μονὰς παρὰ τὴν τῶν ὑποστάσεων τριάδα, ἡ φυσικὴ μονὰς, καὶ ἡ τῶν ὑποστάσεων τριάς. ἄρα τέσσαρα πράγματα. διότι τῇ φύσει συμπληροῦται ἑκάστη τῶν ὑποστάσεων. οὐ συναριθμεῖται πράγματι * τῷ συμπληροῦται. ἀπορῶν οὖν ὁ νοῦς παντοίαν ἀπορίαν, ἀνάγκη φέρεται τὴν ὀρθοτάτην, καὶ ἀμώμητον, ὁμολογεῖν ὁμολογίαν τῆς ἐν Χαλκηδόνι συγκροτηθείσης ἁγίας συνόδου, ὅτι ὁ χριστὸς μία ὑπόστασις ἐκ τῆς τριάδος. ἔχων δύο φύσεις, θείαν τε, καὶ ἀνθρωπίνην καὶ οὐκ ἐξὸν τινι λέγειν, ὅτι εἰ μία ὑπόστασις ὁ χριστὸς, ἀπαραχώ-

ρητον

ſemper perſeuerare in confeſsione vnitatis naturæ, (& Trinitatis perſonarum) ſicut dixit diuinus Gregorius, & omnes ſancti & diuini Patres.

Si verò rurſus dicat, naturam, communem, & ſpecialem eſſe, & quod communis eſt omnes hypoſtaſes; ſpecialis verò eſt vna hypoſtaſis, reſpondeat nobis percontantibus, Pater & Filius ſunt ne æquales natura, id eſt, vnius naturæ, & ſubſtantiæ, an non? Si enim non concedit, æquales eſſe natura, à Chriſtianiſmo penitus alienatus eſt. Sin verò concedat, concedet igitur, omnino Patrem & Filium æquales eſſe ſecundum naturam. Rurſus reſpondeat nobis, hæc natura, qua Pater & Filius æquales ſunt, communis ne eſt, an ſpecialis? Si enim dicat communem eſſe, cogetur dicere, Patrem & Filium æquales eſſe in tribus perſonis. Sin verò naturam, ſecundum quam Pater & Filius æquales ſunt, ſpecialem dixerit, cogetur dicere Patrem & Filium æquales eſſe hypoſtaſi. & ei, qui hoc dicit, erunt Pater & Filius vna hypoſtaſis. vtraque autem conſecutio valde anguſta, & blaſphema eſt.

Ponere in Trinitate naturã communẽ, quæ ſit omnes hypoſtaſes, hæreticorum eſt, fides verò ponit vnã naturam communem in Trinitate hypoſtaſeon.

Sermo igitur veritatis confeſsione Synodi Chalcedonenſis ſanctorum Patrum continetur, non eſſe naturam omnes ſimul hypoſtaſes, nec vnam hypoſtaſim; ſed naturam eſſe ſemper in eadem vnitate; hypoſtaſes verò eſſe in eadem Trinitate, ſicut dixit Gregorius Theologus. docet enim hoc ſolum ſcire, vnitatem in Trinitate; & Trinitatem in vnitate adoratam habentem admirabilem diuiſionem, & vnionem. Neque dicere licet, ſi naturalis vnitas alia eſt præter Trinitatem hypoſtaticam, id eſt, hypoſtaſeon, ſunt igitur quatuor res, quia per naturam completur vnaquæque hypoſtaſis, & non connumeratur cum re, per quam completur. mens igitur, quæ omni dubitatione agitatur, neceſsitate compellitur confiteri rectiſsimam, & ab omni macula vacantem fidem ſanctæ Synodi Chalcedonenſis, eſſe ſcilicet Chriſtum vna hypoſtaſim ex ſancta Trinitate naturas duas habentem diuinam, & humanam. & non licet vlli dicere, quod ſi vna hypoſtaſis eſt,

ρητον ἔχειν αὐτὸν, καὶ μίαν φύσιν, καὶ ὅτι εἰ δύο φύσεις ἔχει, πάντως καὶ δύο ὑποστάσεις ἐστί. κεκύρωται δὲ, καὶ πεπαγίωται, ἡ τῶν ὁμοφρόνων τοῦ ἐν χαλκηδόνι συγκεκροτημένου τῶν μακαρίων πατέρων ὁμολογία, κατὰ τὴν τοῦ κορυφαίου τῶν ἀποστόλων πίστιν ἀπαράλλακτος οὖσα, ἣν προοίμιον ἐθέμεθα. καὶ ἡ ὁμολογία αὕτη ἐστὶν ἡ Πέτρου, ἧς οὐ κατισχύσουσιν αἱ τοῦ ᾅδου πύλαι. καὶ εἰς αὐτὴν ἡ λῆξις παντὸς τοῦ τῶν χριστιανῶν πληρώματος ἔσται ποτέ. εἰ καὶ πολλὰς ὁ τῆς ἡμετέρας ζωῆς, καὶ σωτηρίας ἀντίπαλος βελίαρ ἐμβέβληκεν αὐτῇ διαιρέσεις χριστοῦ παρακεχωρηκότος, ὅπως ἐνδείξηται, ὅτι ὁ θεῖος αὐτοῦ περὶ αὐτῆς λόγος, εἰς τὸ διηνεκὲς ἥκιστα καταργηθήσεται, καὶ εἰς τὸ παντελὲς οὐχ ἡττηθήσεται.

Ἔτι δὲ τοῦτο ῥητέον, ὅτι ἐπείπερ ὁμοῦ συνῆπται αὐτῷ φύσις θεία, καὶ φύσις ἀνθρωπίνη, μετὰ τὴν αὐτοῦ ἐνανθρώπησιν, ἔχει δύο φυσικὰς ἐνεργείας, καὶ δύο φυσικὰς θελήσεις· διότι τῆς φύσεως κατάληψις οὐ πιστοῦνται, εἰ μὴ πάντως χροίη, ὅσα τῆς αὐτῆς ἐστι τελειώσεως. κάλλιστα δὲ τὸν ἡμέτερον λόγον κατανοήτω ὁ ἀκροώμενος. ὅτι τοῦ αὐτοῦ ἀϊδίου υἱοῦ εἰσὶν αἱ δύο φυσικαὶ θελήσεις τε, καὶ ἐνέργειαι τοῦ ὄντος μία ὑπόστασις ἐκ τῆς τριάδος, ὃν ὁμοῦ δύο φύσεις ἐσχηκέναι σαφῶς παρεστήσαμεν, οὐκ ἄλλης ὑποστάσεως. καὶ γὰρ τῶν δεχομένων ἐστὶν, ὦ οὗτοι, μίαν ὑπόστασιν διαφόρους ἔχειν ἐνεργείας, καὶ μένειν ἐπὶ τῆς ἑαυτῆς μονάδος. ὥσπερ παραδειγματικῶς εἰπεῖν, βλέπομεν τὸν Παῦλον δυνάμενον ὁρᾶν, καὶ ἀκούειν, καὶ λαλεῖν, καὶ διαλογίζεσθαι. ἡ ὅρασις, καὶ ἡ ἀκοὴ, καὶ ἡ λαλιὰ, καὶ ὁ διαλογισμὸς, διάφοροι εἰσὶν ἐνέργειαι. ἐκ τούτων ἑκάστη ἄλλη παρὰ τὴν ἑτέραν. ἀλλ᾽ ὁ Παῦλος μία ἐστὶν ὑπόστασις, ταύτας ἔχων ὅλας τὰς τέσσαρας ἐνεργείας· ἀλλ᾽ ὀφθαλμῷ μὲν ὁρᾷ, καὶ οὐκ ἄλλῳ τῶν τοῦ σώματος μελῶν· ἀκούει δὲ τῷ ὠτίῳ, καὶ οὐκ ἄλλῳ· καὶ τῇ γλώττῃ λαλεῖ, καὶ οὐκ ἄλλῳ μορίῳ, καὶ διαλογίζεται τῷ νοῒ, καὶ οὐκ ἄλλῳ τινί. ἑκάστη δὲ τῶν ὑποστατικῶν ἐνεργειῶν, ἔχει φυσικὴν ἐν τῇ ὑποστάσει δύναμιν, ὕλην ὑποκειμένην τῷ ἐνεργήματι, ὅπερ ἡ ὑπόστασις ἐνεργεῖ. καὶ ἔστι τὸ ἐνεργούμενον ἴδιον τῆς ὑποστάσεως. ὃν τρόπον Παῦλος ὑπόστασις ὢν, δύναμιν ἔχει τῇ ἑαυτοῦ γνώμῃ λαλεῖν, ὡς ἔχουσιν οἱ πάντες ἄνθρωποι· οἱ μέν τοι λόγοι, οὓς Παῦλος λαλεῖ, καθ᾽ ὃν φθέγγεται καιρὸν, τοῦ

Παῦ-

Christus, non desinit habere vnam naturam: & si duas naturas habet, omnino est duæ hypostases, rata enim & fixa est confessio Synodi sanctorum Patrum Chalcedonensis secundum fidem beati Petri principis Apostolorum, à qua nullo modo variat, quā principio posuimus. Et confessio hæc est illa confessio Petri, aduersus quam non præualuerunt portæ inferi. Et ipsa erit tandem sors, & hæreditas omnis cœtus Christianornm, quamuis aduersarius vitæ & salutis nostræ Belial multas sectiones ei immisit, Christi permissu, vt ostendatur, quod de ea dixit nequaquam in perpetuum frustrandum esse; & omnino nunquam vincendum.

Hoc præterea dicendum est, quoniam cum æterno filio simul copulata est natura diuina, & humana, post carnem assumptam habet duas naturales proprietates, & item naturales operationes, ac duas naturales voluntates, quia naturæ comprehensio non est firma, & certa, nisi natura omnino habeat quæcunque sunt perfectionis eius. percipiat optimè quod dico auditor, quod eiusdem æterni filij sunt duæ proprietates naturales, & duæ naturales voluntates, & operationes, eius *scilicet*, qui est vna hypostasis ex sancta Trinitate, quem apertè probauimus habere duas naturas, non alius, & alius hypostasis, siue personæ. Siquidem possibile est, vnam hypostasim habere diuersas operationes, & manere in sua vnitate. vt exempli caussa, dicamus, videmus Paulum potentem videre, & audire, ac loqui, & disputare, visio, auditio, locutio, & disputatio diuersæ operationes sunt; & vnaquæque harum alia est præter aliam; & Paulus vna est hypostasis, quæ habet totas quatuor operationes; verum oculo videt, & non alia parte corporis; audit aure, & non alio membro; & lingua loquitur, & non alia particula; & mente ratiocinatur, & non alio aliquo. vnaquæque autem operationum hypostaticarum habet naturalem in hypostasi potentiam materiam subiectam effectui, quem hypostasis operatur, & est quod efficitur, proprium hypostasis. Sicut Paulus, qui est hypostasis, potentiam habet loquendi sua voluntate, sicuti habent

omnes

Παύλου εἰσὶν ἴδιοι. οὕτω τοίνυν μὴ ἀπαγορευτέον, τὸν ἀΐδιον υἱὸν, τὸν ἐκ τῆς τριάδος ἅπαντα ὑπόστασιν, ἔχειν μετὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, τήν τε θείαν φύσιν, ὡς ὁ πατὴρ, καὶ τὸ ἅγιον πνεῦμα, καὶ τὴν ἀνθρωπίνην φύσιν, ὥσπερ ἕκαστος τῶν κατὰ μέρος ἀνθρώπων, καθ' ὃν προέφημεν τρόπον.

Τούτων οὕτως ἐχόντων, πέφυκεν εἰλικρινῶς ἡ θεία φύσις, ἐν τῇ αὐτοῦ ὑποστάσει, ὕλη τοῖς ἑαυτοῦ θείοις ἔργοις, ἃ κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, καὶ ἐπὶ γῆς ἀναστροφὴν εἰργάσατο. ἀληθῶς δὲ καὶ ἡ ἀνθρωπίνη φύσις ἔνεστι τῇ τοῦ ἀϊδίου υἱοῦ ὑποστάσει, ὕλη τοῖς ἑαυτοῦ ἀνθρωπίνοις ἔργοις, ἃ τοῖς ἀνθρώποις συναναστρεφόμενος πεποίηκεν. καὶ ἔστιν αὐτοῦ ἴδια παρὰ πάντας ἀνθρώπους. ὁ αὐτὸς δὲ λόγος ἐστὶν καὶ ἐπὶ τοῖς δυσὶν αὐτοῦ φυσικοῖς ἰδιώμασίν τε, καὶ θελήμασιν.

Ἀναγκαῖον δὲ καὶ τοῦτο μὴ ἀσαφὲς καταλιπεῖν τῷ ἐντυγχάνοντι τῷδε τῷ ἡμετέρῳ γράμματι, ὅτι τὸν ἀΐδιον υἱὸν ἄνθρωπον λέγοντες γεγενῆσθαι, τοῦτο φαμὲν, ὅπερ ἀθανάσιός τε καὶ κύριλλος, οἱ τῆς ἀλεξανδρείας εἰρήκασιν ἱεράρχαι, καὶ πάντες οἱ θεοφόροι πατέρες, ὅτι κτίσας ἐκ τῆς παρθένου πανάγνου μαρίας ἑαυτῷ ἐψυχωμένην, λογικήν τε καὶ ἱερὰν ψυχὴν ἰδίαν τῆς ἑαυτοῦ ὑποστάσεως ἐποιήσατο, ὡς ἡ τοῦ δεινὸς σάρξ τε καὶ ψυχὴ τῆς τοῦ δεινὸς ὑποστάσεως ἴδια καθέστηκεν. ὃν οὖν τρόπον ὁ δεῖνα, ὁ σῶμα ἀνθρώπινον ἔχων καὶ ψυχὴν ἀνθρωπίνην ἄνθρωπός ἐστιν, τὸν αὐτὸν τρόπον ὁ ἀΐδιος υἱὸς κτίσας τῇ ἑαυτοῦ ὑποστάσει σῶμα ἀνθρώπινον, καὶ ψυχὴν ἀνθρωπίνην, καὶ ἴδια αὐτοῦ ἄμφω ποιησάμενος, γέγονεν ἀληθῶς ἄνθρωπος. ὥσπερ δὲ τὸ τοῦ δεῖνος σῶμα καὶ ἡ ψυχὴ ἀμφότερα τῆς ἑαυτοῦ ὑποστάσεως ἴδια, οὐκ ἄλλης τῶν ἀνθρωπίνων ὑποστάσεων, τούτου δὴ χάριν τὸν ἀΐδιον υἱὸν φαμὲν τὸν ἐκ τῆς τριάδος ὄντα μίαν ὑπόστασιν, δύο φύσεις ἔχειν. οὐκ ἰδικῶς ἑκατέρας τῇ αὐτοῦ ὑποστάσει διαφερούσας, ἀλλὰ τῆς μὲν θείας φύσεως αὐτοῦ τε καὶ πατρὸς καὶ ἁγίου πνεύματος ἦν· ἀνθρωπίνη δὲ αὐτοῦ τε καὶ τῶν κατὰ μέρος ἀνθρώπων. ἡ μέντοι ὑπόστασις αὐτοῦ διαφερόντως αὐτῷ μόνῳ παρὰ τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀφώρισται, καὶ τὸ σῶμα αὐτοῦ καὶ ἡ ψυχὴ ἰδικῶς ἀμφότερα τῆς ὑποστάσεως αὐτοῦ παρὰ πάντας ἀνθρώπους.

Ὅσω

omnes homines. Sermones tamen quos Paulus loquitur, quo tempore loquitur, proprij sunt Pauli. Sic igitur non est negandum, æternum filium totum hypostasim ex Trinitate, habere post incarnationem naturam diuinam, sicuti vnus Pater, & Spiritus sanctus; & naturam humanam, sicuti vnusquisque homo particularis, sicut ante diximus.

Hæc cum sic sint, habet diuina natura in hypostasi filij vt sit * materia diuinis eius operibus, quæ secundum suam humanitatem assumptam, & secundum conuersationem in terra operatus est. verè enim & natura humana inest in hypostasi æterni filij materia suis operibus humanis, quæ cum hominibus agens, & in terra versans fecit, & sunt eius propria præter omnes homines. eadem ratio est, & in duabus eius naturalibus proprietatibus, & voluntatibus.

Schol. Turr.
** Sicut potẽtia est subiecta suis operationib. in hypostasi humana, sic in hypostasi diuina filij diuina natura subiecta erat diuinis operationibus, humana verò natura in eadem hypostasi diuina subiecta operationibus humanis. dicitur natura diuina materia, id est, instar materiæ, & subiecti secundum modum apprehẽsionis nostræ, vt S. Thom. loqui solet.*
** deest in Græco.*

Necessarium præterea est non relinquere hoc Lectori sine explicatione, quod cùm dicimus æternum filium factum esse hominem, hoc dicimus, quod Athanasius & Cyrillus Alexandrini Archiepiscopi, & omnes sancti Patres dixerunt, cũ fabricauit sibi ex purissima virgine Maria animatum & ratiocinãtem, ac intelligentem humanã carnem, etiam humanã intelligentem animam propriam suæ hypostasis fecit, sicuti cuiusdã caro & anima cuiusdã hypostasis siue personæ propria est. Sicut igitur quidam, qui corpus & animam habet, homo est, ad eundem modum æternus filius, fabricatus sibi corpus humanum, & animam humanã, & ambo propria sibi faciens, factus est verè homo. Sicut igitur corpus & anima cuiusdam vtraq; sunt propria suæ personæ, & non alius humanæ personæ (* sic corpus, & anima æterni filij, ambo sunt propria suæ hypostasis, & non alius humanarũ hypostaseon) hac de causa dicimus æternum filium vnã hypostasim ex Trinitate, habere duas naturas non vtrasq; ἰδικῶς, id est, specialiter siue particulariter hypostasi ipsius differentes; sed diuina quidem natura ipsius & Patris, & Spiritus sancti erat, humana verò ipsius & hominũ. hypostasis tamẽ eius διαφερόντως, id est præcipuè ipsi soli præter Patrem, & Spiritum sanctum distincta & discreta est, & corpus eius & anima specialiter sunt hypostasis, siue personę eius prę-ter omnes homines.

Ὅσα γὰρ ὑπέστη καὶ πέπονθεν ἡ τοῦ αἰδίου σὰρξ, καὶ ἡ ἀνθρωπίνη αὐτοῦ
ψυχή, αὐτὸς ὁ αἴδιος υἱὸς ὑφεστάναι λέγεται καὶ πεπονθέναι, καὶ αὐτῷ
συμβέβηκε κατὰ ἀλήθειαν καὶ αὐτῷ ἐπιγράφεται, ὃν τρόπον ὅσα πάσχει
ἡ τοῦ δεῖνος σάρξ τε καὶ ψυχή, τῷ δεῖνι συμβαίνει, καὶ αὐτῷ κατὰ ἀλήθει-
αν ἐπιγράφεται. διὰ τοῦτο τὴν ἀληθινὴν ὁμολογίαν ὁμολογοῦντες
λέγομεν, ὅτι αὐτὸς ὁ αἴδιος υἱὸς ἐπείνασε καὶ ἐδίψησε, καὶ ἐκοπίασε,
* κατὰ. καὶ ἠγωνίασε, καὶ τὸ πρόσωπον αὐτοῦ ἐρραπίσθη καὶ ἐνεπτύσθη, καὶ * τὸν
νῶτον αὐτοῦ ἐμαστιγώθη, καὶ τοῦ αἰδίου υἱοῦ καθηλώθησαν αἱ χεῖρες, καὶ
οἱ πόδες, καὶ αὐτὸς ἐπὶ σταυροῦ ἐκρεμάσθη, καὶ ἀπέθανε, καὶ ἐτάφη, καὶ
ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ. ταῦτα πάντα, ὦ οὗτοι, τῷ αἰδίῳ συμβέβηκεν, ἀλ-
λὰ ταῦτα πέπονθε, καθ᾽ ὃ δυνατὸν ἦν παθεῖν, τουτέστι τῇ ἑαυτοῦ
ἀνθρωπίνῃ σαρκί τε καὶ ψυχῇ σὺν τῇ ἑαυτοῦ θείᾳ φύσει. ἀλλ᾽ εἰ
μὲν ἀνὰ μέρος διασαφῆσαι πῶς ἕκαστον τῶν εἰρημένων ἐγένετο βου-
* f. μακρὸν. ληθείημεν, * μακρὰν ἂν εἴη τὸ γράμμα καὶ προσκορές. εἰ δὲ τὴν
τούτων ἁπάντων διασάφησιν καταλίποιμεν, σκοπὸς λοιπόν, μή τι αὖ
ἀποκλεισθείεν τῶν οὐκ ὄντων εἰς κατανόησιν σὺν ἐχόντων ἀγχίνοιαν
οἱ ἡμέτεροι λόγοι, ὅθεν τὸν θάνατον ἀφορίζομεν, ὅς ἐστιν ὅσα τῷ αἰδίῳ
υἱῷ ἐπιγράφεται παθημάτων ἀπεχθέστερός τε καὶ εἰδεχθέστερος.
καὶ τοῦτο διαλευκάναντες γνωρίσομεν ὑμῖν πῶς αὐτῷ συμβέβηκέ τε
* ἴσ. ἠχουμέ- καὶ λελόγισται. ὅπως ἐντεῦθεν λεγομένου καὶ * ἠχομένου, καὶ εἰς τὰ λοι-
νου. πά, καθοδηγηθείητε.

Ἰωάννης ὁ Βαπτιστής, ὦ οὗτοι, καθὼς ἐπίστασθε, ἐπλήσθη πνεύμα-
τος ἁγίου ἔτι κατὰ γαστέρα τῆς μητρὸς αὐτοῦ κεκυημένος. ἦν δὲ τῷ Ἰω-
άννῃ ψυχὴ καὶ σῶμα. μετὰ γοῦν τὴν τοῦ ἁγίου πνεύματος ἐπιφοίτησιν,
ἡ τοῦ Ἰωάννου ψυχή, καὶ τὸ σῶμα τοῦ Ἰωάννου τοῦ ἁγίου πνεύματος ἦν. ὁ
δὲ θάνατος ἑκάστου τῶν ἀνθρώπων χωρισμός ἐστι τῆς οἰκείας ψυ-
χῆς ἀπὸ τοῦ οἰκείου σώματος. χωρισθείσης οὖν τῆς τοῦ Ἰωάννου ψυχῆς
ἀπὸ τοῦ ἰδίου σώματος ὁ Ἰωάννης τέθνηκεν, οὐ τὸ ἐπιφοιτῆσαν ἐν
αὐτῷ πνεῦμα ἅγιον. ὁ θάνατος τοίνυν Ἰωάννου ἦν, καὶ τὸ τοῦ ἁ-
γίου πνεύματος ἐλεύθερον, ὥστε μὴ λογισθῆναι αὐτῷ τὸν τοῦ Ἰωάν-
νου θάνατον, καθ᾽ ὃν ἀκηκόατε τρόπον. ὁ μέντοι αἴδιος υἱὸς οὐχ ὑπο-
στάσει τινὸς τῶν ἀνθρώπων ἔχοντος σῶμα καὶ ψυχὴν ἐνηρμόσθη,
ἀλλ᾽

Quæcunque autem ſustinuit, & paſſa eſt caro æterni filij, & anima eius humana, ipſe æternus filius Dei ſuſtinuiſſe, & paſſus eſſe dicitur; & ipſi verè acciderunt, & ipſi attribuuntur, ſicuti quæcunque patitur caro cuiuſdam, & anima, cuidam accidunt, & ipſi verè attribuuntur. idcirco veram confeſsionem confitemur, cùm dicimus æternum filium eſuriſſe, & ſitiſſe, & defatigatum eſſe, & factum eſſe in agonia, & faciem eius percuſſam eſſe, & conſputam, & dorſum eius flagellatum eſſe, & æterni filij manus eſſe confixas, & pedes, & ipſum in cruce ſuſpenſum eſſe, & mortuum, ac ſepultum, & tertia die reſurrexiſſe. Verùm hæc paſſus eſt, quatenus poſsibile fuit pati, id eſt, carne ſua humana, & anima cum ſua natura diuina. Sed ſi vellemus ſigillatim explicare, quomodo vnumquodque horum, quæ diximus, factum fuerit, longa eſſet epiſtola, & ſatietatem afferret. Sin autem horum omnium explicationem omittam, videndum erit ne quid mei ſermones excludant ab iis, qui non ſunt ad intelligendum acuti, neque habent ingenij ſolertiam. quocirca mortem ad explicandum ſeligemus, qua eorum, quæ in paſsione æterno filio Dei tribuũtur, nihil eſt odioſius, & inuiſius, de hac vobis aperiemus, quomodo accidit ei, & eius reputata eſt, vt hoc dicto, & prolato, ad reliqua ducem habeatis.

Ioannes Baptiſta, quod vos non fugit, impletus eſt Spiritu ſancto, cùm adhuc in vtero matris eſſet. Erat autem Ioanni corpus, & anima. poſt aduentum igitur Spiritus ſancti, anima, & corpus Ioannis Spiritus ſancti erant. mors autem cuiuſque hominis ſeparatio eſt animæ à ſuo corpore. ſeparata igitur anima Ioannis à corpore ſuo mortuus fuit Ioannes, non autem Spiritus ſanctus qui ei aduenit. mors igitur Ioannis fuit, à qua liber fuit Spiritus ſanctus, ita, vt mors Ioannis non reputetur Spiritus ſancti mors, ſicut audiſtis. æternus verò filius non eſt copulatus hypoſtaſi alicuius hominis corpus & animam habentis, ſed potius carnem &

ἀλλ' ἑαυτῷ σάρκα καὶ ψυχὴν ἀνθρωπίνην προσειληφώς, καὶ οἰκειωσάμενος ἀμφότερα τῆς ὑποστάσεως αὐτοῦ οὐκ ἄλλως παντάπασιν ἐποιήσατο, ὥσπερ τὸ τοῦ Ἰωάννου σῶμα, καὶ ἡ ψυχὴ τοῦ Ἰωάννου οὐκ ἄλλου ὑπῆρχεν, καὶ κατὰ τοῦτο γέγονε, καὶ ἀΐδιος υἱὸς ὡς εἷς τῶν ἀνθρώπων. καθάπερ δὲ τῆς τοῦ Ἰωάννου ψυχῆς ἀπὸ τοῦ ἰδίου σώματος χωρισθείσης, αὐτὸς ὁ Ἰωάννης ἐστὶν ὁ τεθνηκὼς οὐχ ἡ ψυχὴ καὶ τὸ σῶμα τὰ κεχωρισμένα ἴδια, οὕτω τῆς ἀνθρωπίνης τοῦ ἀϊδίου υἱοῦ ψυχῆς ἀπὸ τοῦ σώματος αὐτοῦ χωρισθείσης, αὐτὸς ὁ ἀΐδιος τέθνηκεν υἱός, ἐπειδὴ ἐκεῖ οὐκ ἦν ὑπόστασις ἑτέρα παρεκτὸς τοῦ ἀϊδίου υἱοῦ ἐσχηκυῖα σῶμα καὶ ψυχήν, ὧν ἐγένετο χωρισμός, ἵνα λογισθῇ τῆς ὑποστάσεως ἐκείνης ὁ θάνατος εἶναι. ἀλλ' ὁ μὲν Ἰωάννης τῆς ψυχῆς αὐτοῦ χωρισθείσης ἀπὸ τοῦ ἰδίου σώματος τέθνηκεν καὶ ἀπόλωλεν, οὐ γὰρ παντελῶς ἦν, εἰ μὴ ἐκ συναφείας ψυχῆς καὶ σώματος. ὁ δὲ προαιώνιος καὶ τῷ πατρὶ σύναρχος καὶ συναΐδιος υἱὸς τῆς ἀνθρωπίνης ἑαυτοῦ ψυχῆς, ἀπὸ τοῦ ἰδίου ἑαυτοῦ σώματος χωρισθείσης, ἀπέθανε μὲν ἀληθείᾳ, διότι τὸ σῶμα, καὶ ἡ ψυχή, ἅπερ διεζεύχθησαν, αὐτὰ οὐκ ἄλλης ὑποστάσεως ἦσαν, ὡς ἔφθημεν εἰπόντες. οὐκ ἀπώλετο δέ, ἐπειδήπερ ἦν ἀεί, πρὸ τοῦ εἰληφέναι ταύτην τὴν ψυχήν, καὶ τὴν σάρκα. κατὰ τοῦτον δὴ τὸν τρόπον ἀπέθανεν ὁ ἀΐδιος υἱὸς ὑπὲρ ἡμῶν ἀληθείᾳ. μεμενηκὼς ζῶν, οἷος ἦν. καὶ γέγονεν ἡ λύτρωσις ἡμῶν οὐκ ἐν θανάτῳ ὑποστάσεως τινὸς τῶν ἀνθρώπων, ὡς δῆθεν Ἰωάννου τοῦ Βαπτιστοῦ, ἀλλ' ἐν τῷ τοῦ ἀϊδίου υἱοῦ θανάτῳ. οὐδὲ μιᾶς ἐντεῦθεν αὐτῷ ζημίας ἐπεισελθούσης. οὕτω τοίνυν, ὦ οὗτοι, γέγονεν ὁ τοῦ ἀϊδίου θάνατος.

Ὅστις οὖν ἐστιν νουνεχής, δύναται τὴν ἑαυτοῦ θεωρίαν ἐμβαθῦναι πᾶσι τοῖς εἰς ἃ κεχρημάτικεν αὐτῷ * ἀνθρώποις. καὶ γνῶναι πῶς ἐγένετο. ὅσα γάρ ἐστι τοῦ θανάτου, τῶν ἀνθρωπίνων πῶς ἧττω τυγχάνει. εἰ γὰρ ὁ θάνατος ἁρμόζει ἐπὶ τοῦ ἀϊδίου υἱοῦ λέγεσθαι, καθ' ὃν ἔφημεν τρόπον, πάθους οὐ προσπελάσαντος αὐτοῦ τῇ θεότητι, τὰ χωρὶς θανάτου ἀπὸ τῶν ἀνθρωπίνων προσήκει μᾶλλον ἐπ' αὐτοῦ λέγεσθαι, μηδενὸς τῇ αὐτοῦ θεότητι προσαπτομένου παθήματος. οὐκοῦν ταῦτα τὰ ἀνθρω-

* f. ἀνθρωπίνοις.

animam sibi assumpsit, & vtraque fecit propria suæ hypostasis, siue personæ; nec aliter omnino fecit, sicuti corpus, & anima Ioannis, non alterius fuit. atque hac ratione fuit æternus Filius sicut vnus è numero hominum. Sicut autem anima Ioannis à corpore suo seiuncta, ipse Ioannes est mortuus, cuius anima & corpus, quæ separata sunt, propria erant, sic humana anima æterni Filij à corpore suo separata, ipse æternus Filius mortuus est. quia non erat illic præter hypostasim æterni Filij, alia hypostasis, quæ habuisset corpus, & animam, quorum est facta separatio, vt illius hypostasis, siue personæ mors esse reputaretur. Ioannes tamen anima à corpore suo separata, mortuus est, & interiit, nequaquam enim erat nisi ex coniunctione animæ & corporis, qui verò est ante sæcula, & est cum Patre ex æternitate, separata anima eius humana à proprio corpore, mortuus quidem est verè, quia corpus, & anima disiuncta sunt, & ipsa non erant alius hypostasis, sicut ante diximus, non tamen interitum cepit, quia erat semper antequam hanc animam, & corpus assumeret. Ad hunc modum æternus Filius pro nobis verè mortuus est, manens viuus, vt erat: factaque est redemptio nostra non in morte personæ alicuius hominis, vt scilicet, Ioannis Baptistæ; sed in morte æterni Filij, nec vllo incommodo hinc ei illato. sic igitur de morte æterni Filij sentiendum est.

Quicunque igitur habet animum attentum, potest contemplationem suam adhibere omnibus illis, quæ in eò vocantur humana, & cognoscere, quomodo facta fuerunt. Quæcunque enim sunt mortis, minora sunt, quàm quæ dicuntur humana. Si enim mors aptè dicitur æterni Filij, sicut explicatum est, non pertingente passione in diuinitatem; quæ sunt citra mortem humana, multo magis conuenit, vt de eo dicantur, nulla passione diuinitatem eius attingente. Hæc igitur huma-

ἀνθρώπινα καθὰ προείρηται), τῷ ἀϊδίῳ υἱῷ, ὅς ἐστιν ὁ Χριστός. συμβέβηκεν μετὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, ὅτι θάνατος, καὶ τἄλλα ὅσα τοῖς ἱεροῖς εὐαγγελίοις ἐγγέγραπται. ἀλλὰ μηδαμῶς ὑποληπτέον, αὐτὸν ὑπομεμενηκέναι τι τούτων ἀνάγκῃ τὸ παράπαν, ἀλλ' ἑκουσίῳ θελήματι. πλὴν ὅτι ἡνίκα ταῦτα παθεῖν ἐβούλετο, συνέβαινεν αὐτῷ, καθ' ὃν ἡμῖν συμβαίνει φυσικὸν τρόπον. ὥστε μὴ νομισθῆναι τὴν οἰκονομίαν αὐτοῦ φαντασίαν. καὶ ὅπως ἡ κατὰ τοῦ διαβόλου ἀπόφασις δικαιωθῇ, ἐξ οὗ ταύτῃ τῇ οἰκονομίᾳ τὸ τῶν ἀνθρώπων ἐλυτρώσατο γένος.

Εἶδος δὲ οὖν τῶν αὐτῷ συμβάντων ἀνθρωπίνων κατάδηλον ποιήσομαι, ἵνα τὸ ῥηθὲν βεβαιώσω. ἔστω δὲ ἡ πεῖνα. ὅτι δὴ γὰρ πεινᾶν ὁ ἀΐδιος ἤθελεν υἱὸς, ἐφίει τῇ ἑαυτοῦ σαρκὶ τὴν τοῦ ἀέρος εἰσδέχεσθαι δύναμιν. ὥστε τὸν ἀέρα κατὰ τὴν ἐπιφάνειαν αὐτῆς, ἐν τοῖς τῷ δέρματι πόροις ἀναμάττεσθαι. εἶτα τὸ προσεχέστερον τῷ ἀέρι τῆς σαρκὸς μέρος, ἐκ τῶν μελῶν ἐπεσπᾶτο οἷς ἂν ἐμπελάζει μέρος, ἀφ' οὗ ὁ ἀὴρ ἀνιμᾶται, κἀκεῖνα τῶν κενῶν ἐξεῖλκε χωρημάτων, οἷς ἀεὶ χορηγεῖταί τις ἔνυλος ἐκ τῆς καταλλήλου τροφῆς ἀνάδοσις. ἥτις ἐκ τῶν ἐμπεφυκυιῶν αὐτοῖς ἀπὸ τοῦ ἥπατος ἐξείλκετο φλεβῶν. αἱ δὲ φλέβες ἐκ τοῦ ἥπατος. τὸ δὲ ἧπαρ ἐκ τῶν δύο φλεβῶν τῶν ἀπὸ τοῦ στομάχου ἐκφυομένων, δύο φλέβες αὗται ἐκ τοῦ στομάχου ἀφείλκοντο. κενούμενος οὖν ὁ στόμαχος τὴν ἔξωθεν τῆς τροφῆς ἐπεζήτει χορηγίαν. κατὰ τοῦτον οὖν ἀδελφοὶ τὸν τρόπον, τῷ ἀϊδίῳ υἱῷ συμβέβηκεν ἡ πεῖνα. αὐτεξουσίῳ γὰρ βουλήσει, οὐκ ἀνάγκῃ φυσικῇ ἐπείνασεν. καὶ τούτου ἀπόδειξις ἐναργὴς, ὅτι τεσσαράκοντα ἡμέρας διαμείνας ἄσιτος, ὕστερον ἐπείνασεν. εἰ γὰρ ὡς ἑκάστης τῶν ἡμετέρων σαρκῶν, καὶ τῆς αὐτοῦ σαρκὸς ἐξουσίαζεν ὁ ἀὴρ, οὐκ ἂν ἡμέραν διεληλύθει μίαν, ἢ δύο, ἢ τρεῖς, ἄχρις ἂν πεινάσῃ καθὼς ἐν αὐτῷ ὁρῶμεν γινόμενον. ἀλλ' ὅτε ἐβούλετο, ἐνεδίδου τῇ φύσει καιρὸν, τὰ ἑαυτῆς ἐνεργῆσαι, καὶ ἐνδείξασθαι, ὡσαύτως καὶ τὸν θάνατον ἑκὼν ὑπέμεινε, καὶ αὐτῆς τῆς ὄντως ἀληθείας περὶ αὐτῆς τοῦτο λεγούσης ἀκούετε. ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτὴν καὶ οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ. ἵνα δὲ σαφέστερα τὰ λεγόμενα κατανοήσητε, ταῦτα προσθήσομαι.

Ὅτι τοῦ Ἀδὰμ τὸ σῶμα καθαρὸν ἀπὸ παντὸς μολύσματος ἔπλα-

humana, ficut dictum eſt prius, æterno Filio, qui eſt Chriſtus, acciderunt poſt carnem aſſumptam, mors ſcilicet & alia, quæcunque in Euangeliis ſcripta ſunt. Sed nequaquam exiſtimandum eſt quidquam horum neceſſariò omnino ſuſtinuiſſe, ſed voluntariè, niſi quod quando volebat hęc pati, accidebat illi modo naturali, quo nobis accidit. ne exiſtimaretur incarnatio eius fictio. & vt ſententia contra diabolum pronunciata iuſtificaretur, à quo hac incarnatione genus humanum redemit.

Vnam autem ſpeciem eorum, quæ humana acciderunt ei, declarabo, vt quod dictum eſt, confirmem. ſit fames, loquamur de fame. Quando noluit æternus Filius eſurire, ſinebat carnem ſuam excipere vim aëris, vt aër illa exprimeret, quæ per ſuperficiem carnis ſunt in poris cutis. Deinde pars carnis propinquior aëri, ex membris attrahebat, quibus appropinquat pars, ex qua aër hauritur; & illa membra extrahebant ex vacuis receptaculis, quibus ſemper ſuppeditatur ex conueniente alimento digeſtio, quæ ex venis ipſorum membrorum ab hepate educitur; venæ autem ex hepate; hepar verò ex duabus venis, quæ ex ſtomacho oriuntur; hæ duæ venæ trahebant ex ſtomacho. ſtomachus igitur exinanitus, requirit, vt extrinſecus ſuppeditetur alimentum. hoc modo fratres æterno Filio accidit fames. voluntate enim libera, non neceſsitate naturali eſuriuit. cuius rei euidens argumentum eſt, quod cùm quadraginta diebus, & noctibus ieiunaſſet, poſtea eſuriit. ſi enim aër poteſtatem in carnem eius habuiſſet, vt in carnem cuiuſque noſtrum, non vnum diem, vel duos, vel tres tranſegiſſet, quouſque eſuriret, ſicut factum in eo eſſe videmus. Sed quando volebat, permittebat naturæ, vt quæ erant eius, operaretur, & oſtenderet. Similiter etiam mortem volens ſuſtinuit. audite quid ipſa veritas de ſe dicat, poteſtatem habeo ponendi animam meam; & poteſtatem habeo iterum ſumendi eam. & nemo tollit animam meam à me. vt autem clarius, quæ dicuntur, intelligatis, hæc addam.

Corpus Adæ purum ab omni labe* formaſſe Deum, nullis

*formauit Deus

σεν ὁ θεὸς, ὑπ' οὐδενὸς τῶν φυσικῶν ἀδιαβλήτων παθῶν ἀναγκαστικῶς κυριευόμενον, θανατοῦ τι, καὶ τοῦ πρὸ τοῦ θανάτου, καὶ μετὰ θάνατον. ἑκουσίᾳ δὲ γνώμῃ καὶ ἑκουσιότητι τοῦ Ἀδὰμ τὴν θείαν παραβάντος ἐντολήν, ὑποπεσόντος τι τῇ ἁμαρτίᾳ, καὶ μολυθέντος τοῖς φυσικοῖς ἀδιαβλήτοις ἐδουλώθη τι, καὶ κατακυριεύθη πάθεσι, θανάτῳ τι, καὶ τῷ πρὸ θανάτου, καὶ μετὰ θάνατον. ὅθεν ὁ Ἀδὰμ πεινᾷν, καὶ διψᾷν, καὶ θνήσκειν ἀνάγκῃ κατεβιάζετο, καὶ μετὰ θάνατον ἡ διαφθορὰ τοῦ σώματος αὐτοῦ κατεξουσίαζε. καὶ ὅσα τούτοις ἦσαν ὅμοια. ὁ μέν τοι ἀΐδιος υἱὸς τὸ ἀδαμιαῖον ἀνέλαβε σῶμα, τοῦτ' ἔστιν αὐτὸς ἑαυτῷ ἐκ τῶν ἀχράντων αἱμάτων τῆς παναγίας παρθένου Μαρίας διεπλάσατο καθαρόν, καὶ παντὸς μύσους ἁμαρτίας ἐλεύθερον. ταύτῃ τῇ τῷ θανάτῳ κατ' αὐτοῦ κράτος οὐκ ἦν, οὔτε πρὸ θανάτου πεῖνα δὴ φημί, καὶ τῶν ἄλλων φυσικῶν ἀδιαβλήτων παθῶν ἐσμός, ὡς ἀπεδείξαμεν. οὔτε μὴν τῇ μετὰ θάνατον τῶν σωμάτων διαφθορᾷ ἣν Δαυὶδ ὁ θεοπάτωρ μελῳδῶν προανεφώνησεν. ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

Τί δή μοι τὰ πεπερασμένα ὑποστέλλειν, ἀλλὰ μὴ συλλήβδην ἐρεῖν; ὅτι τὸ τοῦ ἀϊδίου υἱοῦ σῶμα, ἀπαρχῆς τῆς ἑαυτοῦ διαπλάσεως, καὶ τῆς καθ' ὑπόστασιν τοῦ ἀϊδίου υἱοῦ ἀσυγχύτου ἑνώσεως, τὴν τελειοτάτην ἐθεώθη θέωσιν, καὶ γέγονεν ἀτρέπτως ὅπερ τὸ χρίσαν, καὶ θαρρῶ λέγειν, ὁμόθεον. ἀλλ' ὁ ἀΐδιος υἱὸς ἐθέλοντι ἐνέδωκεν αὐτῷ διάγειν, κατὰ τὴν τῶν ἀνθρωπίνων σωμάτων διαγωγήν. ἵνα τὸν μὲν διάβολον λάθῃ, τῆς δὲ αὐτοῦ σωτηρίου οἰκονομίας γένηται πίστωσις. καὶ πειρασθείη τῶν σκυθρωπῶν, καὶ δέξηται τὰ πάθη, καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν ὑπομείνῃ ἀληθείᾳ, οὐ φαντασίᾳ. πληρώσας δὲ πᾶσαν αὐτοῦ τὴν οἰκονομίαν, ἀνέδειξε μετὰ τὴν ἑαυτοῦ ἐκ νεκρῶν ἀνάστασιν ἐν τῇ ἰδίᾳ σαρκὶ τὴν δόξαν τῆς ἑαυτοῦ θεότητος. ἀλλ' ἵνα μὴ νομιστέον ταύτην τὴν δόξαν, τὴν ἐν τῇ σαρκὶ τοῦ ἀϊδίου υἱοῦ, μετὰ τὴν ἐκ τάφου ἔγερσιν ἀναδεδειγμένην ἔξωθεν ἐπεισελθεῖν, ἀλλὰ φανέρωσιν εἶναι τῆς ἐν αὐτῇ κεκρυμμένης ἀπ' ἀρχῆς τῆς καθ' ὑπόστασιν ἀσυγχύτου ἑνώσεως. τούτου δὲ μαρτυρία σαφής, ὅτι πρὸ τοῦ σωτηρίου πάθους ἔμπροσθεν τριῶν τῶν αὐτοῦ μαθητῶν ἐν ὄρει Θαβώρ, τὴν ἐν τῇ αὐτοῦ σαρκὶ θεϊκὴν ἔδειξε δόξαν. ἣν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναφοίτησιν

ἐξέφη-

lis naturalibus paſsionibus, à culpa vacantibus neceſsitate ſubiectum, vt mortis, & iis paſsionibus, quæ ſunt ante mortẽ, & quę poſt mortẽ. poſtquam autem Adam ſua voluntate diuinum mandatum tranſiuit, & ſub peccato cecidit, & pollutus eſt, paſsiones naturales à culpa vacãtes dominatę ſunt in eum, mors ſcilicet, & quæ ante mortem, & quæ poſt mortẽ, ob hanc cauſam cogebatur Adam eſurire, & ſitire, ac mori. & poſt mortem corruptio corporis, & quæcunque his ſunt ſimilia dominatum in eum habebant. æternus tamen filius corpus Adamæum aſſumpſit, id eſt, ipſe ſibi ex ſanguinibus puriſsimis ſanctiſsimæ Virginis Mariæ corpus purum, & ab omni macula liberum formauit. hac de cauſſa non habuit mors imperium in eum, nec ante mortem, fames ſcilicet, & aliarum paſſionum, quæ reprehendi non poſsit, multitudo, vt docuimus; neque poſt mortem corruptio corporum, quod Dauid in Pſalmo prædixit, inquiens, *non derelinques animam meam in inferno; neq; dabis ſanctum tuum videre corruptionem.* Sed quid ea, quæ ab aliis decurſa ſunt, ſubiiciam? & non potius ſummatim dicam? corpus ſcilicet æterni filij à principio ſuæ formationis & vnionis hypoſtaticæ ſine confuſione, perfectiſsimè deificatũ eſſe, & factum ſine mutatione illum, qui vnxit, & audeo dicere ὁμόθεον. verùm æternus filius volens conceſsit ei degere vitam more corporum humanorum, vt diabolum lateret, & incarnatio eius ſalutaris crederetur, experiri aſpera, & moleſta, & paſsiones ſuſcipere, ac mortem pro nobis verè, & non fictè ſubire, completa autem omni ſua diſpenſatione poſt reſurrectionem à mortuis oſtendit in propria carne gloriam ſuæ diuinitatis. ne autem exiſtimaremus, hanc gloriam, quæ in carne æterni filij poſt reſurrectionem oſtenſa eſt, extrinſecus aduenisse, quin potius oſtenſam eſſe, quæ in ipſa à principio ipſius ſecundum hypoſtaſim vnionis ſine confuſione factæ, latebat, teſtimonium manifeſtum dedit, quando ante paſsionem coram tribus diſcipulis ſuis in monte Thabor in propria carne ſua diuinam gloriam oſtendit, quam etiam

Pſal. 15.

ἐξέφηνεν. ἐτεθέωτο γάρ, ὡς προείπομεν, ἡ τοῦ ἀϊδίου σάρξ, τὴν πλειοτάτην θέωσιν ἀπ' ἀρχῆς τῆς ἑαυτοῦ διαπλάσεως. ἀλλ' ὁ ἀΐδιος υἱὸς ἐφῆκεν αὐτὴν διὰ τὴν αἰτίαν, ἧς ἐμνημονεύσαμεν, καὶ τὴν τῶν ἡμετέρων σωμάτων ἀναστρέφεσθαι βίωσιν.

Αὕτη τοίνυν, ὦ οὗτοι, τῆς ἡμετέρας ὁμολογίας ἡ διατύπωσις. Καὶ πλατύτερον ἐδυνάμεθα περὶ αὐτῆς διεξιέναι, ἀλλὰ τὸ τοῦ λόγου παρῄτημαι μῆκος. διὸ κατανοήσαντες τὰ πρὸς ἡμῖν σημανθέντα, καὶ τῇ κατὰ Χριστὸν ἀγάπῃ προσηκάμενοι, συναρμόσθητε ἡμῖν, καὶ ἑνώθητε. καὶ γενώμεθα πάντες ἓν διὰ τοῦ ἀϊδίου πνεύματος ἐν τῇ θεοπνεύστῳ τοῦ μεγάλου, καὶ κορυφαίου τῶν Ἀποστόλων Πέτρου ὁμολογίᾳ ταύτῃ, ἣν συνετάξαμεν. ὅπως ἡμῖν ἱλάσθῃ Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ πᾶσαν ἐναντίαν προσβολὴν, καὶ ἀνιαρὰν ἐπαγωγὴν ἀπώσηται, καὶ εἰς τὴν ὄντως ἡμᾶς μεταστήσῃ μακαριότητα. καὶ ἐν τῇ ἑαυτοῦ συνάψῃ, καὶ συναρμόσῃ βασιλείᾳ, ἧς γένοιτο πάντας ἐπιτυχεῖν, πρεσβείαις τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου Μαρίας, καὶ Ἰωάννου τοῦ προδρόμου, καὶ Βαπτιστοῦ, Πέτρου τε τοῦ κορυφαίου τῶν Ἀποστόλων, καὶ Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ πάντων τοῦ τῶν ἁγίων συστήματος. *

* Ἀμήν. Turr.

V.

Τοῦ αὐτοῦ Θεοδώρου τοῦ Ἀβουκαρᾶ Ἐπισκόπου Καρῶν.

Ἐρώτησις. διὰ τί λέγομεν, ὅτι ἡ ἀνθρωπότης τοῦ Χριστοῦ αὕτη ἐστὶν ἡ ἀνθρωπότης Πέτρου, καὶ Παύλου, καὶ τῶν καθέκαστον ἀνθρώπων, οὐ λέγομεν δὲ, ὅτι τὸ σῶμα τοῦ Χριστοῦ, οὗ καὶ μεταλαμβάνομεν, αὐτό ἐστι τὸ σῶμα Πέτρου, καὶ Παύλου καὶ ἑκάστου ἀνὰ μέρος ἀνθρώπων; ἀπόκρισις. ὅτι τὸ κοινὸν τὸ ὁλικὸν δεχόμενον ἰδίωμα χαρακτηριστικὸν. ὑπόστασις γίνεται, τὸ δὲ σῶμα τὸ κοινὸν, καὶ ἁπλῶς λεγόμενον δεχόμενον ἰδίωμα χαρακτηριστικὸν, οὐκέτι ὁ δεῖνα λέγεται, ἀλλὰ τοῦ δεῖνος, ἤγουν οὐχ ὑπόστασις γίνεται, ἀλλὰ τῆς ὑποστάσεως. τὸ γὰρ σῶμα μέρος ἐστὶ τῆς φύσεως, καὶ οὐχ ὅλον. διὸ τὸ μέρος οὐκ ἰδίᾳ ὑφίσταται, ἀλλὰ τοῦ ὅλου λέγεται.

Παρά-

post resurrectionem patefecit. erat enim, vt iam diximus, caro æterni filij perfecta deificatione à principio suæ formationis prædita. Sed æternus filius, siuit eam conuersari more victus nostrorum corporum, vt iam commemorauimus.

Hæc est fratres descriptio nostræ confessionis, quam quidem latius persequi poteramus, sed nolui esse prolixus. quãobrem comprehensis mente, quæ significauimus, & admissis per charitatem erga Christum, adiungite vos nobis, & copulamini, & efficiamur omnes vnum per Spiritum sanctum, in hac diuinitus reuelata confessione Petri principis Apostolorum, cui nos adscripsimus, vt nobis Dominus Deus noster propitius sit, & omnem contrarium incursum, & acerbam afflictionem amoueat; & ad veram beatitudinem nos transferat; & in regno suo nos omnes coniungat, & aptet. quam vt assequamur omnes, faxit Deus precibus sanctissimæ reginæ nostræ Deiparæ Mariæ, ac Ioannis præcursoris, & Baptistæ, ac Petri summi in Apostolis, & Iacobi fratris Domini, & cœtus omnium horum Sanctorum, Amen.

Eiusdem Theodori cognomento Abucaræ Episcopi Carum. V.

Turriano interprete.

INTERROG. Quare sicut dicimus humanitas Christi est ipsa humanitas Petri & Pauli & vniuscuiusque hominis, non sic dicimus, corpus Christi, quod sumimus & participamus, idem est, Petri & Pauli, & cuiusuis corpus? Resp. Quoniam commune respiciens totam proprietatem characteristicam, id est, signantem; hypostasis efficitur. Corpus verò commune & simpliciter dictum recipiens proprietatem signantem non amplius dicitur *ὁ τίνα, quidam* sed *cuiusdam*, id est, non fit hypostasis siue persona, sed fit personæ, corpus enim pars naturæ est, non totum. Quamobrem pars, non existit seorsim & per se, sed dicitur totius.

VI. Παράδειγμα, δι' οὗ ἀποδείκνυται πῶς ὁ μολυσμὸς τῆς ἁμαρτίας τοῦ Ἀδὰμ εἰς ἅπαν τὸ ἀνθρώπειον διέβη γένος.

Φασὶν οἱ γεωπόνοι, ὅτι ἐὰν λαβὼν κλάδον ἀμπέλου, καὶ ἐμβάψας ἐλαίῳ φυτεύσῃς, ἡ ποιότης τοῦ ἐλαίου πᾶσα καὶ ἐν τῷ καρπῷ, ἤγουν ἐν τῇ σταφυλῇ διαδίδοται, οὕτω καὶ ὁ Ἀδὰμ παραλαβὼν τὴν φύσιν καθαράν, ἔχρανεν αὐτὴν τῇ ἁμαρτίᾳ, καὶ τοῖς πάθεσι, καὶ διεδόθη εἰς ἡμᾶς ἡ ποιότης.

Πῶς δὲ διὰ τῆς ἐνσάρκου τοῦ σωτῆρος οἰκονομίας εἰς πάντας ἡμᾶς διέβη ἡ κάθαρσις.

Φασὶ δὲ πάλιν, εἰ λαβὼν σπέρμα πέπονος, καὶ ἐμβάψας μέλιτι σπείρεις, ἡ γλυκύτης τοῦ μέλιτος καὶ ἐν τῷ καρπῷ διαδίδοται. οὕτω καὶ ὁ χριστὸς τὴν φύσιν ἐκ τῆς ἐλαιώδους ποιότητος, ἤγουν ἐκ τῆς ἁμαρτίας ἀποκαθάρας, διὰ τοῦ ἁγίου βαπτίσματος, ἀνέλαβεν αὐτὴν ἀκηλίδωτον, καὶ ἄχραντον, οἵα καὶ ἦν, καὶ ἐκτίσθη τὸ πρότερον. καὶ ἐμβάψας αὐτὴν τῷ μέλιτι τῆς θεότητος, γλυκύτητι, ἤτοι τῇ δυνάμει τοῦ παρακλήτου μετέδωκεν ἡμῖν τῆς γλυκύτητος, ὡς οἱ κόκκοι τοῦ πέπονος τῷ ἀπ' αὐτῶν καρπῷ, καὶ κατὰ διαδοχήν.

VII. Τοῦ αὐτοῦ Θεοδώρου Ἐπισκόπου Καρῶν, περὶ τῆς πάλης τοῦ χριστοῦ μετὰ διαβόλου.

Ἐρώτησις. Χριστὸς θεὸς ὤν, καὶ πρὸς τὸν διάβολον παλαίσας, ἐνίκησεν, τί δὴ μέγα πεποίηκεν; ἐρεῖ γὰρ ὁ διάβολος, ὅτι ἄνθρωπον ἐνίκησα, καὶ ὑπὸ θεοῦ ἐνικήθην. τί δὲ καὶ ὠφελήθη ἡ φύσις ἡμῶν τοῦ θεοῦ νενικηκότος; ἀπόκρισις. οἱ μὲν Ιακωβῖται τὸν θεὸν λόγον ἁπλῶς λέγουσι πεπαλαικέναι, καὶ νενικηκέναι. οἱ δὲ Νεστοριανοὶ τοὐναντίον, τὸν ἄνθρωπον ἁπλῶς καὶ μόνον. ἡ δὲ ἐκκλησία, τὴν μέσην, καὶ βασιλικὴν ὁδὸν διανύουσα, τὸν θεὸν λόγον,

Exemplum, quo ostenditur, quomodo macula peccati Adami vniuersum genus humanum peruaserit. VI.

AIVNT agricolæ, si accipias palmitem, tinctumque oleo plantes olei qualitatem in ipsum etiam fructum, hoc est, in vuam redundare. Sic & Adamus cùm naturam omnis maculæ expertē accepisset, eam peccato variisq; affectionibus contaminauit; cuius contagio ad nos vsque manauit.

Quomodo per Incarnationem Saluatoris nostri ad omnes expiatio peruenerit.

AIunt, si semen peponis melle tinctum seras, dulcedinem mellis in ipsum fructum transire. Ita Christus natura ab oleosa qualitate, nimirum à peccato per sanctum Baptismum expurgata, assumpsit illam absque labe & macula, qualis prius erat, & condita fuerat, eaque melle diuinitatis & dulcedine, hoc est, virtute Spiritus sancti delibutâ nos etiam dulcedinis participes effecit, quemadmodum grana peponis, quasi per traducem, fructum participem efficiunt.

Theodori Episcopi Carum de luctatione Christi cum Diabolo. VII.

Francisco Turriano interprete.

INTERROGATIO. Christus Deus cum diabolo luctatus, vicit eum, quid magnū fecit? dicet diabolus. ego hominem vici; & à Deo victus sum. Quam vtilitatē reportauit natura nostra ex victoria Dei? Respon. Iacobitæ Deum verbum simpliciter, aiunt luctatum esse; Nestoriani contra, hominem simpliciter, & solum. Ecclesia verò, quæ media via, & regia ingreditur, verbum in

λέγων, σαρκὶ τὴν πάλην ποιήσασθαι μετὰ τοῦ διαβόλου διδάσκει. καὶ εἰ μέν, ὡς οἱ Νεστοριανοὶ λέγουσιν, ἦν ἄνθρωπος ὁ νενικηκώς, καὶ ἀναιρεθείς, οὐθὲν ἡμᾶς ὠφέλησεν ἀνθρώπου θάνατος. ἐῶ γὰρ λέγειν νῦν, ὅτι πολλὰ προσκόψουσιν, πρὶν ἢ ἀποδεῖξαι, δυνατὸν εἶναι, ἄνθρωπον ψιλὸν νενικηκέναι. εἰ δὲ ὡς οἱ Ιακωβῖται φασίν ἐστιν, οὐδὲν πρὸς ἡμᾶς τοῦ θεοῦ ἁπλῶς νενικηκότος. ἀλλ' * ἐπειδὴ ἰδιορυθμία τὸν Ἀδὰμ νέμειν, καὶ σὺν μετέπειτα ἀνθρώπους, ὁρῶν ὁ διάβολος ὑπ' αὐτοῦ ἡττημένην, οὐ τῇ ὑποστάσει τοῦ Ἀδάμ, καὶ τῶν λοιπῶν ἀνθρώπων ἐλογίζετο τὴν ἧτταν, ἀλλ' αὐτῇ τῇ φύσει, λέγων. ὅτι ἔπλασεν ὁ θεὸς πλάσμα μὴ δυνάμενον πρός με καὶ τὴν ἁμαρτίαν ἀντιστῆναι. τούτου χάριν ὁ θεὸς λόγος, τὴν φύσιν τῆς ἀνθρωπότητος τελείαν ἀναλαβὼν ἐχρήσατο τῷ αὐτεξουσίῳ αὐτῆς θελήματι, ταῖς τε αἰσθήσεσι, καὶ ταῖς φυσικαῖς δυνάμεσι πάσαις κατὰ φύσιν, καὶ κατὰ τὸ δέον, καὶ κατὰ τὸ βούλημα τοῦ θεοῦ. καὶ οὕτως ἐνίκησεν τὸν διάβολον, οὐ δύναμιν θεϊκὴν καὶ θειοτέραν τῆς φύσεως προσθείς, καὶ ἐπιχορηγήσας ἐν τῇ πάλῃ, ἀλλὰ πρὸς τὸ ἁρμόζον καὶ τῷ θεῷ, καὶ τῷ θείῳ νόμῳ συνᾷδον χρησάμενος τοῖς φυσικοῖς, καὶ ῥυθμήσας πάντα τὰ τῆς φύσεως μέρη, καὶ δυνάμεις, καὶ ὄργανα, κατὰ τὸ προσῆκον, κατὰ τὰ μέτρα τῆς ἀνθρωπότητος, καὶ οὕτως ἐνίκησεν, καὶ ἀπέδειξεν τὴν φύσιν νικηφόρον, καὶ τῇ φύσει λοιπὸν ἡ νίκη, καὶ ἡ δικαίωσις λογίζεται.

* Videtur legendum: ἐπεὶ ἔδει ἰδιορυθμίαν.

Ερώτησις. Εἰπέ μοι, ὁ ἀνθρώπινος νοῦς, αὐτὸς ἦν ὁ παλαίων πρὸς τὸν διάβολον, ἢ ἁπλῶς εἰπεῖν, αὐτοκίνητος ἦν, ἢ ἑτεροκίνητος; Ἀπόκρισις. ὥσπερ οὐ λέγεται ὁ σὸς νοῦς, ἢ ποῦς, ἢ χεὶρ κινεῖσθαι. σὺ γὰρ ὁ τὸν σὸν νοῦν, καὶ τὰ μέλη, καὶ τὰς δυνάμεις κινῶν, καὶ ῥυθμίζων, ὡς βούλει. οὕτω καὶ ὁ θεὸς λόγος, αὐτὸς ἦν, ὁ τὸν ἴδιον ἀνθρώπινον νοῦν, καὶ τὰς αἰσθήσεις, καὶ φυσικὰς ἕξεις, καὶ δυνάμεις κινῶν, καὶ διακυβερνῶν, ὡς βούλεται, πρὸς τὸ εἰρημένον παρὰ σοῦ, ὅτι αὐτοκίνητος, ἢ ἑτεροκίνητος ὁ νοῦς τοῦ χριστοῦ. τοῦτό φαμεν, ὡς ἔχει ἡ φύσις. ἤτοι, καὶ ἡ ψυχή, καὶ τὸ σῶμα, καὶ τὰ τούτου μέρη, καὶ αἰσθητήρια, ἕκαστον ἰδίαν τινὰ ἁπλῆν, καὶ φυσικὴν κίνησιν. εἰ μὴ γὰρ ἔχουσι ταῦτα κατὰ φύσιν τινὰ κίνησιν, οὐκ ἂν ἡμεῖς δυνηθείημεν αὐτὰ κινῆσαι. τὴν οὖν φυσικήν, καὶ ἁπλῆν κίνησιν ἡμεῖς παραλαμβάνοντες κινοῦμεν, καὶ ῥυθμίζο-

carne, cum diabolo luctatum esse docet. quod si, vt Nestoriani aiunt, homo erat, qui vicit, & qui interfectus fuit, nihil nobis profuit mors hominis. omitto nunc dicere, quam multis erroribus labi necesse est, prius quam ab eis doceri posit hominem solum vicisse. Sin autem est vt Iacobitæ dicunt, nihil ad nos mors Christi, si Deus simpliciter vicit. Sed quia propria vitæ compositio & ordinatio Adæ, ad Adam, & ad posteros eius pertinebat, cum videret illam diabolus à se victam esse, non personam Adæ, & reliquos homines victos esse reputauit, sed ipsam naturam, sic enim aiebat, quia Deus creauit hominem, qui neque mihi, neque peccato resistere posset, idcirco Deus verbum assumpta natura humanitatis perfecta, vsus est libera eius voluntate, & sensibus, & naturalibus potentiis omnibus conuenienter naturæ, & vt oportebat, ac secundum voluntatem Dei; atque ita vicit diabolum, non opposita & suppeditata in luctatione, diuina virtute, &* ampliore, quam naturali, sed vt decebat Deum, & legem, vsus naturalibus, & omnibus naturæ partibus, & potentiis, & organis sic compositis, sicut conueniebat, vt mensura humanitatis postulabat. atque ita vicit, & ostendit naturam victricem, & naturæ deinceps victoria, & iustificatio attribuitur.

*id est, natura humana in Christo semper fuit intra mensuram suam.

B. Dic mihi, ipsa mens humana, quæ cum diabolo luctabatur, mouebatur ne à se, an ab alio? A. Sicut non dicitur mens tua, aut pes, aut manus moueri, tu enim es, qui mentem tuam, & membra, ac potentias moues, & moderaris, sicut vis, sic Deus verbum, ipse erat, qui propriam mentem humanam, & sensus, & naturales habitus, ac potentias mouebat, & gubernabat, vt volebat. Quod autem quærebas, vtrum mens Christi à se; an ab alio moueretur, respondemus,* quod mens, & anima, & corpus, & partes corporis & sensus, vnumquodque horum proprium quendam, & simplicem ac naturalem motum habet. Si enim non haberent hæc secundum naturam motum aliquem, non possemus

*Videtur hîc legisse Turr. ὁ νοῦς, καὶ ἡ ψυχή.

mus

μεν αὐτὴν, ὡς ἂν βουλοίμεθα καλῶς, ἢ κακῶς. οἷον, ἔχουσι τὴν βαδιστικὴν κίνησιν φυσικῶς οἱ πόδες. ἐγὼ δὲ κέχρημαι τῇ βαδίσει, ὡς βούλομαι· ἔχουσιν οἱ ὀφθαλμοὶ τὸ ἁπλῶς ὁρᾶν. ἐγὼ δὲ, ὡς βούλομαι, κέχρημαι τῇ ὁράσει· τὸ οὖν ὁρᾶν ἐκ τῆς φύσεως ἔχω· τὸ δὲ, πῶς ὁρᾶν, ἐξ ἐμαυτοῦ ἐστιν. ὡς αὕτως, καὶ ἐπὶ τῆς θελήσεως, καὶ τῶν λοιπῶν τῆς φύσεως μερῶν, καὶ ἐπὶ αὐτοῦ τοῦ νοῦ. * ἔχει γὰρ καὶ αὐτὸς φυσικῶς τὸ ἁπλῶς λογίζεσθαι καὶ τοῦτο, ἢ τοῦτο. ἐγὼ δὲ τῇ τοιαύτῃ φυσικῇ δυνάμει τοῦ νοῦ κέχρημαι, ὡς βούλομαι κατὰ γνώμην ἤτοι καλὰ, ἢ κακὰ λογιζόμενος, καὶ κατεργαζόμενος τὴν τοῦ νοῦ δύναμιν, εἰς ὅπερ ἐφίεμαι. τὸ γοῦν ἁπλῶς κινεῖσθαι κατὰ τὴν ἰδιότητα ἑκάστου μέρους τῆς φύσεώς ἐστι. τὸ δὲ πῶς κινεῖσθαι, τῆς ὑποστάσεως. οὕτω καὶ ἐπὶ Χριστοῦ νόει. ὥσπερ λέγεται ὁ τέκτων τῇ ἰδίᾳ χειρὶ πεποιηκέναι τὸ θρόνιον, καὶ λέγομεν, ὅτι ἡ χεὶρ τοῦ τέκτονος τὸν θρόνον πεποίηκεν. οὕτω φαμὲν, καὶ τὸν θεὸν λόγον νενικηκέναι τῇ σαρκὶ, καὶ τὴν σάρκα λέγομεν πάλιν νενικηκέναι ἤτοι τὴν φύσιν τῆς ἀνθρωπότητος.

* Desideratur in Codice Turr.

Ερώτησις. Πῶς ὁ Αδὰμ ἠπατήθη; οὐχὶ διστάσας, μᾶλλον δὲ ἀπιστήσας τῷ λόγῳ τοῦ θεοῦ, καὶ πιστεύσας τῷ διαβόλῳ; ἀπόκρισις. τὸ λεῖον τῆς ἡδονῆς ἔθελξεν αὐτὸν πρῶτον τῆς ἐπιθυμίας, εἶτα ἐδίστασεν. εἰ γὰρ μὴ καλὸν ἦν, μήδε ὡραῖον ἐφάνη αὐτῷ τὸ ἀπηγορευμένον φυτὸν, οὐκ ἂν ἑαυτὸν ἐφρεναπάτησεν, καὶ τὸν λόγον τοῦ ἐχθροῦ παρεδέξατο. καὶ πρόσχες ὃ λέγω. εἰ ὑπέδειξεν αὐτῷ ὁ διάβολος φυτὸν δυσῶδες, ἀκανθῶδες, καὶ πικρὸν, καὶ εἶπεν αὐτῷ. εἰ φάγοις ἀπὸ τούτου, ἔσῃ θεός. οὐκ ἂν ἀναποδείκτως, καὶ ἀνεξετάστως παρεδέξατο τὴν ἀπάτην. ἀλλ' ἐπολυπραγμόνησεν ἂν ἀποκρινόμενος, καὶ λέγων. πόθεν σοὶ τοῦτο τὸ εἰδέναι, ἢ πόθεν μοι παρέχεις τὴν τοιαύτην πληροφορίαν, καὶ ἀπόδειξιν; καὶ ἁπλῶς οὐκ ἄν ποτε ἐπείσθη ἄνευ ἀπαραλογίστου ἀποδείξεως τὸν λόγον αὐτοῦ παραδέξασθαι. ἐπειδὴ δὲ ἡ ἐπιθυμία ἐχαύνωσε, τὸν ἑαυτοῦ λογισμὸν παρελογίσατο. οὕτω καὶ οἱ τῷ ψευδοπροφήτῃ τῶν ἀγαρηνῶν ἠκολουθηκότες πεπιστεύκασιν αὐτῷ ταῖς δεδομέναις αὐτοῖς, καὶ ἐπηγγελμέναις ἡδοναῖς φενακισθέντες, λάφυρα γὰρ πολλὰ, καὶ σκῦλα, καὶ νόμον ἀνειμένον, καὶ ταῖς ἐπιθυμίαις αὐτῶν καταθύμιον δεδωκότος αὐτοῖς, ἐμώρανεν, καὶ

ἐξηπά-

mus nos naturali & simplici motu moueri, quem nos suscipimus, & eo mouemur, & moderamur eum, vt volumus, bene vel male. verbi gratia, habent pedes facultatem insitam ad ambulandum, ego verò vtor ingressu, & ambulatione, vt volo. habent oculi facultatem videndi simpliciter; ego verò aspectu, vt libet, vtor; vt igitur videam, à natura habeo, quomodo autem videam, ex me est. Similiter fit in voluntate, & in reliquis partibus naturæ; & in ipsa mente; vtor, vt volo, & secundum sententiam, id est, honesta, aut praua, potestate mentis cogito, & operor. Quod igitur diximus, simpliciter moueri secundum proprietatem cuiusque partis, naturæ est, quomodo autem quis moueatur, personæ est. Sic in Christo intellige. Sicut dicitur faber lignarius fecisse propria manu sedile; & dicimus item manum fabri lignarij fecisse sedile, sic dicimus Deum verbum vicisse carne; & rursus dicimus carnem vicisse, id est, * naturam humanitatis.

* *naturā humanitatis in hypostasi diuina dicit.*

B. Quomodo Adam victus est? nonne dubitans, immò potius non credens verbo Dei, & credens diabolo? A. Blanditia ipsius voluptatis primum deliniuit eum cupiditate; deinde dubitauit. nisi pulchrum ei visum esset quod interdictum erat, nunquam mentem suam decepisset. & aduerte quod dico, si diabolus ostendisset ei lignum, vnde sumpsit vetitum cibum, tetro odore, & spinosum, & amarum, dixissetque, si ex hoc comederis, eris Deus, nunquam sine probatione, & indagatione locum fallaciæ eius dedisset. quin potius curiosè de ea re inquisiuisset, ac respondens dixisset, vnde hoc scis? aut vnde mihi hoc probas? & me certū reddis? & denique nunquam sine vera demonstratione fidem verbis eius adhibuisset. postquā verò cupiditas eū molliuit, fefellit ipse suam cogitationem. Sic euenit iis, qui pseudoprophetam Agarenorum secuti, crediderunt ei concessis, & promissis voluptatibus decepti. cum enim multa spolia, & legem remissam & relaxatam, & eorum cupiditatibus iocundam, dedisset, facilè conscientiam propriam fatue deceperunt;

ἐξηπάτησαν τὴν ἰδίαν συνείδησιν. καὶ ἐπίστευσαν, ὅτι προφήτης ἐστὶ, καὶ θεοῦ ἀπόστολος. ἐπεὶ εἰ μηδὲν προέτεινεν ἐκ τῶν ἐφέσεων αὐτῶν, ἀλλὰ λυπηρά τινα, καὶ ἐργώδη αὐτοῖς προεβάλετο, εὐθὺς ἂν αὐστηρῶς αὐτῷ, καὶ ἰταμῶς ἀπεκρίναντο. καὶ πόθεν ἡμᾶς πείθεις, ὅτι σὲ ὁ θεὸς ἀπέσταλκεν; καὶ τίνα πίστωσιν δίδως; καὶ αὖ αὐτὸν εἰσεπράξαντο ἐναργεῖς, ὧν λέγῃ τὰς ἀποδείξεις. καὶ ἁπλῶς εἰπεῖν, ἐπεὶ πάντως τὸ ἐπιθυμητικὸν νοσεῖ, καὶ πότε τὸν νοῦν ἐπισπᾶται, καὶ δελεάζει πρὸς συγκατάθεσιν.

Ἐρώτησις. Ἠδυνάτο ὁ ἡνωμένος καθ' ὑπόστασιν τῷ θεῷ λόγῳ, καὶ ἡ σὰρξ ἐκείνη συναπαχθῆναι ὅλως ταῖς τοῦ πειράζοντος ἡδοναῖς, καὶ τοῦ κόσμου; Ἀπόκρισις. τὸ μὴ δύνασθαι ὧδε οὐ κατὰ τὸ ἀσθενὲς, καὶ ἀνένδεκτον, καὶ ἀνεγχώρητον, ἀλλὰ κατὰ τὸ εὔλογον, καὶ εὐπρεπὲς, ὡς καὶ ἐπὶ τοῦ θεοῦ φαμὲν, ὅτι οὐ δύναται ἀδικῆσαι.

VIII.

Ἐρώτησις Ἀράβων πρὸς Χριστιανόν.

Ὁ ἄρ. Εἰπέ μοι, ὁ χριστὸς θεός σου ἐστίν; ὁ χρ. ναί. ὁ ἄρ. ἔχεις οὖν ἕτερον θεὸν πλὴν αὐτοῦ; ὁ χρ. οὐχί. ὁ ἄρ. οὐκοῦν ὁ πατὴρ καὶ τὸ πνεῦμα διαπεπτώκασίν σοι. ὁ χρ. ἄκουε καὶ σὺ παρ' ἐμοῦ. παρέστω ἐνταῦθα καθ' ὑπόστασιν ἡ ὑμετέρα γραφὴ, ἡ ἐκ τοῦ οὐρανοῦ, ὥς φατε, κατελθοῦσα. ἐρωτήσω δή σε. ἔχεις ἄλλην γραφὴν πλὴν ταύτης; ὁ ἄρ. ἀποκρινοῦμαί σοι, λοιπὸν μὴ ἔχειν. ὁ χρ. οὐκοῦν ἀρνῇ πᾶσαν ἑτέραν γραφήν; ὁ ἄρ. ναί. ὁ χρ. τί οὖν, εἰ παρείη ἄλλη βίβλος, τὴν αὐτὴν γραφὴν ἔχουσα, ἀρνῇ τὴν γραφὴν ἐκείνην; ὁ ἄρ. οὐκ ἔστιν ἄλλη, καὶ ἄλλη γραφὴ, ἀλλ' ἡ αὐτὴ, εἰ καὶ ἐν ἄλλῃ καὶ ἄλλῃ καθέστηκεν βίβλῳ. ὁ χρ. ἀλλὰ κἀγὼ λέγω, ὅτι οὐκ ἔστιν ὁ πατὴρ, καὶ τὸ πνεῦμα ἄλλο, καὶ ἄλλο παρὰ τὸν υἱὸν, εἰ καὶ ἐν ἄλλῃ, καὶ ἄλλῃ ὑποστάσει διαγινώσκεται.

Ἐρώτη-

crediderantque Prophetam Dei esse, & Apostolum. etenim nisi proposuisset, quæ eis iocunda essent, sed potius molesta, & difficilia, statim austere, & sine vllo pudore respondissent, vnde nobis suades; esse te à Deo missum? & quomodo fidem facis? exegissentque ab eo perspicuas eorum, quæ dicebat, rationes. & vt vno verbo dicam, cum ægrotat ea pars, qua cupimus, tunc mentem trahit, & ad assensionem illicit.

B. Poterat ne qui erat secundum hypostasim vnitus Deo, & caro illa trahi omnino voluptatibus illius, qui tentabat, & mundi? A. Non potuisse dicimus, non propter infirmitatẽ, & debilitatem, sed propter conuenientiam rationis, & decentiæ, sicut dicimus, non posse Deum iniuriam facere.

Interrogatio Arabũ contra Christianum. VIII.

A. Christ. B. Arab.

B. Dic mihi, est ne Christus Deus tuus? A. Maximè. B. Habes ne alium Deum præter eum? A. Nequaquam. B. Igitur Pater, & Spiritus sanctus exciderunt tibi. A. Audi etiam me. sit, existatque hic scriptura vestra, quam dicitis è cœlo descendisse, percunctor à te, habes ne aliam præter hanc? B. Respondeo, nullam aliam habere. A. Negas igitur omnem aliam. B. Maximè. A. Quid? Si adsit alius liber, qui eandem scripturam habeat? negas scripturam illam? B. Non est alia, & alia scriptura, sed eadem; tametsi in alio libro posita est. A. Sic ego etiam dico, non est Pater, & Spiritus sanctus aliud, & aliud præter Filium, quamuis in alia, & alia hypostase reperitur.

IX.

Ἐρώτησις ἀγαρηνοῦ πρὸς τὸν αὐτόν.

Ὁ ἀγαρηνός. Εἰπέ μοι, οἱ Ἰουδαῖοι τὸν χριστὸν, ὃν θεὸν σὺ
εἶναι λέγεις, σταυρώσαντες, βουλομένου αὐτοῦ, ἢ μὴ βου-
λομένου, τοῦτο πεποιήκασιν; ὁ χριστιανός. βουλομένου.
ὁ ἀγαρ. οὐκοῦν οὐ μόνον εἰσὶν ἀνεύθυνοι, ἀλλὰ καὶ εὐχα-
ριστηθῆναι παρ' ὑμῶν ὀφείλουσιν. ὁ χριστιαν. ἀπόκριναί μοι, ἀντε-
ρωτῶντί σε. ἐγὼ βλασφημῶν καθ' ἑκάστην ἡμέραν, ὡς σὺ λέγεις,
εἰς τὸν θεόν σου, ἄκοντος αὐτοῦ τοῦτο πράσσω, ἢ ἑκόντος; εἰ μὲν γὰρ
ἄκοντος, ἀσθενής ἐστιν. εἰ δὲ ἑκόντος, οὐ μόνον οὐκ ὤφειλεν τέλη, καὶ
φόρους, ἀπαιτεῖσθαι παρὰ μοῦ, ἀλλὰ δῶρα κομίζεσθαι, ἅτε βού-
λημα τοῦ θεοῦ σου πληρῶν· ἔτι μοι ἀπόκριναι. ἡνίκα ταῖς ῥωμαϊκαῖς
ἐπιβατεύσητε χώραις, εἴ τις ἐξ ὑμῶν αὐτόθι φονευθῇ, οὐκ εἰς τὸν
παράδεισον πορεύεται πάντως, ὡς ὑμεῖς δογματίζετε; ὁ ἀγαρ.
* υἱῷ καὶ. ναὶ πάντως. ὁ χριστιαν. εἰ οὖν σου ἅμα τῷ σῷ * γνησίῳ ἀδελφῷ πο-
ρευομένου, καὶ ἐπιστρατευσαμένου τοῖς ἐκεῖσε, τις τῶν ῥωμαίων τὸν
* ἢ ἀδελφὸν. σὸν υἱὸν * ἀνεῖλεν, ἄρα τὸν αὐτὸν ἀνελόντα ὡς ἐχθρὸν, καὶ
ἀνταναιρεῖν ἔμελλες; ἢ, ὡς εὐεργέτην ὑμῶν, καὶ ἀσπάζεσθαι καὶ κατα-
φιλεῖν; ὁ ἀγαρ. πάντως ἂν ἀπέκτεινα αὐτὸν μυριάκις, καὶ μεληδὸν
κατέτεμον, εἴγε δυναίμην. ὁ χριστιαν. καὶ πῶς τὸν αἴτιον τῆς τοιαύ-
* υἱῷ ἢ. της σωτηρίας, καὶ τρυφῆς τῷ σῷ γεγενημένον * ἀδελφῷ δίκαιον κρί-
νεις ἀνελεῖν; εἰπὲ δέ μοι καὶ ἕτερον πρᾶγμα. εἰ κατὰ τὸν σὸν ὀφθαλμὸν
εἶχες μώλωπα λίαν ὀδυνηρὸν, καὶ θανάσιμον. ἠθέλησε δέ τις τῶν
σῶν ἐχθρῶν καιρίαν σοι δοῦναι πληγὴν, καὶ θᾶττόν σε τῆς ζωῆς
ἀπαλλάξαι εὐκαιρίας δραξάμενος, ἐπήγαγεν δέ σοι τὴν πληγὴν
οὐκ ἐν ἄλλῳ μέρει τοῦ σώματος, ἀλλ' ἢ κατὰ τὸν τετραυματισμένον
ὀφθαλμὸν, ἵνα σε, καθὼς ἔφην, τάχιστα τοῦ ζῆν ἀπαλλάξῃ. ἐκ τοῦ
συμβεβηκότος πληγεὶς ὀφθαλμὸς ἔρρευσε πύα, καὶ ἰχῶρας, καὶ ὑγρὰν
σηπεδόνα, σὺ δὲ τῆς ἀλγηδόνος ἀπαλλαγεὶς διὰ τῆς πληγῆς ἐκείνης τε-
λείως ὑγίανας, ὡς φίλον ἄρα καὶ εὐεργέτην, τὸν δεδωκότα σοι τὴν πληγὴν
ἑώρας

Quæstio ab Agareno Abucaræ proposita. IX.

Turriano interprete.

B. *Siue Agarenus.* Dic mihi, Christum; quem tu dicis Deum tuum esse, cum cruci affixerunt Iudæi, feceruntne hoc, ipso volente, an non volente? A. Volente. B. Non solùm igitur sunt nullius pœnæ rei, sed potius habendæ sunt eis gratiæ. A. Responde mihi rursus percontanti, ego cum quotidie Deum tuum, vt tu ais, blasphemiis afficio, facio hoc inuito eo, an non inuito? si enim inuito, infirmus, & imbecillis est; sin autem volente, non solum non debet à me pro eo tributum exigi; sed potius munera deberem ferre, quippe qui voluntatem Dei tui expleam. Responde adhuc mihi, cum vos ad regiones Romanorum profecti estis, si quis ex vestris ibi interfectus est, nonne, vt vos docetis, & traditis, in paradisum ingreditur? B. Ita sane est. A. Si igitur tu cum fratre tuo, & filio illuc profectus esses, & ibi militasses, ac postea aliquis Romanus fratrẽ tuum, aut filium occideret, an tu illum, qui occidit, tanquam inimicum vlcisci deberes, an potius tanquam beneficum honorare, amplecti, & exosculari? B. Immo verò millies sanè occidissem, & membratim discerpsissem si potuissem. A. Et quomodo æquum esse iudicas, eum occidere, qui fuit caussa filio, aut fratri tuo tantæ, ac talis salutis, ac voluptatis? Responde mihi rursus, si haberes in oculo tuo cicatricem, quę te dolore afficeret, & mortifera esset, velletque aliquis inimicus tuus plagam infligere mortiferam, & vitam adimere, & opportunitatem nactus, non in aliam partem corporis, quam in oculum vulneratum plagam impingeret, vt te cito, vt dixi, morte afficeret; accideret autem, vt oculus plaga accepta, putrem humorem emitteret, tu verò & dolore liberatus, & oculi sanitatem integram assecutus esses, nunquid tanquam amicum, & bene de te meritum eum aspiceres, qui percussit, & intuens

ἑώρας ἐχθρὸν, οὐ πρὸς τὴν προαίρεσιν αὐτοῦ ἀποσκοπήσας, ἀλλὰ πρὸς τὸ * ἀπροαιρέσεως αὐτοῦ μὴ θέλοντος συμβὰν ἔστεργες; καὶ εὐεργέτην; ὁ ἀγαρ. ἀλλὰ καὶ κατὰ μέλος αὐτὸν ἐπιμωρούμην, εἰ δύναμιν εἶχον, καὶ ὡς ἔχθιστον, καὶ δυσμενέστατον ἤταζον. ὁ χριστιανός. οὕτω καὶ περὶ ὧν ἡμᾶς ἄκοντες οἱ Ἰουδαῖοι εὐεργέτησαν διανοοῦ.

* f. ἀπροαιρέτως

X. Πρὸς Ἰουδαῖον ὁ αὐτὸς διελέχθη.

Ὁ Ἰουδαῖος. ἐγώ σοι, φησὶν, ἐκ τῶν γραφῶν διαλέγομαι, οὐδὲν γὰρ ἕτερον οἶδα παρὰ ταύτας. ὁ χριστιανός. οὐδὲ ἐγὼ ταύτας ἀποβάλλομαι. ἀλλὰ δεῖ με τοῖς παροῦσιν ἀκροαταῖς προδιαστεῖλαι πῶς νοῶ τὰς γραφάς. ὥσπερ εἴ τις εἰσελθὼν ἐν οἰκίᾳ ἐζωγραφημένῃ Παύλου εἰ τύχοι θεάσαιτο τὴν εἰκόνα, εἴπῃ δακτυλοδεικτῶν, ὅτι οὗτος ὁ Ταρσεὺς Παῦλος ὃς συνευδοκῶν εἱστήκει τῇ ἀναιρέσει Στεφάνου. ὃς παρὰ τῶν ἀρχιερέων ἐπιστολὰς εἰληφὼς εἰς Δαμασκὸν ὥρμησε, πορθῶν, καὶ φυλακίζων τοὺς χριστιανούς. οὗτός ἐστι ὁ θείᾳ δυνάμει μετατεθεὶς ἐπὶ τὸν χριστιανισμὸν ὀπτασίᾳ, καὶ κῆρυξ, καὶ διδάσκαλος τῶν ἐθνῶν γινόμενος, καὶ τὰ τούτοις ὅμοια λέγοι, ὁ τῇ εἰκόνι Παύλου ἐνατενίζων, ταῦτα δὴ πάντα ἐπὶ τὸν εἰκονιζόμενον Παῦλον, οὗ ἐστιν ἐκείνη εἰκὼν, ἀναφέρεται, οὐκ ἐπὶ τὴν ζωγραφίαν, ἢ τὰ χρώματα. εἰ δὲ εἴποι, οὐ καλῶς ἱστόρησεν ὁ ζωγράφος τὸν Παῦλον. πλατεῖς γὰρ ὑπερβολικῶς τοὺς ὤμους αὐτοῦ πεποίηκεν, καὶ τὸν ὀφθαλμὸν αὐτοῦ οὐκ εὐστόχως ἐζωγράφησεν, καὶ τὰ σκέλη λεπτὰ, ἢ κολοβὰ εἰργάσατο, καὶ ὅσα τοιαῦτα. οὐκ ἐπὶ τὸν ἐκτυπούμενον ἀναφέρονται, ἀλλ' ἐν μόνῃ περιγράφονται τῇ εἰκόνι. οὕτω καὶ ἐν τῇ γραφῇ περὶ τῶν ἁγίων εἰρημένα. τὰ μὲν εἰς τὸν δι' ἐκείνων εἰκονιζόμενον καὶ προτυπούμενον χριστὸν ἀναφέρονται. τὰ δὲ εἰς αὐτοὺς, καὶ μόνους περιίστανται. ἀρέσκει σοι, ὦ Ἰουδαῖε, ἡ τοιαύτη τῆς γραφῆς ἀνάγνωσις, καὶ ἀνάπτυξις; ὁ Ἰουδαῖος. οὐχὶ, οὐ δέχομαι γὰρ τοῦτο, ἀλλὰ πάντα κατὰ τὸ γράμμα, οἷον τὰ εἰς Δαυὶδ λεγόμενα, εἰς ἐκεῖνον μόνον νοῶ. καὶ τὰ εἰς Ἀβραὰμ, καὶ εἰς Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ Ἰούδαν, καὶ τοὺς

λοιποὺς

non quidem in voluntatem, quam ille habuit, sed in id, quod præter voluntatem illius accidit, amares, & munerares? an verò inimicum duceres? B. Immo magno supplicio afficerem, si possem; & tanquam inimicissimum, & maxime maleuolum cruciarem. A. Sic cogita de iis, beneficiis, quæ nobis inuiti Iudæi attulerunt.

Eiusdem Theodori dissertatio cum Iudæo. X.

Turriano interprete.

B. Ego inquit Iudæus, ex scripturis tecum disputo, nihil enim aliud scio præter has. A. Nec ego has reiicio, sed oportet, vt his auditoribus prius explicem, quomodo scripturas intelligo. Vt si quis domum aliquam ingressus pictam, Pauli, si ita ponamus, imaginem spectaret, diceret digitum intendens, indicandi gratia, hic est Paulus Tarsensis, qui stetit consentiens in morte Stephani, qui literis à sacerdotibus acceptis perrexit Damascum, qui custodiæ tradebat Christianos; Hic visione diuina, pœnitentia ductus ad Christianismum conuersus est, & prædicator, ac magister gentium factus, & alia eiusmodi. qui in imaginem Pauli intentus est, ad Paulum, cuius est illa imago, hæc omnia refert, non autem in picturam, & colorem, quæ vidit. si verò dicat, non bene pictor depinxit Paulum; nimium enim latos humeros eius fecit. oculos eius non benè pictura imitatus est, & crura gracilia, aut manca fecit; hæc, & alia eiusmodi non ad Paulum referuntur, sed in sola imagine circumscripta manent. sic sunt, quæ in scriptura de sanctis dicta sunt. alia quidem referuntur ad Christum, qui in illis est figuratus, & præformatus, alia verò ad ipsos, & solos pertingunt. Placet tibi Iudæe huiusmodi lectio, & explicatio scripturæ? B. Nequaquam. non approbo hoc, sed literam. vt verbi gratia, quæ dicta sunt de Dauid, de illo tantum intelligo; & quę de Abraam, Isaac, & Iacob, & Iuda, & de reliquis similiter. Actor. 9.

A. Vi-

λοιποὺς ὡσαύτως. ὁ Χριστ. βλέπε, τί λέγεις, καὶ γίνωσκε ὅτι μετὰ ταύτην τὴν φράσιν, καὶ διάληψιν ψεύστην ἐν πολλοῖς ποιεῖς τὸν θεόν. ὁ ἰουδ. πῶς λέγεις; ὁ Χριστ. οὐκ εἶπεν ὁ θεὸς τῷ Ἀβραάμ, ταύτην πᾶσαν, τὴν γῆν, ἣν ὁρᾷς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου; ὁ ἰουδ. ναί. ὁ Χριστ. ἐκυρίευε δὲ τῆς γῆς ἐκείνης Ἀβραάμ ποτε; ὁ ἰουδ. πῶς γάρ, ὁ μήτε βῆμα ποδὸς ἐσχηκὼς ἐκεῖσε; θάψαι γὰρ τὴν σάρραν οὐκ ἠδυνήθη, ἕως οὗ τόπον ἠγόρακεν. ὁ Χριστ. οὐκοῦν ὁ τοῦ θεοῦ λόγος διέπεσεν; ὁ ἰουδ. μέλλει, φησίν, δοῦναι αὐτοῖς τὴν γῆν. ὁ Χριστ. ἀλλ' οὐχ οὕτως εἶπεν ὁ θεός, ὅτι μέλλω τοῖς τέκνοις σου δοῦναι αὐτήν, ἀλλά, σοὶ καὶ τῷ σπέρματί σου. ὡσαύτως καὶ τῷ ἰακὼβ εἶπεν. ὅτι ταύτην τὴν γῆν, ἣν ἔδωκα τοῖς πατράσιν σου τῷ Ἀβραάμ, καὶ Ἰσαάκ, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου μετά σε. καὶ οὐδὲ Ἰακὼβ ἔσχε βῆμα ποδός. ἀλλὰ καὶ ἐν ἀλλοτρίᾳ γῇ ἐν Αἰγύπτῳ τετελεύτηκεν. ὁρᾷς, ὅτι ὁ οὕτως νοῶν τὰς γραφὰς τὸν θεὸν ποιεῖς ψεύστην;

Τί ὅτι δὲ καὶ περὶ τοῦ Ἰακὼβ εἶπεν; ἔθνη, καὶ συναγωγὴ τῶν ἐθνῶν ἐκ σοῦ ἐξελεύσονται. ποῦ δέ, ἢ πῶς ἐκ τοῦ Ἰακὼβ τὰ ἔθνη ἐγεννήθησαν; καὶ πάλιν εἶπεν αὐτῷ, ὅτι προσκυνήσουσίν σοι υἱοὶ τοῦ πατρός σου. καὶ αὐτὸς, καὶ τὸ σπέρμα σου κυριεύσει αὐτῶν. πῶς εἶπεν οἱ ἀδελφοί σου πληθυντικῶς; καί τοι γε οὐκ ἔσχεν εἰ μὴ ἕνα ἀδελφὸν τὸν ἡσαῦ; ποῦ δὲ καὶ προσεκύνησεν ὁ ἡσαῦ τῷ Ἰακώβ; τοὐναντίον δὲ μᾶλλον ὁ Ἰακὼβ ἑπτάκις ἐπὶ τὴν γῆν προσεκύνησεν τῷ ἡσαῦ, καὶ δεσπότην ἐκάλεσεν. καὶ δεδοικὼς, καὶ τρέμων αὐτὸν διετέλεσεν ὅλον τὸν βίον αὐτοῦ. ἀλλά, καὶ μετὰ τοσαῦτα ἔτη ἐξελθόντων αὐτῶν ἐξ Αἰγύπτου ἐδήλωσεν Μωϋσῆς τῷ πρώτῳ, καὶ ἄρχοντι τῶν υἱῶν ἡσαῦ. ὅτι ἀδελφοὶ ὑμῶν ἐσμέν. μηνύσατε ὑμῖν διαβῆναι μόνον, διὰ τῆς γῆς ὑμῶν. ὁδῷ βασιλικῇ πορευσόμεθα. οὐκ ἐκκλινοῦμεν δεξιά, καὶ ἀριστερά. ἀλλὰ τὸ ὕδωρ, καὶ τὸν ἄρτον τιμῆς ἀγοράσομεν, ἕως ἂν διαβῶμεν εἰς τὴν γῆν, ἣν ἔδωκεν ἡμῖν ὁ θεός. καὶ ἀντεδήλωσεν αὐτοῖς, ὅτι οὐχί, ἐὰν διαβῆτε διὰ τῆς γῆς μου, ἐξελευσόμεθα, καὶ ἀποκτενοῦμεν ὑμᾶς. καὶ οὐκ ἀνέτρεψεν τοῦτο ὁ θεός, ἀλλά, καὶ μᾶλλον ὑπεκύρωσεν, καὶ ἀντίσχυρεν λέγων. ὅτι τὴν γῆν ταύτην, ἣν δέδωκα τῷ ἡσαῦ, μὴ πλησιάσητε αὐτοῖς καὶ τὰ ἑξῆς. ποῦ οὖν ἐπλήρωσεν ὁ θεὸς τῷ Ἰακώβ, ἃ εἶπεν; ὅτι προσκυνήσουσι σοι υἱοὶ τοῦ πατρός σου, καὶ οἱ ἀδελφοί σου. καὶ σύ, καὶ τὸ σπέρμα σου κυριεύσει αὐτῶν, καὶ τὰ τοιαῦτα; ὁρᾷς ὦ Ἰουδαῖε, ὅτι πανταχοῦ τὸν θεὸν ψεύστην ποιεῖς

A. Vide, quid dicas, & ſcias, quod ad hunc modum loquendi & intelligendi, Deum facis mendacem. B. Quomodo? A. Nonne dixit Deus Abrahæ; *totam hanc terram, quam tu vides, tibi dabo eam, & ſemini tuo?* B. Sic eſt. A. Fuit ne vnquam Abraam Dominus illius terræ? B. Quomodo Dominus, qui neque paſſum pedis in illa habuit? ſepelire enim Sarram non potuit, donec locum emit. A. Sermo igitur Dei excidit. B. Daturus, inquit, eſt eis terram. A. At non ſic dixit Deus, daturus ſum eam filiis tuis, ſed *tibi, & ſemini tuo.* Similiter dixit Iacob; *hanc terram, quam dedi patribus tuis Abraam, & Iſaac, tibi dabo eam, & ſemini tuo poſt te.* & nec Iacob habuit paſſum pedis; ſed potius in aliena terra, in Aegypto mortuus eſt. Vides quemadmodum, cùm ſic intelligis Scripturas, Deum mendacem facis?

Gen. 13. Gen. 23. Gen. 28.

Et quid ad illud, quod de Iacob dixit Scriptura; *gentes, & congregationes gentium ex te exibunt.* vbi autem, aut quomodo, ex Iacob generatæ ſunt gentes? & rurſus dixit, *& adorabunt te filij patris tui, & ipſe, & ſemen tuum, dominaberis eis.* Quomodo dixit, *fratres tui,* numero plurium, cum non habuerit, niſi vnum fratrem Eſau? vbi autem adorauit ipſe Eſau Iacob? immo contra potius ſepties ipſe Iacob humi ſtratus adorauit Eſau, & Dominum eum vocauit; & vniuerſo vitæ ſuæ tempore eum timuit. & non ſolùm hæc, ſed poſt tot annos poſt exitum Hebræorum ex Aegypto, apertè dixit Moyſes principi filiorum Eſau; *fratres veſtri ſumus, ſignificate nobis, vt tranſeamus per terram veſtram, via regia gradiemur; non declinabimus nec ad dextram, nec ad ſiniſtram; ſed panem, & aquam precio ememus, donec perueniamus, in terrã quam dedit nobis Deus,* & contra ſignificauit eis clare, inquiens, *minime, ſin autem tranſieritis, ex terra mea egrediemur, & occidemus vos.* & nõ inuertit hoc Deus, ſed potius confirmauit, & roborauit Deus inquiens, *terram hanc dedi Eſau, ne appropinquetis ei.* & quæ ſequuntur. vbi igitur impleuit Deus, quæ dixerat ipſi Iacob, *filij patris tui adorabunt te? & tu, & ſemen tuum dominaberis eis;* & alia huiuſmodi? vides Iudæe, quod vbique Deum propter prauam interpretationem, & intelligentiam ſcripturæ menda-

Ibid. Gen. 27. Gen. 32. Num. 21. Deut. 2. Ioſ. 24. Gen. 32.

διὰ τῆς κακῆς ἑρμηνείας σου, καὶ ἀσυνεσίας; οὐχὶ δὲ καὶ τῷ Ἰακὼβ φανεὶς ὁ θεός, ἡνίκα ἐπάλαισεν μετ᾽ αὐτοῦ, εἶπεν αὐτῷ· ὅτι ἀπὸ τοῦ νῦν, οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλὰ Ἰσραήλ. καὶ μυριάκις μετὰ ταῦτα καὶ ὁ θεός, καὶ ἡ γραφή, καὶ αὐτὸς ἑαυτὸν Ἰακὼβ ἐκάλεσεν. τί οὖν οὐ διαπεπτώκασιν, καὶ οὕτως εἰσὶν ἀβέβαιοι οἱ λόγοι τοῦ θεοῦ; ὁ ἰουδ. ἀλλ᾽ ἐγώ, φησιν, εἰμὶ ὁ υἱὸς τοῦ Ἰσραήλ, καὶ ἐμοὶ αἱ ἐπαγγελίαι. ὁ Χριστιανός. οὐχί. ἀλλ᾽ ἐγώ εἰμι ὁ τοῦ Ἰσραὴλ υἱός. ἐν τίνι γὰρ ἐπὶ τῷ Ἰσραὴλ ἐγκαυχᾶσαι; ὅτι τὴν τρίχα ἔχεν οὔλην, ἢ τὸ σῶμα μέγιστος παρὰ τοὺς ἄλλους ἦν, ἢ κράτιστος, ἢ παρηλλαγμένην ἔχεν μορφήν; ὁ ἰουδ. οὐχὶ ἀλλ᾽ ὅτι θεοσεβὴς ἦν. ὁ Χριστιαν. πᾶς οὖν θεοσεβής, καὶ θεοφιλὴς * τοὺς τρόπους Ἰσραὴλ σέβων, καὶ ἀγαπῶν λέγω, ὅτι υἱός εἰμι τοῦ Ἰσραὴλ ἐξομοιούμενος αὐτῷ τοῖς τρόποις, καὶ τῇ πίστει. ὥσπερ γὰρ αἱ εὐλογίαι ἦσαν τοῦ Ἠσαῦ τοῦ πρωτοτόκου. ἐλθὼν δὲ Ἰακώβ, καὶ εἰπὼν τῷ πατρὶ αὐτοῦ· ἐγώ εἰμι Ἠσαῦ, μὴ ὢν Ἠσαῦ, τὰς εὐλογίας ἔλαβεν, καὶ οὐ μετέτρεψεν αὐτὰς Ἰακὼβ οὐδὲ μετὰ τὸ νοῆσαι τὴν ἀπάτην, οὕτω κἀγώ σοι λαμβάνω τὰς ἐπαγγελίας λέγων, υἱὸς ὑπάρχειν τοῦ Ἰσραήλ.

* *Cod. Bauar. mutilus.*

XI.

Θεοδώρου τοῦ Ἀβουκαρᾶ, πρὸς Νεστοριανόν.

Ὁ ὀρθόδοξος. Τίς εἶπεν, ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς, ὁ υἱὸς τῆς παρθένου, ἤγουν ὁ ἄνθρωπος, ἢ ὁ υἱὸς τοῦ θεοῦ; ὁ Νεστοριανός. ὁ ἄνθρωπος. ὁ ὀρθόδοξος. οὐκοῦν πάσης ἐξουσίας τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων δεδομένης τῷ ἀνθρώπῳ τούτῳ, κακῶς, καὶ παρὰ τὸ βούλημα τοῦ θεοῦ ποιοῦσιν οἱ προσευχόμενοι τῷ θεῷ, ἢ αἰτοῦντές τι παρ᾽ αὐτοῦ. τί ποτ᾽ οὖν. πάντα γὰρ τοῦ ἀνθρώπου τούτου εἰσίν. καὶ ὅσα ἂν αἰτησώμεθα, ἢ ἐπιγείου βασιλείας, ἢ ἐπουρανίου ἐστί. ταῦτα δὲ πάντα τοῦ ἀνθρώπου εἰσίν. ἢ οὖν ἁμαρτάνουσιν οἱ παρὰ τοῦ θεοῦ τι αἰτοῦντες. οὗτος γὰρ ἔχει τὴν ἐξουσίαν, καὶ ἀμεταμέλητα τοῦ θεοῦ τὰ χαρίσματα, ἢ εἴπερ δεῖ τῷ θεῷ δι᾽ εὐχῆς προσιέναι, * ἠπάτησεν οὗτος καὶ ἀλαζονεύεται μάτην λέγων. ἐδόθη μοι πᾶσα ἐξουσία. ἀλλ᾽ οὐ διοικοῦντος, καὶ κυριεύοντος, ἅπερ εἶπεν αὐτὸς ἔχειν.

* ἠπάτηται

Ἐρώτη-

cem facis? nonne cum Deus apparuit Iacob, & cum eo luctabatur, dixit, *iam deinceps non amplius vocabitur nomen tuum Iacob, sed Israël?* & tamen millies & Deus, & Scriptura,& ipsemet se ipsum nominauit Iacob. Quid igitur? an non deciderunt, atque ita infirmi, & instabiles facti sunt sermones Dei? B. At ego, inquit, sum filius Israël; & mihi promissiones factæ sunt. A. Minime; immo ego sum filius Israël. qua enim re de Israël tu gloriaris? quod fuit capillo crispo, vel maximo corpore pre aliis, vel robustissimus, vel dissimili forma? B. Minime, sed quia erat pius in Deum. A. Omnis igitur cultor Dei, & Deo charus est Israël,& filius Israël,& filius Abraæ. Quid igitur miraris, si qui Deum Israël colo, & diligo, dico me esse filium Israël, si moribus, & fide similitudinem eius exprimo? sicut benedictiones Esau quidem, primogeniti erant, sed cum venisset Iacob, & dixisset patri suo, *ego sum Esau*, cum non esset, benedictiones tulit,& non mutauit eas Isaac neque postquam agnouit fallaciam. sic ego benedictiones tuas accipio, cum me dico esse filium Israël.

Gen.32.

Gen.27.

Theodori Abucaræ Dialogus contra Nestorianum. XI.

Francisco Turriano interprete.

A. Catho. B. Hær.

A. Quis dixit, *data est mihi omnis potestas in cœlo, & in terra*, filius virginis, id est, homo, an filius Dei? B. Homo. A. Igitur cum data sit omnis potestas cœlestium, & omnium, quæ in terris sunt, huic homini, malè, & præter voluntatem Dei faciunt, qui Deum orant, aut ab eo, aliquid quodcunque sit, petunt, siquidem omnia sunt huius hominis. & quæcunque petemus vel regni terreni, vel cœlestis, omnia hæc sunt hominis. vel igitur peccant, qui à Deo postulant, hic enim habet potestatem, & sine pœnitentia sunt dona Dei; vel si oportet adhibere Deo preces, deceptus est hic, & arroganter, & frustra dicit, *data est mihi omnis potestas in cœlo, & in terra*, cum alius gubernet, & dominetur.

Matth.28.

XII.

Ἐρώτησις πρὸς Νεστοριανόν.

Ὁ ὀρθόδοξος. Τίς τὸ καθ' ἡμῶν χειρόγραφον χριστὸς ἀπέτισεν ἀποθανὼν ὑπὲρ ἡμῶν, δι' ἧς ἐκτίσεως τοῦ θανάτου, καὶ τῆς φθορᾶς, καὶ τῆς ἁμαρτίας ἠλευθέρωσεν, ὁ θεὸς λόγος, ἢ ὁ ἄνθρωπος; Νεστορ. ὁ ἄνθρωπος. ὁ ὀρθόδοξος. τούτῳ καὶ τὴν εὐχαριστίαν τῆς ἡμῶν σωτηρίας προσφέρειν ὀφείλομεν, ἐπειδὴ αὐτός ἐστιν ὁ εὐεργέτης τοῦ γένους ἡμῶν. ὁρῶμεν γὰρ ὡς ἡνίκα τοῦ θεοῦ τὸ χρέος ἦν καθ' ἡμῶν, ἔπνιγεν ἡμᾶς, καὶ ἀπώλλυεν. ὅτι δὲ τούτου ἐλεύθεροι γεγόναμεν, σεσώσμεθα, καὶ ἀνεζήσαμεν.

XIII.

Ἄλλη ἐρώτησις.

Ὁ ὀρθόδοξος. Τέσσαρά εἰσιν τὰ τοῦ χριστοῦ, φέρε εἰπεῖν. ἡ γέννησις ἡ ἐκ γυναικὸς. τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη. ὁ σταυρὸς, καὶ τὰ κατ' αὐτὸν πάθη. ὁ θάνατος. ταῦτα τὰ τέσσαρα, τὰ τοῦ χριστοῦ ἴδια, μετέθηκεν αὐτὰ, ἤ τι ἐξ αὐτῶν ὁ θεὸς λόγος ἐφ' ἑαυτὸν, ἢ οὐδὲν αὐτῶν ἀνέλαβεν, καὶ ἀνεδέξατο, καὶ οἰκειώσατο; ὁ Νεστόρ. ναὶ πάντα, οὐ φυσικῶς, ἀλλὰ τρόπῳ οἰκονομίας. ὁ ὀρθόδ. καὶ ἔστω * φυσικῶς, ἀλλὰ καὶ οἰκονομικῶς, πλὴν ἀλήθεια, ἢ μόνον φαντασία, καὶ ἀπάτη; ὁ Νεστορ. οὐχὶ, ἀλλ' ἀληθῶς. ὁ ὀρθόδ. οὐκοῦν λέγομεν, ὅτι ὁ θεὸς λόγος ἐγεννήθη ἀληθῶς ἐκ γυναικὸς, καὶ ἐπείνησεν, καὶ ἐδίψησεν, καὶ τὰ φυσικὰ ἔσχεν πάθη, καὶ ἐσταυρώθη, καὶ ἀπέθανεν. ἐπὶ τούτοις δὲ θορυβούμενος, καὶ φοβούμενος ὁ αἱρετικὸς ἀνέκραξεν. ἔλεγεν δὲ ταῦτα, καὶ ἐδογμάτιζεν ὁ ἀβουκαρᾶ διὰ * ψήφων ἀφορίζων, καὶ διασαφῶν τὰ πράγματα, καὶ τὰ πρόσωπα, καθὼς καὶ τῷ ἀγαρηνῷ ὑποδεικνύων ἔλεγε, ὅτι ὁ θεὸς υἱὸν ἔχει.

*Turr. οὐ φυσικῶς,

*Turr. διὰ ψηφίδων. C.B. ψήδων. vitiosè.

Εἶτα πάλιν ἠρώτησε τὸν Νεστοριανὸν ὁ ὀρθόδοξος. ὁ χριστὸς ἤ τι ὁ ἄνθρωπος ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὐτοῦ ἐγνώρισε τὸν θεὸν λόγον; ὁ Νεστορ. οὐχί. τότε οἱ συνόντες αὐτῷ Νεστοριανοὶ βλάσφημον ἡγησάμενοι τὸ ῥῆμα, ἐπετίμησαν τῷ τῆς αἱρέσεως αὐτῶν ὑπερασπίζοντι ἐξάρχῳ ἐπιστίχῳ τάξιν ἐπέχοντι, καὶ ἀπέστησαν ἀπ' αὐτοῦ.

Ἄλλος

Interrogatio contra Neſtorianum. XII.

Turriano interprete.

A. Quis noſtrum debitum ſoluit moriẽs pro nobis, quo debito ſoluto, nos à morte, & corruptione peccati liberati ſumus, Deus verbum? an homo? B. Homo. A. Huic igitur agere gratias pro ſalute noſtra debemus; Si quidem ipſe eſt auctor beneficij huius erga genus humanum. videmus enim quod dum debitũ quod Deo debebamus, erat contra nos, interimebat nos, & perdebat, poſtquã verò hoc debito liberati ſumus, ſalui facti ſumus, & reuiximus.

Alia interrogatio. XIII.

Turriano interprete..

A. Quatuor ſunt Chriſti, verbi gratia, ortus ex virgine, naturales & culpa vacantes paſsiones, crux, & paſsiones crucis, & mors. Hæc quatuor propria Chriſti, trãſtulit ne in ſeipſum, aut aliquid ex ipſis Deus verbum? an nihil eorum aſſumpſit, ſuſcepit, & ſua fecit? B. Omnia profecto ſuſcepit non naturaliter, ſed œconomicè. A. Eſto, non naturaliter, ſed œconomicè; ſed quæro vtrum verè, an falsò, an fallaciter? B. Minimè, immò verè. A. Igitur dicimus, quod Deus verbum verè ex virgine genitus eſt, eſuriuit, ſitiuit, naturalesq́; paſsiones habuit, & crucifixus, & mortuus eſt. his conturbatus, & tortus hæreticus, clamauit. dicebat autem hæc, & docebat Abucaras diſtinguens διὰ ψηφίδων, id eſt, minutè, & ſubtiliter, veluti ad calculum omnia reuocãs, explicans res & perſonas; ſicut contra Agarenos demonſtrauit quod Deus haberet filium.

Rurſus interrogauit Neſtorianum. A. Chriſtus, id eſt, homo in ventre matris ſuæ cognouit Deum verbum? B. Nequaquam. Tunc Neſtoriani, qui aderant, arbitrati blaſphemiam eſſe, quod reſponſum erat, reprehenderunt illum, qui hęreſim Neſtorij defendebat; & diſceſſerunt ab eo.

XIV.

Ἄλλος διάλογος πρὸς Νεστοριανόν.

Ὁ Νεστοριανός. διὰ τί θεοτόκον τὴν Μαρίαν ὀνομάζετε, καὶ οὐχὶ μᾶλλον χριστοτόκον; ἀπόδειξον ἐκ τῆς γραφῆς τὴν θεοτόκου φωνήν. ὁ ὀρθόδ. ἀπόδειξον δέ μοι σὺ τὴν, χριστοτόκος; ὁ Νεστορ. ναί. τοῦ γὰρ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ, καὶ τὰ ἑξῆς. οὐκοῦν ἡ τὸν Ἰησοῦν Χριστὸν γεννήσασα, δῆλον, ὅτι χριστοτόκος ὀνομασθήσεται. ὁ ὀρθόδ. ἐγὼ τὴν φωνὴν αὐτὴν ῥητῶς λεγομένην ἀπῄτησα, ὅπερ καὶ σὺ τὴν, θεοτόκος, παρ' ἐμοῦ ἐζήτησας. εἰ δὲ τούτῳ τῷ τρόπῳ τὴν ἀπόδειξιν ποιῇ, κἀγὼ διὰ μυρίων ἐκ τῆς γραφῆς χρήσεων ἀποδεικνύων θεὸν τὸν Χριστὸν, συναποδείκνυμι, ὅτι καὶ ἡ αὐτὸν τεκοῦσα θεοτόκος ὀφείλει ὀνομάζεσθαι. πῶς γὰρ οὐ θεοτόκος ἡ θεὸν υἱὸν ἔχουσα; ἢ εἰπὲ, εἴπερ τολμᾷς, τῇ τοῦ βασιλέως μητρὶ, ὅτι οὐκ ἐγέννησας βασιλέα; καὶ ὅτι οὐκ εἶ μήτηρ τοῦ βασιλέως; διὰ τί δὲ καλουμένου αὐτοῦ Ἰησοῦ Χριστοῦ, οὐ καλεῖς τὴν μητέρα αὐτοῦ Ἰησουτόκον; ἀλλὰ ὑπερβὰς τοῦ Ἰησοῦ ὄνομα, ὀνομάζεις αὐτὴν Χριστοτόκον. ὅπερ δὲ σὺ ἐποίησας ἐπὶ τοῦ Ἰησοῦ ὀνόματος παραδραμὼν αὐτὸ, καὶ τὸ, Χριστὸς, ἐκλεξάμενος, τοῦτο κἀγὼ πεποίηκα παραδραμὼν τὸ Χριστὸς, ὄνομα, καὶ τὸ θεὸς ἐκλεξάμενος τὸ πρῶτον, καὶ κύριον, καὶ ἐξαίρετον. ἐκ γὰρ τοῦ κρείττονος μέρους, οὐκ ἐκ τοῦ χείρονος, αἱ προσηγορίαι τίθενται. καὶ μάλιστα παρὰ τῶν ἐπαινούντων, καὶ τιμᾶν βουλομένων.

Ὁ νεστορ. ἀλλ' ἐὰν εἴπω θεοτόκος, ἐμφαίνω τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα ἐξ αὐτῆς γεγεννῆσθαι. ὁ γὰρ θεὸς ἀπολύτως λεγόμενος, μὴ ἐπιφέρων τὸ ὑποστατικὸν ἰδίωμα τῆς πατρότητος, ἢ υἱότητος, ἢ τοῦ πνεύματος, τὴν ἁγίαν ὅλην τριάδα ἐσήμανεν. ὁ ὀρθόδ. οὐκ εἴρηκας ἀληθὲς, ἀλλὰ προφασίζεις προφάσεις ἐν ἁμαρτίαις. ἐπεὶ ἀνάγνωθι τὴν ἀρχὴν τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου. ὁ νεστορ. Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ. ὁ ὀρθόδ. τί

ἐστι,

Dialogus cum Nestoriano. XIV.

Francisco Turriano interprete.

B. Quare Mariam Theotocon nominatis, & non potius Christotocon? demonstra ex scripturis vocem Theotocos. A. Demonstra tu mihi vocem Christotocos. B. Nónne Iesu Christi generatio sic erat? *Cum enim despõsata esset mater eius*, & quæ sequuntur, igitur quæ genuit Iesum Christum, sanè Christotocos nominabitur. A. Ego hanc vocem, expresse dictam petiui, sicut tu vocem Theotocos. quod si ad hunc modum demonstras, ego etiam cum infinitis auctoritatibus scripturæ Christum Deum esse probo, simul probo, quæ ipsum peperit, debere Theotocon nominari, & quomodo non Theotocos dicenda est, quæ Deum filium habet? aut dic, si audes, matri regis, non genuisti regem, neque mater regis es? Quare cum vocetur Iesus Christus, non vocas matrem eius Iesutocon? Sed potius prætermisso primo nomine Iesus, vocas eam Christotocon? quod igitur tu fecisti in nomine Iesus, cum præterito nomine Iesu, nomen Christi elegisti, hoc ego etiam feci, prætermisso nomine Christus, nomen Deus elegi primum, & proprium, & excellens. à meliore enim parte, non à minore appellationes fiunt, ac nomina imponuntur ab iis præsertim, qui laudant, & honorare volunt. *Matth.1.*

B. At si dico Theotocon, significo Patrem & Filium, & Spiritum sanctum ex ipsa genitos esse. qui enim absolutè dicit Deus, & non indicat hypostaticam proprietatem paternitatis, aut filiationis, aut Spiritus sancti, totam Trinitatem significauit. A. Nequaquam, quod dicis, verum est, quin potius excusas excusationes in peccatis. Lege enim principium epistolæ ad Romanos. B. *Paulus seruus Iesu Christi segregatus in Euangelium Dei.* A. Quid est iste Deus? & qualis persona? B. Tota Trinitas. A. Rectè mentitus es in caput tuum. Lege quæ sequun- *Rom.1.*

ἐστιν. οὗτος ὁ θεὸς, ἤγουν, ποία ὑπόστασις; ὁ νεσ. ἡ τριὰς ὅλη. ὁ ὀρθόδ. ὀρθῶς ἐψήφισω κατὰ τῆς ἑαυτοῦ κεφαλῆς· ἀνάγνωθι τὰ ἐχόμενα. ὁ νεσ. ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα. ὁ ὀρθ. τί οὖν; ὁ Χριστὸς υἱός ἐστι τῆς ἁγίας τριάδος; ὁρᾷς τὴν σὴν κακουργίαν ἐλεγχομένην; ἀνάγνωθι καὶ τὴν πρὸς ἑβραίους. καὶ αὐτὴ γὰρ ἐλέγχει σου τὴν κακόνοιαν. καὶ πολλαχοῦ τῆς θείας γραφῆς προφανὴς ὁ τῆς αἱρέσεως ἔλεγχος. πολλάκις γὰρ μονουπόστατος τὸ, θεὸς, ὄνομα, ἐπὶ τοῦ υἱοῦ λέγεται· ὥσπερ, καὶ θεὸς ἦν ὁ λόγος. καὶ πάλιν ὁ θεσπέσιος Παῦλος φησὶν περὶ τοῦ υἱοῦ. ὁ ὢν ἐπὶ πάντων θεός. καὶ ἕτερα τοιαῦτα πλεῖστα. ἀλλ' οὐ σχολή μοι νῦν ἐπισωρεύειν τὰς χρήσεις, πλήν γε τοῖς τὴν ἀλήθειαν ἐκζητοῦσιν, καὶ οὐκ ἐριστικῶς ἀντιλέγουσιν, ἱκανούσθω ταῦτα.

XV.

Πάλιν πρὸς νεστοριανόν.

Ὁ ὀρθόδ. διὰ τί λέγεται ὁ χριστὸς χριστός; ὁ νεστορ. ὅτι ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ. ὁ ὀρθ. τίς οὖν ἐστιν ὁ χρισθεὶς, ὁ θεὸς λόγος, ἢ ὁ ἄνθρωπος; ὁ νεστορ. μὴ γένοιτο λέγειν ἡμᾶς, ὅτι ὁ θεὸς λόγος ἐχρίσθη, ἀλλὰ ὁ ἄνθρωπος. ὁ ὀρθ. ἄνθρωπος οὖν ἐστιν ὁ χριστός; εἰ γὰρ ὁ χρισθεὶς, αὐτός ἐστιν ὁ χριστὸς, ἄνθρωπος δὲ ὁ χρισθεὶς, καὶ ἕτερός ἐστιν ὁ θεὸς λόγος παρὰ τὸν ἄνθρωπον καθ' ὑμᾶς, ὁ ἄνθρωπος ἄρα ἐστὶν ἀνὰ μέρος ὁ χριστός. τί οὖν ἑαυτοὺς, καὶ ἄλλους ἀπατῶντες λέγετε, ὅτι ὁ χριστὸς θεὸς, καὶ ἄνθρωπός ἐστιν;

Ἐρώ-

sequuntur. B. *Quod ante promiserat per Prophetas suos in Scripturis sanctis de filio suo, qui factus est ei ex semine Dauid secundum carnem.* A. Quid igitur? Si Christus & filius vnus est sanctæ Trinitatis, non vides conuictam esse malitiã tuam? Lege etiam principium epistolæ ad Hebræos quod tuam quoque malam mentem redarguit. & in multis locis scripturæ planè hæc hæresis redarguitur, sæpenumero enim nomen Deus de vna persona filij dicitur. Sicut, *Deus erat verbum*, & rursus Paulus, de filio ait, *qui est super omnia Deus*, & alia eiusmodi plurima. Sed non est nunc mihi otium ad congerendum auctoritates. Sed iis, qui veritatem inquirunt, & non contentiose contradicunt, satis sint hæc.

Ioan.1.
Rom.9.

Alius Dialogus contra Nestorium * eruditum. XV.

** deest in nostro Græco codice.*

Turriano interprete.

A. Quare Christus dicitur Christus? B. Quia vnxit eum Deus Spiritu sancto. A. Quis igitur est vnctus, Deus verbum, an homo? B. Absit, vt dicamus, vnctum esse Deum verbum, & non hominem. A. Homo igitur est vnctus. Si igitur qui vnctus est, ipse est Christus, Christus autem est homo, & alius est Deus verbum præter hominẽ vestra opinione, Christus igitur * ἀνὰ μέρος, id est, secundum partem est homo. quomodo ergo & vos ipsi, & alios fallitis, cùm dicitis Christum esse Deum & hominem?

**hoc argumento redarguitur Nestorianus, cum non dicit Christum esse ἀνὰ μέρος Verbum, & ἀνὰ μέρος hominem, id est, ex parte Verbum, & ex parte hominẽ.*

XVI.

Ἐρώτησις ἀπίστου πρὸς αὐτὸν γινομένη.

est principatus, sunt triplices, vnus quidem volens, habebit principem; alius per vim, & tyrannicè; alius verò neque volens, neque per vim. at Deus non est princeps, quia volunt ij, quorum est princeps, ne rursus, si velint, ei succedant; & idcirco non συνάναρχον, id est, ex æternitate, neque naturalem habeat principatum. post voluntatem enim & recentem, & inhonoratum, sicut dictum est prius, necesse est esse principatum: neq; est princeps eorum, qui per vim & tyrannicè principem habent. trelinquitur igitur, vt dicatur Deus princeps esse non vt volentis, neque tyrannidem subeuntis, sed naturaliter Deum ἀρχὼ, id est, principium, siue principem habentis. Sarr. Et quis est, qui naturâ habet principem? Theodor. Triplices sunt, principes, alius suffragio princeps est, alius per vim, & tyrannicè; alius natura. Deus quidem non est suffragio princeps eorum, quibus præest, propter absurda, quæ diximus, neque tyrannicè, tyrannis enim procul à Deo profligatur. restat igitur tertius modus, quo Deus dicitur princeps, superior, quàm vt eligatur suffragio, & ab omni tyrannide liber, qui modus naturalis est. Sarr. Et quis est naturaliter à Deo * ἀρχόμενος? Theod. Filius eius, per quem Deus princeps, & pater non cœptus agnoscitur. Quia omnis res naturalis voluntatem electionis antecedit. Sarr. Quid verbi gratia ais? Theod. Ante enim quam velimus audimus, & antequam velimus videre, videmus. En igitur, negator diuinitatis verbi Dei, demonstratum est, quod est Deo filius eiusdem substantiæ, συνάναρχές τε καὶ συναΐδιος, id est, simul cum eo non cœptus, & coæternus, excellentiis diuinitatis cum genitore præsidens, ab omni creatura aspectabili, & inaspectabili tanquam creator & dominus cum ipso cultus, & adoratus, cui thronus cœlum, & terra scabellum, & qui, vt Propheta ait: *Palmo cœlum metitur, & terram pugno*: ante cuius conspectum omnes gentes sunt instar inclinationis lancis, & guttæ ex cado.

* Principium seu principem habens.

Isa. 40.

XXVI. Τοῦ αὐτοῦ διάλεξις ἀποδεικνύουσα, ὅτι ὁ πατὴρ ἀεὶ γεννᾷ, ὁ δὲ υἱὸς ἀεὶ γεννᾶται.

Αἱρετικός. Πότερόν σοι δοκεῖ; πᾶν τὸ εἰς πέρας ἐλθὸν ἤρξατο, ἢ οὔ; ὀρθόδ. ἤρξατο. αἱρετικός. οὐχὶ πᾶν τὸ ἀρξάμενον ἐκ τοῦ μὴ εἶναι ἦλθεν εἰς ὃ ἤρξατο; ὀρθόδ. πῶς γὰρ οὔ; αἱρετ. ἆρα ἐγέννησεν ὁ πατὴρ, καὶ ὁ υἱὸς ἐγεννήθη; ὀρθόδοξ. πάνυ μὲν οὖν. αἱρετ. εἰ οὖν ὁ μὲν ἐγέννησεν, ὁ δὲ ἐγεννήθη, ταῦτα δὲ παρῆλθεν, ἤγουν, τὸ τὸν πατέρα γεννᾶν, καὶ τὸν υἱὸν γεννᾶσθαι, τὰ δὲ παρελθόντα πέρας ἔλαβε, τὸ δὲ τοιοῦτον ἤρξατο, ὡς ὡμολόγηται, ἤρξατο ἄρα τὸν πατέρα γεννᾶν, καὶ τὸν υἱὸν γεννᾶσθαι. ὥστε, καὶ τὸ εἶναι πατέρα ἤρξατο, ὁμοίως δὲ, καὶ τὸ εἶναι υἱὸν, ἢ οὐ δοκεῖ σοι ταῦτα οὕτω συλλελογίσθαι; ὀρθόδ. οὐδαμῶς. αἱρετ. πῶς γάρ; ὀρθόδ. εἰ μὲν γὰρ χρονικῶς ἐλέγετο ἐπὶ τοῦ θεοῦ τὸ ἐγέννησε, καὶ ἐγεννήθη, ἄπορον ἦν, τὸ λεγόμενον. ἐπεὶ δὲ ὁ εὐσεβὴς νοῦς αἰωνίως ὑποτίθησι ταῦτα, οὐκέτι ὡς παρελθόντα ληπτέον αὐτὰ, ἀλλ' ὡς ἀεὶ ὄντα, ὥσπερ γὰρ ἦν ὁ θεὸς, οὐχ ὡς παρελθοῦσαν ἔχων τὴν ὕπαρξιν, καὶ γάρ ἐστιν ἀεὶ, οὕτως, τὸ ἐγέννησε, καὶ ἐγεννήθη. αἱρετ. ἀτελὴς ἄρα ἡ γέννησις, εἰ ὁ μὲν ἀεὶ γεννᾷ, ὁ δὲ γεννᾶται. ἢ οὐχ οὕτως ἔχει; ὀρθόδ. οὐ μὲν οὖν, καὶ γὰρ ὁ πατὴρ ἀεί ἐστιν. ὁμοίως δὲ καὶ ὁ υἱός. ἀτελὴς ἄρα κατὰ σὲ ἡ ὕπαρξις τοῦ τε πατρὸς, καὶ τοῦ υἱοῦ. ὅτι, οὐ λαμβάνει πέρας. μᾶλλον δὲ τοῦτό ἐστι τὸ τελειότατον, τὸ οἴκοθεν ἔχον τὸ τέλος καὶ ἀεὶ ὂν τέλειον, καὶ οὐκ ἔξωθεν ἐπιγινόμενον. ἔτι δὲ ἐπεὶ τὸ γεννᾶσθαι τὸν υἱὸν οὐκ ἄλλο σημαίνει, ἢ τὸ ἔχειν τὴν ὕπαρξιν ἐκ τοῦ πατρός. ἀεὶ δὲ πατρόθεν ἔχει τὴν ὕπαρξιν, ἀεὶ ἄρα γεννᾶται. ἔδει γὰρ τὸν κυρίως υἱὸν ἀεὶ ἔχειν τὴν ὕπαρξιν ἐκ τοῦ πατρός. καὶ οὐχ ὡς ἡμεῖς, εἰ τὴν ἀρχὴν μόνον. τὸ γὰρ γεννᾶσθαι ὁμώνυμον. ἐπὶ μὲν γὰρ ἡμῶν ὁδός ἐστιν εἰς ὕπαρξιν. ἐπὶ δὲ τοῦ υἱοῦ τοῦ θεοῦ, αὐτὴν τὴν ὕπαρξιν σημαίνει, καὶ οὐχὶ ὁδὸν εἰς ὕπαρξιν. μόνῳ δὲ τῷ τρόπῳ διαφέρουσι. τὸ γὰρ

εἶναι

XXVI.

Theodori monachi * demonstratio, quod Pater semper generat, Filius autem semper generatur.

Turriano interprete.

HAEreticus. Vtrum tibi videtur, omne quod ad finem venit, cœpit, an non? Orthodoxus. Cœpit. Hær. Nonne omne quod cœpit, cum non esset, eò deuenit, vt esse inciperet? Orthod. Quid ni? Hær. Igitur genuit Pater, & genitus est Filius? Ortho. Maximè. Hær. Si ille genuit, & hic genitus est, hæc præterierũt, generare scilicet Patrem, & generari Filium, hæc autem præterita finẽ acceperunt. quod autem eiusmodi est, cœpit, vt concessum est; cœpit igitur Pater generare, & Filius generari, cœpit igitur esse hoc quod est, Patrem generare, & hoc, Filium generari, cœpit igitur quod est esse Patrẽ; & similiter hoc, quod est esse Filium, an non videntur tibi hæc sic concludi? Orthod. Non videntur mihi. Hær. Cur non? Orthod. Quia si diceretur secundum tempus in Deo, genuit, & genitus est, extra dubitationẽ esset, quod dicitur. Sed quia mens pia hæc æternè ponit, non iam tanquam præterita accipienda sunt, sed tanquã quæ semper sint; sicut enim erat Deus non tanquam qui haberet præteritam essentiã, est enim semper, sic genuit Pater, & Filius genitus est. Hær. Imperfecta ergo est generatio, siquidẽ ille generat, & hic generatur. an non sic est? Orthod. Nequaquam. etenim Pater semper est, & similiter Filius. imperfecta igitur est essentia Patris, & Filij, vt tu sentis, quia non accipit finem; quin potius hoc est perfectissimum, quod habet finem οἴκοθεν, id est, è se, & semper in fine est, & non accedit foris finis. Præterea quia generari Filium nõ significat aliud, quàm habere essentiam ex Patre, semper autem habet essentiam ex Patre, semper igitur generatur, oportebat enim, vt qui propriè Filius est, semper haberet essentiam ex Patre, nõ sicut nos, qui prin-

** Hunc titulum habebat versio Turriani. In altero cod. Bauarico,* Θεοδώρου πρεσβυτέρου τῆς ῥαϊθοῦ. Theodori Presbyteri Raithu. *Secundus codex Bauar.* τοῦ αὐτοῦ διάλεξις ἀποδεικνύουσα, &c. Eiusdem dissertatio, demonstrans, &c. *Refertur autem illud:* τοῦ αὐτοῦ *ad Abucaram, quia in proximè antegresso Dialogo hæc erat inscriptio;* Θεοδώρου φιλοσόφου ἐπισκόπου καρῶν τοῦ ἀβουκαρᾶ, Theodori Philosophi, Episcopi Carum, Abucaræ, *Vtrum autem Theodorus Abucara, & ille Presbyter Lauræ, seu Monasterij Raithu sint vnus & idem, incompertum habeat. Ex Monasteriis certe vsitati moris erat Episcopos educere. Exstat Theodori Presbyteri Raithu, seu vt alij vocăt, Rhatĕsis libellus Tom. I. Biblioth. SS. PP. Interpr. Godefrido Tilmanno, aduersus Hæreses quibus iam olim hypostatica duarum in Christo naturarũ vnio oppugnata est. Eundẽ latinè reddidit Turrian⁹; imò & Caluinianus Beza nõ modò vertit, sed Græcolatinè publicauit. Doctores inquirant vtrũ sub istis Theodoris vnus an duo lateant.*

εἶναι αὐτὸ καθ' αὐτὸ μὲν λαμβανόμενον, ὕπαρξίς ἐστιν, ὡς δὲ ἐκ τοῦ πατρὸς νοούμενον, γεννᾶσθαι λέγεται· ὥστε ἐπεὶ δύο σημαινόμενα ἐδείχθη τοῦ γεννᾶσθαι, κατὰ μὲν τὸ πρῶτον, ἄτοπόν ἐστι τὸ γεννᾶσθαι ἀεί. κατὰ δὲ τὸ δεύτερον, οὐδαμῶς. τοῦ γὰρ γεννᾶσθαι τὸ μὲν τέλος ἔχει τὴν ὕπαρξιν. ὅπερ εἰ οὐ λαμβάνει τὸ ἴδιον τέλος, ἀτελές ἐστιν. ἐπὶ δὲ τοῦ υἱοῦ τοῦ θεοῦ, οὐχ οὕτως ἔχει. οὐ γὰρ ἔχει τὸ τέλος τὴν ὕπαρξιν, τὸ, τὸν υἱὸν τοῦ θεοῦ γεννᾶσθαι. ἀλλ' ἔστι τέλος, καὶ τέλειόν ἐστιν. ἐπεὶ οὖν ἐδείχθη ἀεὶ γεννᾶσθαι τὸν υἱὸν, τοῦτ' ἔστιν ἀεὶ ἐκ τοῦ πατρὸς ἔχειν τὸ εἶναι, καὶ ὁ πατὴρ ἄρα ἀεὶ γεννᾷ, ἤγουν ἀεὶ αἴτιός ἐστι τοῦ υἱοῦ. καὶ ταῦτα οὕτως διορίσθω.

Σχόλιον τοῦ αὐτοῦ.

Λέλυται ἄρα τὸ δοκοῦν ἄπορον πρόβλημα, λέγω δὲ τὸ, πότερον ὄντα αὐτὸν γεγέννηκεν, ἢ οὐκ ὄντα. ἐπεὶ γὰρ οὐκ ἄλλο σημαίνει τοῦτο, ἢ τὸ, ὄντος αὐτοῦ, ἦν αἴτιος τοῦ εἶναι αὐτὸν, ἢ μὴ ὄντος. οἵαν ἂν οὖν ἀπόκρισιν ἁρμόζει πρὸς ταύτην τὴν ἐρώτησιν ἀποδοῦναι, καὶ πρὸς τὴν ἰσοδυναμοῦσαν αὐτῇ προκειμένην ἐρώτησιν, τὴν ἰσοδυναμοῦσαν ἀπόκρισιν ἁρμόσῃ λέγεσθαι. ἐπεὶ οὖν ὁ πατὴρ ἀεὶ αἴτιός ἐστι τοῦ εἶναι τὸν υἱὸν, δῆλον, ὅτι ἀεὶ τοῦ υἱοῦ ὄντος ἐστὶν αἴτιος αὐτοῦ ὁ πατήρ. ὥστε ὄντος αὐτοῦ ἦν αἴτιος αὐτοῦ ὁ πατήρ, τοῦτο δὲ ταὐτόν ἐστι τῷ, ὄντα αὐτὸν γεγέννηκεν. ὄντα αὐτὸν ἄρα γεγέννηκε. καὶ οὐκ ἄτοπον. ἐπὶ γὰρ θεοῦ, οὐ σημαίνει, τὸ γεγέννηκε, τὸ παράγειν τι ἐξ αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. τότε γὰρ ἦν ἄτοπον τὸ, ὄντα αὐτὸν γεγέννηκεν. ὡς δὲ διωρίσαμεν, οὐδαμῶς.

XXVII. Θεοδώρου φιλοσόφου ἐπισκόπου Καρῶν, τοῦ Ἀβουκαρᾶ, περὶ θεοῦ ὀνομάτων.

ΤΟ θεὸς ὄνομα, ἀπό τινος ἐνεργείας εἴρηται, οὐ μὴν τῆς ἐνεργείας ἐστὶ σημαντικὸν, ἀλλὰ τῆς φύσεως τῆς ἐνεργούσης. εἰ γὰρ τὸ θεὸς ὄνομα ἐνεργείας δηλωτικὸν, πᾶν δὲ ὄνομα, οὗτινός ἐστι δηλωτικὸν, ἐκείνου ἐστὶν ὄνομα. καὶ τὸ θεὸς ἄρα ὄνομα ἐνεργείας ἐστὶν ὄνομα· ὥστε τὸ ὠνομασμένον θεὸς, ἡ ἐνέργεια τοῦ θεοῦ ἐστι. θεὸς ἄρα ἡ ἐνέργεια τοῦ θεοῦ. καὶ, ὁ θεὸς ἡ ἐνέργεια αὐτοῦ ἐστι. παν-

τὸν

cipium tantum habemus. Generari enim homonymum eſt, ſiquidem in nobis via eſt ad eſſentiam habendam; in Filio autem Dei eſſentiam ipſam ſignificat, & non viam ad eſſentiam; modo ſolùm differunt: eſſe enim per ſe acceptum eſſentia eſt, vt autem intelligitur eſſe ex Patre, generare dicitur: Quare cũ duo ſignificata in eo, quod eſt generari, demonſtrata ſint, in primo quidem abſurdum eſt ſemper generari, in ſecũdo verò minimè, in eo enim quod eſt generari, quod duplex eſt, vnum quidem habet finẽ ipſam eſſentiam, quod quidem ſi propriũ finem non accipit, imperfectum eſt. in filio autem Dei non ſic eſt. non enim hoc quod eſt, generari filium; finem habet ipſam eſſentiam, ſed eſt finis, & perfectum eſt. Quia igitur demõſtratum eſt, ſemper generari filium, id eſt, ſemper habere ex Patre eſſentiam, & Pater vtiq; ſemper generat, id eſt, ſemper eſt principium Filij. Atq; hæc quidem ſic explicata ſint.

Scholium eiuſdem.

EX his ſolutum manet problema illud, quod videtur dubitationis plenum, illud inquam, vtrum Pater exiſtentem Filium genuerit, an non exiſtẽtem. cum enim hoc non ſignificet aliud, quàm iſtud; vtrum Pater fuerit principium Filij exiſtentis, an non exiſtentis; quæ reſponſio ad hanc quæſtionẽ dabitur, eadem accommodanda erit ad aliam huic æquipollentem. Cum igitur Pater ſemper ſit principium Filij; manifeſtum euadit, Patrem ſemper exiſtentis Filij eſſe principium. Itaq; exiſtentis Filij principiũ eſt. Quod idem eſt, ac illud: exiſtentem genuit. Exiſtentem igitur genuit. Neq; hoc abſurdum eſt; Nam illud *genuit*, non ſignificat in Deo aliquid ex non eſſe ad eſſe producere; ſic enim abſurdum foret dicere, Patrem genuiſſe Filium exiſtẽtem. Eo autem modo, quo nos id affirmamus, omni abſurditate caret.

*Theodori Hagiopolitani diſputatio de nomine Dei. XXVII.

Turriano interprete.

** Hũc titulum habet verſio Turriani. Sed in vno cod. Bauarico expreſſè eſt iſta quã po-*

NOmen Dei à quadam operatione dictum eſt, non tamen ſignificat operationem, ſed naturam operantem. Si enim nomẽ Deus, ſignificat operationem, omne autem nomen cuius habet ſignificationem,

τὸν ἄρα θεὸς, καὶ ἐνέργεια θεοῦ. ὅπερ ἀδύνατον. εἰ δέ τις ἐριστικῶς λέγοι, ὡς οὐκ ἀδύνατον τοῦτο τεθῆναι, ἴστω, ὡς πολλὰ ἄτοπα συμβαίνει αὐτῷ ὁμολογεῖν. πρῶτον, τὸ πρὸς τὸ αὐτὸ λέγεσθαι. τὰ γὰρ ταυτὰ, πρὸς τὸ αὐτὸ λέγεται * εἴγε τὸν αὐτὸν ὅρον δέχεται, * ἄλλη τοῦ θεοῦ ἐνέργεια, τοῦ θεοῦ λέγεται ἐνέργεια. ὁ θεὸς οὐ λέγεται τοῦ θεοῦ εἶναι θεός. ἔτι ἡ ἐνέργεια, ἐνεργοῦντός ἐστιν ἐνέργεια. ὁ δὲ θεὸς οὐκ ἐνεργοῦντός ἐστι θεός. ἔτι, εἰ ταυτὸν θεὸς, καὶ ἐνέργεια θεοῦ, κατηγοροῖντο ἂν ἀμφότερα κατὰ τῶν αὐτῶν. ἀλλ' ὁ θεὸς κατηγορεῖται κατὰ πατρὸς, καὶ υἱοῦ, καὶ πνεύματος. ἡ δὲ ἐνέργεια, οὐχ ὁμοίως. ὁ γὰρ πατὴρ, θεός. ὁμοίως δὲ καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα. οὐκέτι δὲ ὁ πατὴρ ἐνέργεια, ἢ ὁ υἱὸς, ἢ τὸ πνεῦμα ἀλλ' ἐνεργοῦντα. τὸ δὲ μέγιστον, τὸ λέγειν μὴ εἶναι τὸν θεὸν πρὸ τῆς ἐνεργείας αὐτοῦ, ἀλλ' ἅμα. τὰ γὰρ ταυτὰ, ἅμα ὁμολογεῖν ἀνάγκη· εἰ οὖν ὁ θεὸς ἀΐδιος, καὶ ἡ ἐνέργεια αὐτοῦ ἄρα ἀΐδιος. ὥστε καὶ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα ἀΐδιον, τὸ δὲ ἀποτέλεσμα, ὁ κόσμος· ἀΐδιος ἄρα ὁ κόσμος κατὰ τὴν προτεθεῖσαν ὑπόθεσιν. ὅπερ οὐ μόνον ἀδύνατον, ἀλλὰ καὶ ἀσεβές ἐστι λέγειν. ἔτι, πᾶν τὸ κυριώτατον, καὶ μάλιστα κατηγορούμενον κατὰ πασῶν τῶν ὑποκειμένων ὑποστάσεων, ἢ φύσις ἐστὶν, ἢ μέρος φύσεως. ὁ δὲ θεὸς κυριώτατα, καὶ μάλιστα κατηγορεῖται κατὰ τριῶν ὑποστάσεων. ὁ θεὸς ἄρα ἢ φύσις ἐστὶν, ἢ μέρος φύσεως. ἀλλ' ἐπεὶ τὸ μέρος ἐπὶ θεοῦ ἀδύνατον, λείπεται εἶναι φύσις. φύσις ἄρα ἐστὶν ὁ θεὸς, καὶ τὸ θεὸς ὄνομα, φύσεώς ἐστι δηλωτικόν. ὥσπερ γὰρ τὸ ἄνθρωπος ὄνομα, παρά τινος ἐνεργείας * ἐστὶ σημαντικὸν, ἀλλὰ τῆς φύσεως, καὶ τῆς οὐσίας. ὁμοίως δὲ καὶ ψυχὴ, καὶ ἄγγελος, καὶ σχεδὸν πάντα τὰ ὀνόματα τῶν οὐσιῶν, ἀπὸ τῆς ἐνεργείας ἢ τοῦ πάθους εἴρηται, οὐ μὴν ἐνέργειαν, ἢ πάθος σημαίνει, ἀλλ' οὐσίαν, καὶ φύσιν. οὕτως μοι νόει καὶ ἐπὶ τοῦ θεοῦ ὀνόματος. καὶ μὴ πλανηθῇς ἀκολουθῶν ἐτυμολογίαις, καὶ νόμοις γραμματικοῖς. παρορῶν τὸν τῆς ἀληθείας κανόνα. ὃ πολλοὶ μὲν ἐπαγγέλλονται χρῆσθαι, ὀλίγοι δέ εἰσιν οἱ χρώμενοι· τοῦ δὲ τέλους εὐχόμεθα σὺν θεῷ.

* Hæc non habentur in Turriano.

* ἀλλὰ legit Turr.

* Videtur deesse λεγόμενον, ἐνεργείας οὐκ ἔστι.

Διάλε-

tionem, illius est nomen, igitur nomen Deus nomen operationis est. Quare quod nominatur Deus, operatio Dei est. operatio igitur Dei est Deus; & Deus est operatio sua, idem igitur est Deus, & operatio Dei, quod est impossibile. Si quis verò contentiosè dicat, posse hoc poni, & concedi, sciat is, multa absurda inde sequi. Primum, ad idem dici; Quæ enim sunt eadem, ad idem dicuntur, at operatio Dei, Dei operatio dicitur; Deus verò non dicitur esse Deus Dei. Præterea, operatio operantis operatio est; Deus autem non est Deus operantis. Rursus, si idem ipsum est Deus, & operatio Dei, dicentur ambo de eisdem, at Deus de Patre dicitur, & Filio, & Spiritu sancto, operatio verò non sic. Pater enim Deus est, similiter & Filius, & Spiritus sanctus. Pater autem non est operatio, vel Filius, & Spiritus sanctus, sed operantes. Quod verò maximum est, non dicere Deum esse ante suam operationẽ, sed simul. quæ enim sunt eadem, necesse est confiteri simul esse. * Si igitur Deus est æternus, & operatio eius æterna est, ex quo fit, vt effectus operationis æternus sit, est autem effectus operationis mundus, igitur æternus mundus, vt positum est. atqui dicere hoc non solùm non licet, sed impiũ est. Ad hæc, omnia, quæ propriè, & maximè de indiuiduis subiectis dicũtur, aut natura sunt, aut pars naturæ, Deus autem propriè & maximè dicitur de tribus personis, Deus igitur aut natura est, aut pars naturæ. Sed quia pars non potest in Deo dici, relinquitur, vt sit natura. Deus igitur est natura; & nomẽ, Deus, naturam significat. Sicut enim nomen homo, à quadam operatione dictum est, non tamen significat operationem, sed naturam, & substantiam, similiter anima, & angelus, & fere omnia nomina substantiarum ab operatione, aut affectione siue passione dicta sunt, non tamen operationem; aut affectionẽ, siue passionem significant, sic intelligendum est in nomine Dei. & non oportet sequi per errorem etymologias, & leges grammaticæ, neglecta regula veritatis, qua multi profitentur vti, pauci verò vtuntur. Sed de his hactenus.

* * *

suimus, inscriptio: In altero, ista. τοῦ αὐτοῦ περὶ θεοῦ ὀνόματος. Præcedit antea disputatiuncula Theodoro Presbytero Raithu inscripta.

** Distingue, operatio immanens, æterna est, nec a Deo distinguitur; transiens temporaria est; & vt effectus, ita & ipsa à Deo distinguitur.*

XXVIII.

Διάλεξις αἱρετικοῦ πρὸς ὀρθόδοξον περὶ θεοῦ, καὶ θεότητος.

Αἱρετικός. πότερόν σοι δοκεῖ; ταυτόν ἐστι θεὸς, καὶ θεότης, ἢ ἕτερον; ὀρθόδοξος. ταυτόν. αἱρετικός. οὐχὶ τὰ αὐτὰ, καὶ τοῦ αὐτοῦ κατηγοροῦνται; ὀρθόδ. οὐκ ἀνάγκη. αἱρετικός. εἰ μὲν οὖν ταυτά εἰσι τὰ αὐτὰ, πῶς οὐ κατηγοροῦνται κατὰ τοῦ αὐτοῦ; εἰ δὲ οὐ κατηγοροῦνται, πῶς οὐχ ἕτερα τὰ αὐτά; ὅπερ ἀδύνατον. ὀρθόδ. οὐκ ἀπόχρη εἰς τὸ κατηγορεῖσθαι τὰ αὐτὰ κατὰ τοῦ αὐτοῦ, τὸ εἶναι ταυτὰ μόνον, ἀλλὰ δεῖ συνδραμεῖν εἰς τοῦτο, καὶ τὸ ὡσαύτως νοεῖσθαι, καὶ λέγεσθαι. ἐπεὶ οὖν θεὸς, καὶ θεότης καθ' ἡμᾶς ταυτὸν, ὁ δὲ τρόπος διάφορος, τοῦτ' ἔστιν, οὐχ' ὡσαύτως νοεῖται θεὸς, καὶ θεότης. θεὸν μὲν γὰρ νοοῦντες, καὶ λέγοντες, τὴν ἐν ὑποστάσει φύσιν νοοῦμεν καὶ λέγομεν, θεότητα δὲ αὐτὴν τὴν φύσιν, ὡς γυμνὴν οὖσαν, καὶ ἄνευ ὑποστάσεως θεωρουμένην. διὰ τοῦτο, τὸν μὲν θεὸν κατηγοροῦμεν κατὰ τῆς ὑποστάσεως, ὡς ἐν ὑποστάσει θεωρούμενον. τὴν δὲ θεότητα οὐδαμῶς, ὡς καθ' ἑαυτὴν οὖσαν, καὶ ἄνευ ὑποστάσεως θεωρουμένην.

Ἰστέον γὰρ ὅτι ἡ θεότης οὐκ ἔστιν ἄνευ τῶν τριῶν ὑποστάσεων. θεωρουμένη δὲ καθ' αὑτὴν, ἄνευ τῶν ὑποστάσεων θεωρεῖται· καὶ γὰρ ἡ θεωρία, οὐκ ἔστι κωλυτικὴ τῆς ὑπάρξεως. ἐπεὶ γὰρ ἡ θεότης καθ' ἑαυτὴν νοουμένη, φύσις ἄνευ ἰδιωμάτων νοεῖται, δῆλον, ὅτι καὶ ἄνευ ὑποστάσεων. εἰ γὰρ νοεῖται καθ' ἑαυτὴν, μετὰ ὑποστάσεων, δηλονότι, καὶ μετὰ ἰδιωμάτων, ὅπερ οὐχ ὑπέκειτο. ἔτι, τὸ μὴ δυνάμενον νοεῖσθαι ἄνευ ἄλλου, ἀνάγκη πρός τι εἶναι, καὶ οὐκ οὐσίαν. ἡ δὲ θεότης, οὐ πρός τι ἐστίν. ἀλλ' ὑπερούσιος οὐσία. ὥστε δύναται θεωρεῖσθαι καθ' ἑαυτὴν μόνην, καὶ οὐ μετὰ ἄλλου. ἔτι, ὥσπερ ὁ ἄνθρωπος οὐκ ἔστιν ἄνευ τόπου, θεωρούμενος δὲ καθ' αὑτὸν, καὶ ὁριζόμενος, ἄνευ τόπου θεωρεῖται, καὶ ὁρίζεται. ἔτι μὴν καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου ζῶντος αὐτοῦ,

οὐκ

Eiusdem disputatio de Deo, & deitate. XXVIII.

Turriano interprete.

HAEreticus. Vtrum tibi videtur, idem esse, Deus, & Deitas? an aliud? Orthodoxus. Idem. Hær. Nonne, quæ eadem sunt, de eodem dicuntur? Orthod. Non est necesse. Hær. Si eadẽ sunt, quomodo non de eodem prædicantur? Sin verò non prædicantur, quomodo non sunt diuersa; quæ eadem sunt? quod quidem fieri non potest. Orthod. Non satis est, vt prædicentur eadem de eodem, esse tantum eadem, sed oportet in eo conuenire, vt similiter dicantur, & intelligantur. quia igitur Deus & Deitas, sensu nostro idem sunt, modus autem significandi scilicet diuersus est; non enim similiter intelligitur Deus & Deitas; siquidem Deum intelligentes, & dicentes, naturam tanquam in hypostase intelligimus, & dicimus. Deitatem verò cum dicimus, ipsam naturam tanquam nudam, & sine personis, ratione tantum consideratam intelligimus, & dicimus, idcirco Deum prædicamus de hypostase, tanquam in hypostase consideratum; Deitatem verò nequaquam. (non enim dicimus, Pater est Deitas, sed Deus) tanquam per se, & solum sine personis consideratam.

Aduertendum aũt est, quod Deitas non est sine tribus personis. considerata verò per se & sola, sine personis consideratur. Siquidem consideratio non prohibet existentiam. Quia enim Deitas secundum se considerata, natura sine proprietatibus intelligitur. liquet sine hypostasibus cõsiderari, si enim consideratur per se cum hypostasibus, liquet considerari cum proprietatibus, quod quidem non erat positum. Deinde, quod non potest intelligi sine alio, necesse est ad aliquid esse, & non substantiam, Deitas autem non est ad aliquid, sed est substantia supra substantiam, quare potest considerari per se solam, & non cum alio. Rursus, sicut homo non est sine loco, consideratus verò per se, & definitus, sine loco consideratur, & definitur. item anima hominis viuentis non est sine corpore, considerata verò per se, sine corpore consideratur.

οὐκ ἔστιν αὐτοῦ σώματος. θεωρουμένη δὲ καθ' ἑαυτὴν, αὐτοῦ τούτου
θεωρεῖται. οὕτως καὶ ἡ θεότης, αὐτοῦ μὲν τῶν ὑποστάσεων οὐκ ἔστι.
θεωρουμένη δὲ καθ' ἑαυτὴν, ἄνευ τούτων θεωρεῖται.

*f. ἄλλο τι. Αἱρετ. * ἄλλο γάρ ἐστιν οὐσία, καὶ ἄλλο ὑπόστασις; ὀρθόδ. ἄλ-
λο, καὶ ἄλλο. οὐχ' ὡς πρᾶγμα ἄλλο, καὶ ἄλλο, ἄλλο τι σημαινούσης
τῆς ὑποστάσεως, καὶ ἄλλο τῆς οὐσίας, ὡς ὁ κόκκος τοῦ σίτου λέγεται
σπέρμα, καὶ καρπὸς, οὐχ ὡς πρᾶγμα ἄλλο, καὶ ἄλλο. ἄλλο δέ τι
σημαίνει τὸ σπέρμα, καὶ ὁ καρπὸς ἄλλο. ἄλλο δέ τι σημαίνει τὸ σπέρ-
μα, καὶ ἄλλο ὁ καρπός. ὅτι, τὸ μὲν σπέρμα τοῦ μέλλοντός ἐστι γεωργίου
σπέρμα. ὁ δὲ καρπὸς τοῦ παρελθόντος γεωργίου καρπός. αἱρετ. τί
σημαίνει ἡ οὐσία, καὶ τί ὑπόστασις; ὀρθόδ. ἡ οὐσία τὴν κοινότητα
σημαίνει, καὶ εἴ τι ἐστὶν ἴδιον τῆς οὐσίας, τοῦτο κοινὸν τῶν ὑποστάσεων
τῶν ὑπὸ τὴν οὐσίαν. ἡ δὲ ὑπόστασις ἰδιότητα ἔχει, ἥτις οὐκ ἔστι
κοινὴ τῶν τῆς αὐτῆς οὐσίας ὑποστάσεων μετὰ καὶ τοῦ ἀριθμὸν ἐπι-
δέχεσθαι. αἱρετ. ἡ γὰρ οὐσία οὐκ ἔχει ἰδιότητα; ὀρθόδ. οὔτε ἰ-
διότητος μετέχει, μὴ οὔσης κοινῆς τῶν τῆς οὐσίας ὑποστάσεων. οὔ-
* οὖσα. τε γὰρ ἀριθμὸν πληθυντικὸν ἐπιδέχεται μία * οὐσία. τὸ γὰρ
ἀριθμὸν πληθυντικὸν ἐπιδεχόμενον, πάντως ἰδιότητα ἔχει, καὶ
τὸ ἔχον ἰδιότητα, ἀριθμὸν ἐπιδέχεται. αὕτη γὰρ ἡ ἰδιότης τὸν
ἀριθμὸν εἰσάγει. αἱρετ. οὐ νοῶ, ὃ λέγεις, εἰπὲ σαφέστερον. ὀρ-
θόδ. λέγεις τὴν τοῦ πατρὸς οὐσίαν ἀθάνατον, καὶ ἀόρατον, καὶ
* Hic Turr. plura. ἄφθαρτον, καὶ δημιουργὸν, καὶ θεόν; αἱρετ. ναί. ὀρθόδ.* καὶ
τὸν υἱὸν ὁμοίως; αἱρετ. ναί. ὀρθόδ. τὸν δὲ υἱὸν λέγεις πατέ-
ρα; αἱρετ. οὔ. ὀρθόδ. οὐκ ἄρα τῆς οὐσίας ἴδιόν ἐστιν ὁ πατὴρ,
ἀλλὰ τῆς ὑποστάσεως. αἱρετ. πῶς; ὀρθόδ. ὅτι τὰ μὲν τῆς οὐ-
σίας ἴδια κοινὰ ὁμοίως εἰσὶ, πατρὸς, καὶ υἱοῦ, καὶ πνεύματος, τὸ
δὲ πατὴρ οὐ κοινόν. εἰ δὲ ἄλλο τῆς οὐσίας τὸ ἰδίωμα, καὶ ἄλλο τῆς
*C.B. ὅτι οὐκ. ὑποστάσεως, οὐ ταυτὸν σημαινόμενον οὐσία, καὶ ὑπόστασις. αἱ-
Sed negatio debet abesse & rectè omissa est à Turriano: etsi fortè in suo exemplari eam non reperit. ρετ. οὐκ ἔστιν ἴδιον τοῦ πατρὸς τὸ ἀγέννητον, καὶ τοῦ υἱοῦ, τὸ γεν-
νητὸν, καὶ τοῦ πνεύματος τὸ ἐκπορευτόν; διὰ τί μὴ καὶ τρεῖς
οὐσίας εἴπωμεν; ὀρθόδ. ὅτι * ἀνάγκη τῷ ἀριθμῷ ἰδιώματα
δοθῆναι· ἡ δὲ ἰδιότης, ἑτερότης. ἡ δὲ ἑτερότης, οὐσίας ἑτερού-

σιον

Sic Deitas sine personis non est, considerata verò per se, sine his consideratur.

Hær. Aliud est ne substantia,& aliud hypostasis? Orthod. Aliud & aliud, non tanquam res alia & alia: sed tanquam aliud significet hypostasis, & aliud substantia, sicut granum frumenti dicitur & est semen & fructus, non tanquam res alia & alia. aliud vero significat semen, & aliud fructus,quoniam semen quidem semen est futuræ agriculturæ; fructus vero præteritæ agriculturæ fructus est. Hær. Quid significat substantia?& quid hypostasis? Orth. Substantia significat quid commune, & siquid est proprium substantiæ, hoc commune est hypostaseon, quæ sunt subter substantiam. hypostasis autem proprietatem habet, quæ non est communis hypostaseon eiusdem substantiæ, & numerum recipit. Hær. Num substantia non habet proprietatem? Orth. Neque proprietatem habet, quæ non sit communis hypostaseon substantiæ. neque numerum plurium recipit, cum sit vna. quod enim numerum plurium recipit, omnino etiam proprietatem habet; & quod habet proprietatem, numerum recipit, ipsa enim proprietas numerum introducit. Hær. Non intelligo, quod ais, dic clarius. Orth. Dicisne patris substantiam immortalem,& incorruptibilem,& inuisibilem,& creatricem,& Deum? Hær. Maximè. Orth. Dicis similiter de filio? Hæret. Etiam. Orth. Sicut dicis substantiam patris immortalem, & reliqua, sic ne etiam dicis patrem ipsam substantiam? Hæret. Ita est. Orth. Filium verò dicis patrem? Hær. Minimè. Orth. Non est igitur pater proprium substantiæ, sed ipsius hypostasis. Hæret. Quomodo? Orth. Quia propria substantię similiter sunt communia Patris, & Filij, & Spiritus sancti, Pater autem non est commune,non est igitur Pater substantiæ,sed hypostaseos. Si igitur alia est proprietas hypostasis, & alia proprietas substātiæ, non est idem significatum substantia, & hypostasis. Hær. An non est proprium Patris ingenitum, & Filij genitum, & Spiritus sancti procedens? Quare non dicimus tres substantias? Orth. Quia necesse est dare proprietatem numero, proprietas autem diuersitas est. diuersitas autem substātiæ diuersum substantia facit. Quod autem est diuersum substantiâ,

σιον ποιεῖ. τὸ δὲ ἐπηρέαστον, οὐχ ὁμοίως ἀθάνατον, οὐχ ὁμοίως ἄφθαρτον, * καὶ τὰ λοιπά. μία οὖν οὐσία πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. ὅταν δὲ λέγωμεν τρεῖς ὑποστάσεις, πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, τὸ ἀληθὲς εἶναι λέγομεν τῶν ἰδιοτήτων τὴν διαφορὰν ἐν τῇ ὑποστάσει, οὐχὶ δὲ καὶ ἐν τῇ οὐσίᾳ. αἱρετικ. εἰ μία θεότης, μία καὶ ὑπόστασις. ὀρθόδ. * ἡ θεότης τὸ εἶναι κοινὸν τῆς ὑποστάσεσι σημαίνει. ὑπόστασις δὲ τὸ τί εἶναι. ἡ δὲ οὐσία κοινότης. οὐ γὰρ πᾶσα ὑπόστασις θεότης. οὐ δὲ πᾶσα ὑπόστασις ἀνθρωπότης. εἰ δὲ οὐ πᾶσα ὑπόστασις ἀνθρωπότης. οὐ δὲ πᾶσα ὑπόστασις θεότης, οὐκέτι ταὐτὸν σημαίνει ὑπόστασις θεότητι, καὶ ἀνθρωπότητι. αἱρετ. ἡ ἀνθρωπότης οὐχ ὑφέστηκεν; ὀρθόδ. ναί. αἱρετ. οὐκοῦν ὑπόστασίς ἐστιν. ὀρθόδοξ. ἐν ἀτόμοις θεωρουμένη. αἱρετ. τί ἐστιν ἄτομον, καὶ τί ἐστιν ἀνθρωπότης; ὀρθόδοξος. ἄτομόν ἐστιν ἡ καθ' ἕκαστον ἡμῶν ὑπόστασις. ἀνθρωπότης δὲ, ἡ τῆς οὐσίας κοινότης. αἱρετ. καὶ τίς ἡ διαφορὰ κοινότητος, καὶ ὑποστάσεως; ὀρθόδ. ὅτι σοῦ μὲν ἡ ὑπόστασις, οὐκ ἔστι πάντων ἀνθρώπων ἡ δὲ ἀνθρωπότης, κοινὴ πάντων ἀνθρώπων. αἱρετ. ἡ ὑπόστασις τοῦ πατρὸς, οὐκ ἔστι θεότης; ὀρθόδ. ναί. ἀλλ' ἡ θεότης τὸ εἶναι σημαίνει. ἡ δὲ ὑπόστασις τὸ τί εἶναι. αἱρετ. καὶ ἡ ὑπόστασις τοῦ θεοῦ οὐκ ἔστι θεότης; ὀρθόδ. ναί. αἱρετ. δύο οὖν θεότητες. ὀρθόδ. οὔ, οὐ γὰρ ἄλλη, καὶ ἄλλη θεότης ἐστίν. αἱρετ. ἄλλη, καὶ ἄλλη ὑπόστασίς ἐστιν. ὀρθόδ. ἀλλ' οὐ τὸ αὐτὸ σημαίνειν εἶπον θεότητα, καὶ ὑπόστασιν. ἡ γὰρ θεότης, τὸ εἶναι σημαίνει. ἡ δὲ ὑπόστασις τὸ τί εἶναι. ὡς γὰρ οὐκ εἰσὶν ἀνθρωπότητες δύο Παῦλος, καὶ Πέτρος, οὕτως οὐδὲ δύο θεότητες πατρὸς καὶ υἱοῦ. * (αἱρετ. οὐκοῦν οὐχὶ ἡ ὑπόστασις τοῦ πατρὸς, καὶ θεότης; ὀρθόδ. ναί. ἀλλὰ ἡ θεότης τὸ εἶναι σημαίνει, ἡ δὲ ὑπόστασις τὸ τί εἶναι. αἱρετ. καὶ ἡ ὑπόστασις τοῦ υἱοῦ οὐκ ἔστι θεότης; ὀρθόδ. ναί. αἱρετ. δύο οὖν θεότητες. ὀρθόδ. οὔ. οὐ γὰρ ἄλλη, καὶ ἄλλη θεότης ἐστίν. αἱρετ. ἄλλη, καὶ ἄλλη ὑπόστασίς ἐστιν. ὀρθόδ. ἀλλ' οὐχὶ τὸ αὐτὸ σημαίνειν εἶπον θεότητα, καὶ ὑπόστασιν. ἡ γὰρ θεότης τὸ εἶναι σημαίνει, ἡ δὲ ὑπόστασις τὸ τί εἶναι.

Margin notes:

* *Hic iterum plura Turr.*

* *Est hic.*

* *Parenthesi inclusa non habentur in versione Turriani, sed videntur merae repetitiones.*

ὡς

non est similiter immortale, similiter incorruptibile, & sanctum, & immutabile. Similiter autem sunt Pater, & Filius, & Spiritus sanctus immortale, & reliqua. vna igitur substãtia est Patris, & Filij, & Spiritus sancti. cũ vero dicimus tres hypostases, dicimus quod verum est, differentiam proprietatũ esse in hypostasi. Hęr. Si vna est deitas, vna est hypostasis. Or. Si scires donũ Dei, cognosceres, quod deitas significat esse commune hypostaseon. hypostasis vero significat τὸ τί εἶναι, id est, esse hoc aliquid, sicut humanitas significat esse commune, hypostasis vero esse hoc aliquid. non enim omnis hypostasis est deitas, nec omnis hypostasis est humanitas. Si autem non omnis hypostasis est humanitas, nec omnis hypostasis est deitas, igitur non significant idem hypostasis, & deitas, & humanitas. Hær. Humanitas non existit per se? Orth. Maxime, scilicet considerata in indiuiduis. Hær. Igitur hypostasis est. Orth. Dixi, in indiuiduis considerata. Hær. Quid est indiuiduum? & quid est humanitas? Ort. Indiuiduum est vnaquæq; hypostasis nostra. humanitas vero communitas substantiæ. Hær. Et quæ est differentia communitatis, & hypostasis? Orth. Quod tua hypostasis non est omnium hominum; humanitas verò communis est omnium hominum. Hær. Hypostasis patris non est deitas? Orth. Maximè. verum deitas esse siue essentiam significat, hypostasis verò hoc aliquid esse. Hær. Et hypostasis filij non est deitas? Orth. Est. Hær. Duæ igitur sunt deitates. Orth. Nequaquã, non enim alia & alia deitas est. Hær. Alia & alia hypostasis est. Orth. At non idem significant, vt dixi, deitas, & hypostasis. Deitas enim significat esse: hypostasis verò, hoc aliquid esse. Sicut enim non sunt duæ humanitates Petri & Pauli, sic non sunt duæ deitates Patris & Filij. Hær. Non est igitur hypostasis patris deitas? Orth. Hypostasis quidem patris deitas est, hypostasis itẽ filij, deitas etiam est, non tamen quia sunt duæ hypostases, idcirco sunt duæ deitates. Hær. Quomodo non? Orth. Quia hypostasis Patris est immortalitas, & hypostasis Filij est immortalitas. Non sunt autẽ duæ immortalitates. Hær. Quomodo? Ort. Quia non est differentia immortalitatis, immortalitas enim ab immortalitate non differt. Hær. Si verè est alia & alia hypostasis, quomodo non est alia & alia immortalitas?

Orth.

ὡς γὰρ οὐκ εἰσὶν ἀνθρωπότητες δύο Παύλου, καὶ Πέτρου. οὕτως οὐδὲ δύο θεότητες πατρὸς, καὶ υἱοῦ.) αἱρετ. οὐκοῦν οὐχὶ ἡ ὑπόστασις τοῦ πατρὸς, καὶ θεότης; ὀρθόδ. ἡ μὲν ὑπόστασις τοῦ πατρὸς, καὶ θεότης. καὶ ἡ ὑπόστασις τοῦ υἱοῦ, καὶ θεότης. οὐχὶ δὲ ἐπειδὴ δύο ὑποστάσεις εἰσὶ, διὰ τοῦτο καὶ δύο θεότητες. αἱρετ. πῶς οὐχί; ὀρθόδ. ὅτι ἀθανασία, ἡ ὑπόστασις τοῦ πατρός. καὶ ἡ ἀθανασία καὶ ἡ ὑπόστασις τοῦ υἱοῦ. οὐ δύο δὲ ἀθανασίαι. αἱρετ. πῶς; ὀρθόδ. ὅτι μὲν οὐδεμία διαφορά ἐστιν ἀθανασίας. ἀθανασία γὰρ ἀθανασίας οὐδὲν διαφέρει, εἰ ἀθανασία ἐστίν. αἱρετ. εἴπερ ἀληθῶς ἄλλη, καὶ ἄλλη ὑπόστασίς ἐστι, πῶς οὐχὶ καὶ ἄλλη, καὶ ἄλλη ἀθανασία; ὀρθόδ. καὶ γὰρ ἡμεῖς ἄλλην, καὶ ἄλλην ἔχομεν ὑπόστασιν, οὐχὶ δὲ ἄλλην, καὶ ἄλλην ἀνθρωπότητα. καὶ ἡ ὑπόστασις Πέτρου, ἀνθρωπότης. καὶ ἡ ὑπόστασις Παύλου, ἀνθρωπότης ἐστίν, ἀλλ' οὐ διάφοροι ἀνθρωπότητες. καὶ ἄλλην, καὶ ἄλλην ὑπόστασιν ἔχομεν. οὐχὶ δὲ καὶ ἄλλην, καὶ ἄλλην ἀθανασίαν, ἣν διὰ τοῦ ἑνὸς βαπτίσματος ἐλάβομεν. ἢ γὰρ ἄλλη, καὶ ἄλλη ἀθανασία, ἄλλο, καὶ ἄλλο βάπτισμα, καὶ ἄλλη, καὶ ἄλλη πίστις, καὶ οὐκέτι ἔσται εἷς κύριος, μία πίστις, ἓν βάπτισμα; αἱρετ. ἀλλ' εἰ ἡμετέρα πίστις, ἄλλη ἐστὶ παρὰ τὴν ἀθανασίαν, καὶ τὸ βάπτισμα, ἄρα ἡ τοῦ θεοῦ ὑπόστασις, ἄλλη ἐστὶ παρὰ τὴν ἀθανασίαν. ὀρθόδ. οὐδαμῶς, ἀλλ' αὐτὴ ἡ ὑπόστασις, καὶ ἀθανασία ἐστί, καὶ οὐ μόνον ἀθανασία, ἀλλὰ καὶ ἀφθαρσία, καὶ δικαιοσύνη. καὶ οὐκ ἔστι κατὰ σύνθεσιν ταῦτα ὁ θεός. ἀλλὰ κατὰ διαφορὰν ἐπινοίας λεγόμενος. ἀθανασία μὲν, διὰ τὸ ἀτελεύτητον. ἀφθαρσία δὲ, διὰ τὸ ἄλυτον. δικαιοσύνη δὲ, διὰ τὸ ἴσον. ἁγιασμὸς δὲ, διὰ τὸ φυλάσσειν ἀπὸ ἁμαρτίας, ἀπολύτρωσις, διὰ τὸ σώζειν ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν. κυριότης, διὰ τὸ πάντων κρατεῖν. δύναμις, διὰ τὸ μηδὲν ἀντικεῖσθαι. ταῦτα δὲ πάντα, καὶ περὶ τὴν ὑπόστασιν υἱοῦ θεωρεῖται ὁμοίως τῷ πατρὶ, καὶ οὐ μεθεκτῶς. καὶ διὰ τοῦτο δύο μὲν ὑποστάσεις πατρὸς, καὶ υἱοῦ λέγομεν. μίαν δὲ θεότητα, καὶ ἐξουσίαν, καὶ δύναμιν.*

* *Quae sequuntur non sunt in Turriani versione.*

Αἱρετ.

Orth. Nos enim aliam & aliam hypostasim habemus, non autem aliam & aliam humanitatem. & hypostasis Petri homo est; & hypostasis Pauli homo est, & duæ sunt hypostases, & non duę humanitates. & aliam, & aliam hypostasim habemus, non tamen aliam & aliam immortalitatem, quam per vnum baptisma accepimus. alia enim, & alia immortalitas, aliud & aliud baptisma; alia, & alia fides. & non est vnus Dominus, vna fides, vnum baptisma. Hær. At si nostra hypostasis alia est præter immortalitatem, & præter baptismum. igitur hypostasis Dei alia est præter immortalitatem. Orth. Nequaquam, imò ipsa hypostasis immortalitas est; & non solum immortalitas, sed incorruptibilitas, & iustitia. & non est hæc Deus compositione, sed sic dictus secundum diuersas notiones. immortalitas quidem, quia caret fine. incorruptibilitas, quia non potest dissolui. iustitia propter æqualitatem. sanctificatio, quia seruat à peccato. redemptio, quia vitam nostram seruat à corruptione. dominatio, quia in omnibus dominatur, & in omnia habet imperium. virtus, quia nihil ei resistit. hæc omnia in hypostasi etiam filij similiter vt in patre & non participatè considerantur. & idcirco duas hypostases dicimus Patris & Filij, vnam vero deitatem, virtutem, & quæcunq; huiusmodi sunt. Hær. Quomodo dictum est de Spiritu sancto: *non loquetur à semetipso, sed quæcunq, audiet, loquetur,* siquidem eiusdem naturæ est? Orth. Hoc est, quod declarat, ipsum non esse mendacem, & eiusdem naturæ esse. Hær. Quomodo? Orth. Quia omne creatum, si est particeps rationis, quandò vult, à se ipso loquitur, quia habet propriam voluntatem, cui imponit silentium, vt voluntatē Dei dicat. Spiritus autem sanctus non sic, sed tanquam spiritus Dei, voluntatem Dei habet. & hoc est, quod ait, *non loquetur à semetipso.* Siquidem de se etiam dixit filius, *à me ipso facio nihil, sed sicut docuit me pater loquor.*

Ioan. 16. *Ibid.* *Ioan. 8.*

Ex Codice Bauarico.

Hær. Nonne omnia, quæ de Deo dicuntur, dicuntur de illo essentialiter vel notionaliter? Orth. Vtique. Hær. An non omnia, quæ de quopiam essentialiter prædicantur, insunt omnibus quæ eandem essentiam participant? Orth. Vtique. Hær. Ea

Αἱρετ. οὐχὶ πάντα τὰ κατηγορούμενα, ἢ οὐσιωδῶς, ἢ ἐπουσιωδῶς κατηγορεῖται; ὀρθόδ. ναί. αἱρετ. πάντα δὲ τὰ οὐσιωδῶς τινὶ κατηγορούμενα, οὐχὶ πᾶσι τοῖς ὁμουσίοις πρόσεστιν; ὀρθόδ. ναί. αἱρετ. τὰ δὲ ἐπουσιωδῶς κατηγορούμενα οὐχὶ χωριστά εἰσιν, εἴτε ἐπινοίᾳ, εἴτε ἐνεργείᾳ; ὀρθόδ. ναί. αἱρετ. τὸ οὖν πατὴρ ὄνομα πῶς πρόσεστι τῷ πατρί; εἰ μὲν οὐσιωδῶς, ἔσται καὶ τῷ υἱῷ. εἰ δὲ ἐπουσιωδῶς, ἔσται ἄρα ποτὲ ἐπινοούμενος πατὴρ μὴ εἶναι. καὶ πάλιν εἰ τὰ ἐπουσιωδῶς κατηγορούμενα, ὕστερα τῶν οὐσιῶν, φύσει ἔτι ἔσται τῷ πατρὶ τὸ πατήρ. καὶ ἔσται ὁ υἱὸς πατήρ, ὁμοίως καὶ τὸ πνεῦμα.

XXIX. Διάλεξις πρὸς Νεστοριανὸν τοῦ αὐτοῦ.

Ὀρθόδοξος. Ἰδοὺ πάρεστιν ἀγὼν τῆς διαλέξεως. πόθεν οὖν ἀρκτέον ἡμῖν τοῦ λόγου; ἀπὸ τῶν ἐπιστημονικῶν τεχνῶν, ἢ μᾶλλον πρῶτον ἀπὸ τοῦ τῶν ἄλλων ζητημάτων ἀναγκαιοτάτου; ποῖον δὲ τοῦτο; τὸ τὰ ἀμφιβαλλόμενα περὶ τῆς πίστεως πολυπραγμονεῖν. αἱρετικὸς. καὶ πάνυ ἀρκτέον ἀπὸ τῶν κατὰ τὴν πίστιν δογμάτων. ὀρθόδοξος. ὁ υἱὸς τοῦ θεοῦ γεννηθεὶς ἐκ γυναικὸς, τί αὖ ἔλαβεν ἐξ αὐτῆς, φύσιν, ἢ ὑπόστασιν; αἱρετικός. φύσιν. ὀρθόδοξος. εἶτα, μετὰ ἰδιωμάτων, ἢ ἄνευ τούτων; αἱρετικός. μόνην τὴν φύσιν ἀνέλαβεν χωρὶς τῶν ἰδιωμάτων. ὀρθόδοξος. λοιπὸν, καὶ ἄνευ χρώματος, καὶ σχήματος, καὶ κράσεως τῶν στοιχείων ἦν, καὶ ἄνευ μεγέθους. ὥστε, οὔτε ἐγνωρίζετο, οὔτε ἑωρᾶτο, οὔτε ἐκρατεῖτο, οὔτε ἐκ παιδὸς εἰς ἄνδρα ηὐξάνετο. τί οὖν; ὁμολογεῖς ἐπὶ Χριστοῦ τὴν ἀναίρεσιν τοῦ χρώματος, καὶ σχήματος, καὶ τῶν ἑξῆς ἐκτεθέντων; αἱρετικός. μὴ γένοιτο. ὀρθόδοξος. ὁμολογεῖς ἄρα τὴν ὕπαρξιν αὐτῶν; αἱρετικός. ὁμολογῶ. ὀρθόδοξος. τί δέ; οὐχὶ ταῦτά ἐστιν δὲ ἰδιώματα; αἱρετ. πῶς γὰρ οὔ; ὀρθόδ. μετὰ ἰδιωμάτων ἄρα εἶχε τὴν ἡμετέραν

φύσιν

verò quæ notionaliter, & quasi aduentitiè respectu essentiæ prædicantur, nonne separabilia sunt siue cogitatione, siue reipsa? Orth. Maximè. Hæret. Quomodo igitur nomen patris dicitur de patre? Si essentialiter, ergo & de filio. Si verò tanquam quiddã essentiæ superueniens seu superadditum; concipi igitur poterit pater, quasi non esset. Rursus, si quæ prædicantur tanquam essentiæ aduentitia, essentiis erunt posteriora; naturale igitur erit patri esse patrem. Ex quo sequitur, Filium & Spiritum sanctum æquè esse patrem.

Animaduersio.

Hæc in suo exemplari non reperit Turrianus, quia in versione non expreßit. Et certè non videntur digna Theodoro Abucara.

Eiusdem Theodori disputatio cum Nestoriano. XXIX.

Francisco Turriano interprete.

ORTH. En, adest certamen disputationis, vnde igitur incipienda nobis est disputatio? ab ea ne arte, quæ ad scientiam comparandam pertinet? an potius primum ab eo, quod ex aliis quæstionibus maxime necessarium est? Sed quod nam hoc est? ea scilicet accurate indagare, quæ de fide dubitantur. Hær. Incipiendum profecto est à dogmatibus fidei. Orth. Filius Dei ex muliere natus, quid ex ea accepit, naturam, an hypostasim? Hær. Naturam. Orth. Deinde, cum proprietatibus, an sine proprietatibus? Hęr. Solam naturam accepit sine proprietatibus. Ort. Relinquitur igitur, vt sine colore, & figura, & mistione elemẽtorum, & sine magnitudine. Quamobrem, neque agnoscebatur, neque videbatur, neque tenebatur, neque crescebat, vt ex puero fieret vir. Quid igitur? confiteris interitum coloris; & figurę & aliorum, quæ exposita sunt, in Christo? Hær. Minimè. Orth. Confiteris igitur fuisse hæc in eo. Hær. Confiteor. Orth. Quid? An non sunt hæc proprietates? Hær. Cur non? Orth. Habuit igitur Christus naturam nostram cum proprietatibus.

φύσιν ὁ χριστός. φύσις δὲ μετὰ ἰδιωμάτων ὑπόστασίς ἐστιν, ἢ οὐ δοκεῖ σοι; αἱρετ. πάνυ μὲν οὖν. ὀρθόδ. ὑπόστασιν ἄρα προσέλαβε, καὶ οὐ μόνην τὴν φύσιν, ὡς προέθηκας. αἱρετ. οὕτως ἔχει. ὀρθόδ. ἀλλὰ καὶ τοῦτο ἀδύνατον. αἱρετ. καὶ πόθεν ἔχεις δεῖξαι; ὀρθόδ. καὶ γὰρ ἤτοι ἡνώθησαν αἱ ὑποστάσεις, ἢ ἔμειναν κεχωρισμέναι. εἰ μὲν οὖν κεχωρισμέναι, δύο ἔσται, ὁ χριστὸς, καὶ οὐχ εἷς. Εἰ οὖν σέβῃ τὸν χριστὸν δύο ὄντα, σέβῃ δὲ τὸν πατέρα, καὶ τὸ πνεῦμα αὐτοῦ, τετράδος κινδυνεύσεις σεβαστὴς εἶναι. εἰ δὲ ἡνώθησαν αἱ ὑποστάσεις εἰς μίαν ὑπόστασιν σύνθετον, ἔσται ἡ σύνθετος ὑπόστασις, οὔτε θεία καθαρῶς, οὐδὲ ἀνθρωπεία, ἀλλὰ μέσον τούτων. εἰ δὲ σύνθετος ὑπόστασις χριστός ἐστιν, ὁ χριστὸς ἄρα κατά σε οὔτε θεία ὑπόστασίς ἐστιν, οὔτε ἀνθρωπεία, ἀλλὰ μέσον θεοῦ καὶ ἀνθρώπου. ἀλλὰ φευκτέον τὴν ἀσέβειαν. πῶς οὖν λύσεις ἡμῖν τὸν λόγον; αἱρετ. οὐδαμῶς ἱκανός εἰμι. χαριζόμενος οὖν ἡμῖν, δίδαξον τί προσέλαβεν ὁ χριστὸς, φύσιν ἢ ὑπόστασιν; ὀρθόδ. φύσιν. αἱρετ. μετὰ ἰδιωμάτων ἢ ἄνευ τούτων; ὀρθόδ. μετὰ ἰδιωμάτων. αἱρέτ. ὑπόστασιν ἄρα προσέλαβεν; ὀρθόδ. οὐ δῆτα. αἱρετ. καὶ πόθεν δῆλον; ὀρθόδ. ἐγώ σοι φράσω. ἔστι μὲν γάρ τι, ὃ λέγεται ὑπόστασις, ἔστι δέ τι, ὃ λέγεται ὑποστατικὸν, ἤγουν τῆς ὑποστάσεως, καὶ κοινὸν ἀμφοτέρων ἐστὶ τὸ συγκεῖσθαι ἐκ φύσεως καὶ ἰδιωμάτων. διαφέρουσι δὲ ὅτι ἡ μὲν ὑπόστασις, οὐκ ἔστι μέρος τινὸς, * ὥστε ὑπόστασίς ἐστι, τὸ δὲ σῶμα τοῦ Πέτρου μέρος ἐστὶ, Πέτρου γάρ ἐστιν, ὥστε ὑποστατικὸν, καὶ οὐχ ὑπόστασίς ἐστι τὸ σῶμα τοῦ Πέτρου. καί τοι φύσις ἐστὶ μετὰ ἰδιωμάτων, ἀλλ᾽ οὐκ ἀρκεῖ τὸ συγκεῖσθαι τὴν φύσιν τοῖς ἰδιώμασιν εἰς γένεσιν ὑποστάσεως, ἀλλὰ δεῖ συνδραμεῖν εἰς τοῦτο καὶ τὸ μὴ εἶναι μέρος. ἐπεὶ οὖν μέρος ἐστὶ τοῦ Χριστοῦ τὸ προσληφθὲν ἔμψυχον σῶμα, διὰ τοῦτο οὐκ ἔστιν ὑπόστασις, ἀλλ᾽ ὑποστατικόν. ὥσπερ οὖν οὐ συναριθμεῖται τῷ Πέτρῳ τὸ σῶμα αὐτοῦ ἵνα ὦσι δύο, θάτερον γὰρ θατέρῳ * συνάγεται, οὕτως οὐδὲ τῷ υἱῷ τοῦ θεοῦ σαρκωθέντι συναριθμεῖται τὸ προσληφθὲν ἔμψυχον σῶμα, ἵνα ὦσι δύο. καὶ ταῦτα δοκεῖ μοι ἱκανῶς εἰρῆσθαι εἰς λύσιν τῆς ἀπορίας.

* *Desiderantur hic quædam in Græco.*

* *Turr.* συνταγήσεται.

Ἄλλη

natura autem cum proprietatibus hypostasis est. an non videtur tibi? Hær. Maximè. Orth. Hypostasim ergo assumpsit; & non solam naturam, vt prius posuisti. Hær. Sic est. Orthod. At hoc fieri non potest. Hær. Et vnde hoc docere potes? Orthod. Quia vel vnitæ sunt hypostases; vel remanserunt separatæ, & tunc Christus erit duo, & non vnus. Quare si colis Christum qui sit duo, colis etiam Patrem, & Spiritum eius, ergo cultor quatuor videris esse. Si autem vnitæ sunt in vnam hypostasim compositam, erit hypostasis composita, neque merè, & purè diuina, neque humana. Sed intermedia. Si autem Christus hypostasis composita est, Christus igitur opinione tua neque hypostasis diuina est, neque humana: Sed media inter Deum & homines. at fugienda est impietas. Quomodo igitur soluis nobis argumentum? Hær. Non sum idoneus ad soluendum. quare in gratiam nostram, doce, quid assumpsit Christus, naturam ne, an hypostasim? Orthod. Naturam. Hær. Cum proprietatibus, an sine his? Orthod. Cum proprietatibus. Hær. Hypostasim igitur assumpsit. Orthod. Minime. Hær. Et vnde hoc constat? Orthod. Ego tibi explicabo. est enim aliquid, quod dicitur hypostasis; & est aliquid, quod dicitur hypostaticum. & commune vtrique est componi ex natura & proprietatibus. differunt tamen, quia hypostasis nō est pars alicuius; hypostaticum verò pars est. verbi gratia, Petrus non est pars alicuius, quare hypostasis est, corpus autem Petri pars est, quare hypostaticum, & non hypostasis est corpus Petri, quamuis natura est cum proprietatibus. sed non satis est compositam esse naturam cum proprietatibus ad generationem hypostasis, sed oportet concurrere ad hoc, & non esse partem. Quia igitur pars Christi est assumptum corpus animatum, idcirco non est hypostasis, sed hypostaticum. & sicut non numeratur cum Petro corpus eius, vt sint duo, alterum enim cum altero συντάγνυται,* sic neque cum filio Dei incarnato connumeratur corpus animatum assumptum, vt sint duo. atque hæc quidem videntur mihi satis esse ad solutionem dubitationis.

* *Ita coniungitur, vt quasi vniatur.*

XXX.

Ἄλλη διάλεξις τοῦ αὐτοῦ πρὸς Ἰακωβίτην.

Αἱρετικός. Πότερόν σοι δοκεῖ; ὁ Χριστὸς θεός, ἢ ἄνθρωπός ἐστιν. ὀρθόδοξος. ἀμφότερα, καὶ ἑκάτερος. αἱρετικ. πῶς; ὀρθόδ. καὶ γὰρ θεός ἐστι χωρὶς, ὁμοίως δὲ καὶ ἄνθρωπος. καὶ ἅμα θεὸς, καὶ ἄνθρωπος. αἱρετ. εἶτα, φύσει ταῦτά ἐστιν, ἢ ἄλλως πῶς; οἷον χάριτι, ἢ ἀσκήσει τινὶ, καὶ προκοπῇ; ὀρθόδ. φύσει. αἱρετ. μιᾶς ἄρα φύσεώς ἐστι θεὸς, καὶ ἄνθρωπος. ὀρθόδ. πεπλάνησαι. οὐ γὰρ τῇ αὐτῇ φύσει, ἀλλ' ἑτέρᾳ μὲν ἐστιν ἄνθρωπος ἑτέρᾳ δὲ θεός. αἱρετ. οὐκοῦν ἐπεὶ δὴ ἕτερόν ἐστι, θεὸς, καὶ ἄνθρωπος φύσει· ταῦτα δὲ ἐστιν ὁ Χριστός. ἕτερον ἄρα ἑαυτοῦ ὁ Χριστός ἐστιν; ὀρθόδ. οὐδαμῶς. ἀλλ' ἕτερον τῇ φύσει.. τοῦτο γάρ σε δεῖ συμπεραίνειν ἐξ ὧν ὡμολόγηται· * ἀλλὰ λέγεις, ἀσαφὲς εἴρηκα; ἀλλὰ σαφηνίσω. ὁ Χριστὸς, θεὸς, καὶ ἄνθρωπος. θεὸς δὲ, καὶ ἄνθρωπος, ἕτερον τῇ φύσει· ὁ Χριστὸς ἄρα ἕτερον τῇ φύσει· σεαυτὸν οὖν ἐσόφισω. οὐ γὰρ εἰ ἕτερον τῇ φύσει, ἤδη καὶ ἑαυτοῦ ἕτερον. οὐ γὰρ φύσις ἐστὶν, ἀλλ' ἔχει φύσιν. αἱρετ. ἔστω δὲ ταῦτα. τί οὖν δοκεῖ σοι; οὐχὶ ὁ Χριστὸς ἄνθρωπος; ὁ δὲ ἄνθρωπος ἕτερον θεοῦ; ὀρθόδ. πάνυ μὲν οὖν. αἱρετ. ὁ Χριστὸς ἄρα ἕτερον θεοῦ. ὀρθόδ. ἀλλὰ προσδιόρισον τῇ ἀνθρωπείᾳ φύσει. τῇ γὰρ θείᾳ φύσει οὐχ ἕτερον. αἱρετ. θεὸς ἄρα, καὶ οὐ θεός. ὅπερ ἀντίφασις. ὀρθόδ. ἀλλ' οὐκ ἀντίφασις τοῦτο. οὐ γὰρ κατὰ τὸ αὐτό ἐστι καὶ θεὸς, καὶ οὐ θεὸς, ἵνα γένηται ἀντίφασις. ὥσπερ γὰρ ὁ ἄνθρωπος αἰσθητὸν, καὶ οὐκ αἰσθητόν ἐστι κατ' ἄλλο, καὶ ἄλλο. κατὰ μὲν γὰρ τὸ σῶμα, αἰσθητὸν, καὶ οὐκ αἰσθητὸν κατὰ τὴν ψυχήν. καὶ οὐκ ἀντίφασις τοῦτο. κατὰ τὸν ἴσον τῆς ἀληθείας τρόπον ἐστὶν ὁ Χριστὸς θεὸς, καὶ οὐ θεὸς, κατ' ἄλλο, καὶ ἄλλο, καὶ οὐκ ἀντίφασις τοῦτο. κατὰ μὲν γὰρ τὴν θεότητα, θεὸς, κατὰ δὲ τὴν ἀνθρωπότητα, οὐ θεὸς. καὶ ταῦτα, οὕτως.

* Turrianus hic variat.

Ἄλλος

Alia dissertatio eiusdem Abucaræ cum Iacobita. XXX.

HAEreticus. Vtrũ videtur tibi esse Christus, Deus, an homo? Orthod. Vtraque seorsum, & vtrumque simul. Hær. Quomodo? Orth. Etenim Deus est separatim, similiter & homo; & simul Deus & homo. Hær. Deinde, estne hæc secundum naturam, an alio modo? gratia scilicet, vel exercitatione quapiam, & profectu? Orth. Natura. Hær. Vnius igitur naturæ est Deus & homo. Orth. Erras. non enim secundum eãdem naturam, sed secundum aliam est homo; & secundum aliam Deus. Hær. Igitur quia aliud est Deus, & aliud homo, secundum autem naturam est hæc Christus. Christus igitur alius est à seipso. Orth. Minimè, sed aliud natura dixi. hoc enim oportet concludere ex iis, quæ concessa sunt. Hær. Quod dicis, obscurè dixisti, sed explana. Orth. Christus & Deus & homo est, Deus autem, & homo aliud natura, Christus igitur aliud natura. te ipsum igitur decepisti, non enim si aliud natura, continuo alius à seipso Christus. nõ est Christus natura, sed habet naturam. Hær. Sint ista sic. Quid igitur tibi videtur, nonne Christus homo, homo autem aliud à Deo? Orth. Maximè. Hær. Christus igitur aliud à Deo. Orth. Adhibe distinctionem, secundum humanam naturam aliud à Deo, secundum diuinam naturã non aliud. Hær. Deus igitur & non Deus, quæ quidem contradictio est. Orth. At non est hæc contradictio. non enim secundum idem est Deus & non Deus, vt sit contradictio. Sicut enim homo est sub sensum cadens, & non sub sensum cadẽs secundum aliud, & aliud, secundum enim corpus sub sensum cadit; secundum verò animam non cadit. & non est hæc contradictio secundũ regulam veram: sic Christus Deus & non Deus, secundum aliud, & aliud, & non est hæc contradictio, secundum enim diuinitatem Deus secundum verò humanitatem non Deus. ac de his hactenus.

Quæstio

XXXI. Ἐρώτησις Ὠριγενιαστῶν, πρὸς πιστόν.

Ὁ ἄπιστος. Ποία δικαιοσύνη, δέκα, ἢ πεντήκοντα χρόνους ἁμαρτήσαντός τινος μυριάδας, μᾶλλον δὲ ἀπεράντους αἰῶνας εἶναι τὴν κόλασιν; Ὁ πιστός. καὶ τί ἐστιν ἡ δικαιοσύνη παρά σοι; Ὁ ἄπιστος. τὸ κατ᾽ ἀναλογίαν τῆς ἁμαρτίας εἶναι καὶ τὴν κόλασιν, τοῦτ᾽ ἔστιν, εἴ τις ἥμαρτε χρόνους πεντήκοντα, τοῦτον κολασθῆναι τοσούτους πεντήκοντα. Ὁ πιστός. ἐκ πόσων τρόπων τὴν δικαιοσύνην μανθάνομεν; καὶ πόθεν σὺ ταύτην ἔμαθες; Ὁ ἄπιστος. εἰπὲ σύ, ἐκ πόσων; Ὁ πιστός. πᾶσαν δικαιοσύνην, ἢ ἐκ τοῦ νόμου τοῦ θεοῦ, ἢ ἐκ τῶν ὑπὸ τῶν ἀνθρώπων τεθέντων νόμων, ἢ ἐκ τῆς φύσεως τῶν πραγμάτων γινώσκομεν. οὐδεμία δὲ τούτων δικαιοσύνη, χρονικῶς τὴν κόλασιν ποιεῖ. οἷον. πορνεύει τις, ἢ κλέπτει, ἢ φονεύει, μίαν ὥραν. ὁ δὲ νόμος τοῦ θεοῦ, καὶ οἱ τῶν ἀνθρώπων νόμοι φονεύοντες τὸν φονέα, καὶ κολάζοντες τὸν παράνομον, οὐχὶ μίαν ὥραν κολάζουσιν αὐτόν, ἀλλὰ φονεύοντες μὲν αὐτὸν εἰς τὸν αἰῶνα αὐτὸν ἐκόλασαν, ἢ τύπτοντες, πολὺν χρόνον ἀλγεῖν ἐκ τῶν τραυμάτων παρασκευάζουσιν. καὶ σὺ δέ, εἰ μοιχεύοντά τινα εἰς τὴν σὴν γυναῖκα, ἢ θυγατέρα κατέλαβες, οὐχὶ μίαν ὥραν ἔκρινας αὐτὸν κολασθῆναι, ἀλλὰ φόνῳ παραδοθῆναι· ὅπερ ἐστίν, αἰωνία κόλασις. ἀλλὰ καὶ αἱ φύσεις τῶν πραγμάτων, ὡσαύτως. ἀποτρεπόμενοι γὰρ φέρε εἰπεῖν, ψυχρὸν ὕδωρ πιεῖν, ἢ τινος ἅψασθαι τῶν βλαπτόντων, καὶ παραβαίνοντες πολυχρονίῳ κολάσει περιπίπτομεν. ἐκ γὰρ ψυχροποσίας πολλάκις, ἢ ἐκ τοῦ ἅψασθαι πυρός, ἢ ὄξει χρήσασθαι, διηνεκῶς ἐκολάσθημεν νόσῳ. ἡ φύσις δὲ δικαιοτάτη ἐστί. σὺ δὲ πόθεν ἔχεις, ἢ εὗρες τὴν δικαιοσύνην ταύτην εἰπέ.

Quæstio quam Origenista fideli propoſuit. XXXI.

Genebrardo interprete.

ORIGENISTA. Quid iuris hoc eſt? vt qui annis decem, vel quinquaginta peccauerit, is decies millenis, imò etiam infinitis ſeculis pœnas luat? Abuc. Quid verò Iuſtitia tibi eſſe videtur? Orig. Vt pro ratione delicti pœna infligatur. Vt, verbi gratia, ſi quis annorum quinquaginta ſpatio peccauerit, is annis totidem & plectatur. Abuc. Quotnam modis iuſtitiam dicimus? &, vndenam, tu eam didiciſti? Orig. Tu verò ipſe dicito, quotnam modis? Abuc. Omnem iuſtitiam vel ex Dei lege, vel ex legibus, quas homines ſancierint, vel ex rebus naturalibus cognoſcimus. Harum autem iuſtitiæ ſpecierum nulla temporalem pœnam irrogat. Prout fornicatur quiſpiam, vel furatur, vel occidit, vnius horæ ſpatio: at lex Dei, hominumque leges homicidam, capitis damnantes, extremoque ſupplicio facinoroſum aliquem afficientes, non vnius in eum horæ ſpatio animaduertunt; ſed ſi morte quidem plectãt, æterno eum ſupplicio afficiunt, vel ſi verberent, diuturnum ei dolorem ex * rebus inferunt. Quin tu quoque ſi adulterum quempiam cum vxore, filiáue deprehenderes, non vnius illum horæ ſpatio puniendum, ſed trucidandum cenſeres: quod quidem æternum eſt hominum ſupplicium. Sed ipſæ quoque rerum naturæ perinde ſe habent. Cùm enim nobis ne frigidam, verbi gratia, bibamus aquam, néue quoque noxio cibi genere vtamur, interdictum ſit, in vetitum tamen nitamur, diuturnas nimirum pœnas damus. Itaque ſæpe numerò fit, vt ex frigidæ potu, ignisúe contactu, vel aceti vſu continuum morbum incurramus. Atqui natura iuſtiſſima eſt. Tu verò iuſtitiam vnde nam habes, aut inueniſti?

* fort. Vulneribus.

Vu *D. Theo-

XXXII.

* Hanc disputationem non reperi in codicibus Bauaricis. Itaq; non nisi Latinam exhibemus.

* D. Theodori Abucaræ, Episcopi Carum, contra Sarracenos Theopaschitas.

Interprete Genebrardo.

